ruebantur ab impetuosis pluviis, et in aquis animas exspirabant misereque mortem obibant. ut simpliciter et breviter dicam, tanquam sub tenebris rursum terrae facies abdita conspici desiit: rursum chaos illud invalescebat antiquius luce; rursum aquis altrix animalium terra mersabatur. bestiae ferebantur mortuae marique obrutae. hominum genus illud priscum, ortum ex luto, immensam aquam cum hausisset ac mersum esset, tanquam navis aquas penetrans, ut navigans mari scapha, ut levis quidam pulvis, super aquarum terga natabat, et multis pluviarum reciprocis fluctibus agitabatur. Noa vero solus tectum illud salutiferum ingressus instar securi nautae in eo navigabat, semen humani generis exiguo in ligno conservans, neque remos adhibens ullos nec ulla vela. cum ipso filii filiaeque navigabant, itemque uxor et uxores filiorum et filiarum sponsi. et filiis erant haec nomina, Semus Chamus Iaphetus. posteaquam vero cessit ac remisit pristinus ille pluviarum impetus, rursumque conspecti sunt prius ab aquis operti campi, exsiliit de arca cum liberis suis Noa, et omne animal eadem contectum una cum ipso exiit. iamque mundus hic alter erat, alter generis princeps: rursum omnis incrementum anima sumebat.

Ἐκ γοῦν τῆς πρώτης πλάσεως Ἀδὰμ τοῦ πρωτογόνου
B μέχρις αὖ τοῦ κατακλυσμοῦ συμβάντος ἐπὶ Νῶε
πρὸς δισχιλίοις ἔτεσι δὶς ἑκατὸν παρῆλθον,
σὺν ἄλλοις τεσσαράκοντα καὶ δύο πληρεστάτοις.
Ἀπέγγονοι δ' ἐγένοντο τοῦ Νῶε τοῦ δικαίου,
σὺν ἄλλοις ὑψηλόφροσιν ἐκγόνοις ἀπεκγόνοις,
Μεσρὲμ ὁ δευτερότοκος τοῦ Χὰμ υἱοῦ τοῦ Νῶε,
Νεβρὼδ τε γίγας, ὁ πολὺς τῇ τῆς χειρὸς ἰσχύϊ.
Μεσρὲμ μὲν οὖν κατῴκησε τὴν τῆς Αἰγύπτου χώραν,
ἀφ' οὗπερ καὶ τὴν Αἴγυπτον φασὶν ὀνομασθῆναι
(τὸ γὰρ Μεσρὲμ Ἑβραϊκῶς Αἴγυπτον ἑρμηνεύει),
ὁ δὲ Νεβρὼδ κατῴκησεν εἰς χώραν προσαρκτίαν,
τὴν ἐξ Ἀσσοὺρ τοῦ Σὴμ παιδὸς κληθεῖσαν Ἀσσυρίαν·
ὃς τοὺς ἀνθρώπους ἔπεισε τὸν κτίστην ἀθετῆσαι,
C καὶ πρῶτος παρηνόμησεν εἰς τὸν πεποιηκότα,
καὶ πρῶτος ἐφρυάξατο κατὰ θεοῦ τοῦ ζῶντος,
καὶ τὴν τιμὴν τὴν τῷ θεῷ προσήκουσαν, ὡς θέμις,
εἰς ἑαυτὸν ἠθέλησε μετενεγκεῖν ἀφρόνως.
καὶ σύμβουλος ἐγένετο πρὸς τὴν πυργοποιίαν,
ὡς ἂν ἀμύναιτο θεόν, εἰ πάλιν βουληθείη
κατακλυσμὸν ἐπενεγκεῖν τῷ γένει τῶν ἀνθρώπων.
οἱ γοῦν πεισθέντες ταῖς αὐτοῦ ματαίαις συμβουλίαις
οἰκοδομεῖν μὲν ἤρξαντο τὸν πύργον τῆς Χαλάνης
ὑπερνεφῆ, μετέωρον, ὑπέρμεγαν εἰς ὕψος,
αὐτῇ σχεδὸν ἐγγίζοντα τῇ σεληναίᾳ σφαίρᾳ,

436 πρωτοπλάστου ARR 440 ἀπέκγονοι AR 442 δευτερόκτονος A 447 ἀπαρκτίαν R 455 ἀμύναι τὸν θεόν M, ἀμῦναι τῷ θεῷ R

A prima quidem formatione Adami, primi hominis, usque ad diluvium quod accidit sub Noa, elapsi sunt anni bis mille ducenti et quadraginta duo.

Nepotes autem iusti huius Noae fuerunt, inter alios eximios nepotes et abnepotes, Mesremus secundo genitus filius Chami Noae filii, itemque Nebrodus gigas ille, manuum robore praestans. ac Mesremus quidem habitabilem fecit Aegypti terram, a quo Aegyptum appellatam esse tradunt: nam Mesrem Hebraice sonat Aegyptum. Nebrodus autem secessit ad regionem aquilonalem, quae ab Assuro Semi filio appellata est Assuria. atque hic auctor fuit hominibus reiiciendi creatorem, primusque fremuit adversus deum vivum, et honorem deo, ceu fas est, convenientem ad se ipsum transferre stolide voluit. dedit et consilium exstruendae turris, ut contra deum se defenderet, si rursum vellet humano generi diluvium immittere. quapropter illi persuasi vanis eius consiliis turrim Chalanes, supra nubes evectam, ingenti excelsitate, ad ipsam prope lunarem sphae-

τὸ δ᾽ ἔργον οὐκ ἐτέλεσαν τῆς ματαιοπονίας·
ὁ γὰρ θεὸς συνέχεε τὰς γλώσσας τῶν κτιζόντων,
κἀντεῦθεν διεσπάρησαν ἄλλος εἰς ἄλλον τόπον. D
Ἔβερ δὲ μόνος τῆς πληγῆς ἐλεύθερος ὑπῆρξεν·
οὐ γὰρ συγκατετίθετο τοῖς ματαιοπραγοῦσιν.
ὁ μὲν οὖν τόπος ἔλαχεν ἐκ τοῦ συμβεβηκότος
ὀνομασθῆναι Βαβυλὼν ἤτοι συγκεχυμένη·
τὸ γὰρ Βάβελ τὴν σύγχυσιν Ἑβραϊστὶ σημαίνει·
ἐκεῖ γὰρ συνεχύθησαν πυργοκτιστῶν αἱ γλῶσσαι.
Εἰς πληθυσμὸν δὲ φθάσαντος τοῦ τῶν ἀνθρώπων γένους
καὶ βασιλεὺς μετὰ μικρὸν γέγονεν Αἰγυπτίοις,
καὶ πρῶτοι βασιλεύεσθαι τῶν ἐπὶ γῆς ἀνθρώπων
Αἰγύπτιοι κατήρξαντο, καὶ τοῦ φορολογεῖσθαι.
τὸ βασιλεύεσθαι δ᾽ αὐτοὺς ἔσχεν ἀρχήν, ὡς λόγος,
ἑπτὰ καὶ μόνον γενεῶν παρελθουσῶν ἀνθρώποις P 11
μετὰ τὴν ὑδατόρροιαν, ὑφ᾽ ἧς τὸ πᾶν ἐφθάρη.
ἐντεῦθεν παρηνόμησε τὸ γένος τῶν ἀνθρώπων,
καὶ πρὸς ἀθέσμους ἔβλεψε πράξεις καὶ βδελυρίας,
σφαγὰς ἀνδροκτασίας τε, φόνους, ἀκολασίας.
ταῖς ἁρπαγαῖς ἐπέχαιρον, ἐτέρποντο μοιχείαις,
καὶ πᾶσαν ἐπετήδευον ἐπίνοιαν κακίας,
ἐλῄστευον, διήρπαζον, ἔκλεπτον, ἐμοιχῶντο,
καὶ τελευταῖον ἔβλεψαν πρὸς εἰδωλολατρείαν.

462 δὲ RR τὴν γλῶσσαν A 468 τὸ Βάβελ δὲ RR, qui hunc versum post 469 ponunt Ἑβραϊκῶς R 469 συνεχύθησαν MRR 470 τοῦ γένους τῶν ἀνθρώπων RR 472 πρῶτα A 477 τὸ τῶν ἀνθρώπων γένος R

ram accedentem, exstruere coeperunt. verum opus hoc vani laboris non perfecerunt. nam deus linguas exstruentium confudit. solus Eber ab ea poena immunis evasit, quod vana molientibus non assentiretur. secundum hoc dispersi sunt mortales, alius alium in locum. ipse autem locus hic ab eo quod acciderat nomen accepit, ut appellaretur Babylon, id est confusa: nam illic confusae sunt linguae turrim exstruentium, et Babel Hebraica lingua confusionem significat.

Cum autem genus humanum ad amplitudinem pervenisset, non multo post Aegyptii regem acceperunt; adeoque primi mortalium regium imperium pati coeperunt Aegyptii tributumque pendere. principium eius regni exstitit, posteaquam septem modo generationes a diluvio praeteriissent, quo universa perierunt. ab eo tempore genus humanum improbe se gessit, et nefandas actiones abominationesque respexit. rapinis gaudebant, delectabantur adulteriis, omnium vitiorum excogitationi prorsus intenti erant. praedabantur, rapiebant, furabantur, moechabantur. ad extre-

Σεροὺχ δὲ πρῶτος ἤρξατο χρῆσθαι γλυπτοῖς καὶ στήλαις,
ὄγδοος ὢν ἀπόγονος τοῦ Νῶε τοῦ δικαίου.
B *οὗτος οὖν πρῶτος ὁ Σεροὺχ τιμῶν τοὺς παλαιτέρους*
ὡς ἀγαθῶν ἐφευρετάς, ὡς ἰσχυροὺς ἐν μάχαις,
ὡς τῆς σοφίας ἀρχηγούς, ὡς ἐμπειροπολέμους,
εἰκόνας κατεσκεύασεν, ἀγάλματα καὶ στήλας,
δῆθεν ὡς εἰς ἀνάμνησιν καλῶν τῶν ἐξ ἐκείνων.
ὅπερ μὴ γνόντες οἱ πολλοὶ τῶν μεταγενεστέρων,
μὴ καταστοχασάμενοι Σεροὺχ τῆς διανοίας,
ὥσπερ θεοὺς ἐτίμησαν τὰς στήλας τὰς ἀψύχους
καὶ προσεκύνησαν γλυπτοῖς ἀνθρώπων χειροκμήτοις.
ἐντεῦθεν εἰς ἀλλόκοτον θρησκείαν ἐκτραπέντες
θρησκεύειν ἐπενόησαν ἄλλοι θεοῖς ἀλλοίοις.
Αἰγύπτιοι δ' ἐξώκειλαν πάντων τῶν ἄλλων πλέον,
καὶ τὴν θρησκείαν ἤγαγον ἄχρι καὶ τῶν γελοίων.
C *ἐντεῦθεν ἐσεβάσθησαν αἰλούρους καὶ πιθήκους,*
ἴβεις καὶ τράγους βόας τε, κύνας καὶ κροκοδείλους
καὶ τἆλλα προσοχθίσματα τῆς σφῶν φρενοβλαβείας.
πάντων δ' ὑπερφερέστερον τῶν ἄλλων θρησκευμάτων
τὸν Ἆπιν ἐσεβάζοντο, βοῦν τελοῦντα πολύχρουν.
ἡνίκα γὰρ ἐγίνετο βοῦς παρ' αὐτοῖς τοιοῦτος,
ἐπὶ τῇ γλώττῃ σήμαντρα φέρων καὶ πρὸς τῇ κέρκῳ
κἀν τῷ μετώπῳ μίμημα σελήνης διχοτόμου,
ἐχόρευον, ἑόρταζον, ἐτέλουν πανηγύρεις

494 ἀνθρώποις MR   χειροτεύκτων R   496 ἐνενόησαν ARR
502 ὑπερφερέστεροι AR   505 γλώσσῃ R

mum se deastrorum cultui dabant. primus autem Seruchus uti sculptilibus et statuis coepit, octavus e iusti Noae posteris. nimirum hic Seruchus honorem priscis deferens tanquam rerum praeclararum inventoribus, tanquam in praeliando fortibus, tanquam principibus sapientiae, tanquam belli peritis, imagines simulacra columnas exstruxit velut ad memoriam beneficiorum ab iis profectorum. quod non intelligentes posterorum plerique, non recte accepta Seruchi sententia, statuas inanimas ceu deos coluerunt et sculptilia mortalium facta manibus adorarunt. inde peregrinum ad cultum cum deflexissent, alii deos alios exoogitarunt, quos venerarentur. magis autem quam ceteri omnes exorbitarunt Aegyptii, et usque ad ridiculas res superstitiosi esse perrexerunt. hinc factum ut feles et simias coluerint, ibes, hircos, boves, canes, crocodilos, abominationes alias ab errore mentis profectas. longe vero studiosissime inter alios cultus Apim venerabantur, qui varii coloris bos erat. nam cum apud ipsos eiusmodi bos nascebatur, qui in lingua et cauda signa certa ferret, itemque lunam in fronte dimidiatam repraesentaret, choreas agitabant, festos dies celebrabant, conveniebant, tanquam si novus ad ipsos

ὡς ἐνδημήσαντος θεοῦ τοῦ καινοπρεπεστέρου.
κἀκεῖνον μὲν ἐφάτνιζον ἀφθόνοις πανδαισίαις,
αὐτοὶ δὲ διημέρευον ἐν πότοις καὶ χορείαις.
εἰς πλέον προκοπτούσης δὲ τῆς εἰδωλομανίας
καὶ σύμπαν γένος ἤλασεν εἰς πλάνην τὴν ἐσχάτην. D
ἀλλ' ἐπαναληπτέον μοι τὰ περὶ βασιλείας.
Παρ' Αἰγυπτίοις βασιλεὺς πρώτοις ὑπῆρξε πάντων·
καὶ μαρτυρεῖ τῷ πράγματι ῥῆσις γραφῆς τῆς θείας.
λιμοῦ καταλαβόντος γὰρ τὴν χώραν τὴν Χαλδαίων
Ἀβραὰμ ὁ θεῖος ὁ πολὺς γέγονε μετανάστης
καὶ τὴν συγγένειαν λιπὼν εἰς Αἴγυπτον μετῆρεν,
ὡς ἀποτρέψαιτο λιμοῦ τὴν φθαρτικὴν πυράγραν,
τοῖς ζωαρκέσιν ἐντυχὼν ἐκεῖ δαψιλεστέροις.
συνῆν δ' αὐτῷ καὶ γαμετὴ πρὸς ξένην στελλομένῳ
Σάρρα χαριτοπρόσωπος καὶ περικαλλεστάτη.
οἱ τοίνυν θεραπεύοντες ἐκεῖ τὸν βασιλέα
(ἦν δ' Ἀβιμέλεχ βασιλεὺς τότε τῶν Αἰγυπτίων)
ἰδόντες κάλλει λάμπουσαν τὴν Σάρραν ἀσυγκρίτῳ P 12
καὶ τόσον ὑπερέχουσαν γυναίων Αἰγυπτίων
ὅσον ἁπάντων τῶν ἀνθῶν τὸ ῥόδον ὑπερφέρει,
τῷ βασιλεῖ προσήνεγκαν ἐρωτοληπτουμένῳ.
ὁ δ' Ἀβιμέλεχ κατιδὼν ὅλως ἑάλω ταύτης,
καὶ τάχ' ἂν ἐβεβήλωσε τὸ λέχος τοῦ δικαίου,

513 *βασιλέων* R 514 *πρῶτος* MR 518 *ἀπῆρεν* R 519 *ἀποτρέψοιτο* R, *ἀποτρίψαιτο* R, *ἀποτρέψαι τοῦ* M 521 *συνήπτετο καὶ* R *στελλομένη* AMR 527 *ἁπάντων ἀκανθῶν* ARR 528 *προσήγαγον* R 529 *ὅλος* R

deus accessisset. ac illum quidem omnis generis esculentis pascebant, ipsi vero potando et saltando dies totos consumebant. cumque insanus idolorum cultus incrementa sumeret, universa natio in errorem extremum prolapsa fuit. at enim repetenda mihi sunt de regno quae dixi.

Apud Aegyptios primus omnium rex fuit. id esse verum oracula sacrarum literarum testantur. nam cum fames terram Chaldaeorum invasisset, divinus celebris ille Abramus exsul factus est, relictaque cognatione sua in Aegyptum migravit, ut perniciosum famis ab se forcipem abigeret, alimenta istic largiora consecutus. comes erat illi etiam uxor ad solum peregrinum, eleganti praedita facie Sarra, longeque venustissima. ministri ergo regis Aegyptii (et erat tum rex Aegyptiorum Abimelechus) cum Sarram incomparabili forma fulgentem viderent, tantumque mulierculas Aegyptias excellentem quantum omnibus floribus rosa praestat, ad regem amore captum illam deducunt. quam ubi conspexisset Abimelechus, totus captus est; forteque violasset hominis iusti

εἰ μὴ θεὸς τὸν ἑαυτοῦ θεράποντα τιμήσας
πληγαῖς βαρείαις ἤτασε νύκτωρ τὸν βασιλέα
καὶ σὺν αὐτῷ τοὺς προσγενεῖς καὶ τοὺς δορυφοροῦντας.
μετ᾽ οὐ πολλὰς δὲ γενεὰς ἀρχῆς τῶν Αἰγυπτίων
ἐν ταῖς ἡμέραις Ἀβραὰμ ἦρξε τῶν Ἀσσυρίων
Βῆλος ἀνὴρ ὁ βριαρός, ὁ κραταιόχειρ γίγας,
B ὃν ὡς θεὸν ἐτίμησαν οἱ πεφενακισμένοι
καὶ Κρόνον μετωνόμασαν. οὗτος δ᾽ ὁ Κρόνος ἔσχε
γυναῖκα τὴν Σεμίραμιν τὴν λεγομένην Ῥέαν.
τῶν Αἰγυπτίων τοιγαροῦν ἡ καταδυναστεία
καὶ κράτος τὸ βασίλειον καὶ τὰ τῆς ἐξουσίας
μέχρις ἐτῶν διήρκεσε χιλίων πληρεστάτων
καὶ πρὸς τρισὶν ἑξήκοντα πρὸς τοῖς ἑξακοσίοις.
τὴν βασιλείαν πάλιν δὲ τοῦ γένους Ἀσσυρίων
χίλι᾽ ἔτη ἐμέτρησαν, καὶ σὺν αὐτῇ παρῆλθον
τρὶς ἑκατὸν ἐνιαυτοὶ μέχρι Σαρδαναπάλου.
Ὁ Κρόνος τοίνυν συνοικῶν τῇ γαμετῇ τῇ Ῥέᾳ
σὺν ἄλλοις ἔτεκε πολλοῖς υἱοῖς καὶ τὸν Νινύαν,
ὃν Νινευὶ δομήτορα φασὶ τῆς θρυλουμένης.
C μετὰ μικρὸν ὁ Κρόνος δὲ λιπὼν τὴν Ἀσσυρίαν
πρὸς τὴν τῶν Ἄφρων ἔδραμε χώραν τὴν ἑσπερίαν.
ὁ δὲ Νινύας ἔλαβε τὴν ἑαυτοῦ μητέρα
εἰς γαμετὴν καὶ σύνοικον ἐξ ἐρωτομανίας,
ἔρον νοσήσας ἀσελγῆ καὶ παρὰ φύσιν ἔρον,

533 πρὸς δὲ καὶ δορυφόρους R 536 κρατερός, ὁ βριαρόχειρ M 545 χιλιετηρὶς ἐμέτρησε A, χιλιοστοῖς ἐμέτρησε R, χίλιοι τρεῖς ἐμέτρισαν M 548 ἔτεκεν υἱοῖς καὶ τὸν Νινύαν τοῦτον R 551 τῶν ἑσπερίων R

lectum, ni deus honori cultoris sui consuluisset, noctuque regem plagis gravibus vulnerasset, ne cognatis quidem ac satellitibus eius parcens. ceterum non post multas generationes ab initio regni Aegyptii, temporibus Abrahami, Assyriis imperavit Belus vir fortis, robustis manibus, gigas; quem homines decepti tanquam deum venerabantur Saturnumque nominabant. habuit autem Saturnus hic Semiramidem uxorem, quae Rhea nuncupabatur. et Aegyptiorum quidem in subiectos potestas ac regia potentia, regium imperium, usque ad integros 1663 annos duravit. rursus vero regnum gentis Assyriorum annis 1300 ad Sardanapalum usque floruit.

Saturnus autem cum uxore sua Rhea cohabitans inter multos alios liberos et Ninyam procreavit, quem clarae Nineves conditorem fuisse ferunt. aliquanto post tempore Saturnus Assyria relicta in Afrorum regionem australem excurrit. Ninyas vero matrem suam ex amore vesano, foedo, naturae ipsi repugnante, quo correptus erat, Semiramide in hoc

καὶ Σεμιράμιδος αὐτῆς τοῦτο συνθελησάσης·
ἐξ οὗ καὶ νόμος γέγονε παρὰ τοῖς Ἀσσυρίοις
μητρογαμεῖν καὶ τοὺς δεσμοὺς τῆς φύσεως συγχέειν.
τὸ πρᾶγμα δὲ τὸ μυσαρὸν τοῦτο καὶ βδελυκτέον
ἐξ Ἀσσυρίων ὁρμηθὲν μετέβη καὶ πρὸς Πέρσας.
Ὁ βασιλεὺς Αἰγύπτου δὲ Σέσωστρις ἐν τοῖς τότε
μεγαλυνθεὶς καὶ κρατυνθεὶς ὑπὲρ τοὺς πρώην πάντας
οὐχ ἱκανὸν ἐνόμισεν ἄρχειν Αἰγύπτου μόνης.
καὶ δὴ στρατὸν συναγαγὼν ἐκ πάσης φυλαρχίας, D
δορατιστὰς καὶ πελταστάς, βελεμνοτοξοφόρους,
θωρακοφόρους, αἰχμητάς, ἄνδρας ἀρειμανίους,
καὶ προσλαβὼν συμμαχικὸν ἐκ τοῦ τῶν Οὔννων ἔθνους,
καὶ προσεταιρισάμενος ἐν δώροις σύμπαν γένος,
πάσης κατέδραμε τῆς γῆς, καὶ μᾶλλον τῆς Ἀσίας,
καὶ πάντας κατηνάγκασε φόρους αὐτῷ προσφέρειν.
καὶ καθελὼν τοὺς πανταχῇ δυνάστας καὶ σατράπας
καὶ ταγματάρχας ἰσχυροὺς καὶ κραταιοὺς στρατάρχας
ὑπὸ τὴν ζεύγλην ἤγαγεν αὐτοῦ τῆς ἐξουσίας.
ἐνέπλησε λαφύρων δὲ καὶ σκύλων τοὺς συμμάχους,
τοῖς Οὔννοις δ' ἐχαρίσατο τὴν γῆν τῶν Ἀσσυρίων,
καὶ Πάρθους μετωνόμασε τοὺς Οὔννους ἤτοι Σκύθας.
καὶ νικητὴς ἀνέζευξεν ἐν ἔτεσιν ἐννέα P 13
σύμπασαν χειρωσάμενος Ἀσίας ἐθναρχίαν.
ἐφ' οὗ καὶ τὸ βασίλειον κράτος τῶν Ἀσσυρίων

556 *γίνεται* R 559 *μετέστη* A 561 *τραχυνθεὶς* M 563 *προσαγαγὼν* A 569 *κατηνάγκαζε* M 571 *ταγματάρχους* et *στρατάρχους* M 572 *δυναστείας* AR 573 *τε* R 575 *κατωνόμασε* AR

illi assentiente, uxorem et cohabitatricem accepit. ex quo lex apud Assyrios secuta est de matrum liberorumque nuptiis et legum naturalium confusione. res autem haec nefanda et exsecrabilis, ab Assyriis profecta, etiam ad Persas transiit.

Ceterum id temporis Aegypti rex Sesostris, auctus magnitudine potentiae supra reges ceteros priores, non satis arbitrabatur esse soli Aegypto imperare. quamobrem coacto de tota natione sua exercitu, in quo erant hastati, cetrati, sagittarii, loricati praeliatores, viri Mavortii, assumptisque belli sociis ex Unnorum gente, quam muneribus sibi totam adiunxerat, terram universam, Asiam maxime, percurrit, et omnes ut tributa sibi penderent vi coegit. sublatis etiam ubique nationum principibus et satrapis, sub iugum suae potestatis eas redegit. Unnis autem Assyriorum regionem dono dedit, et pro Unnis sive Scythis Parthos appellavit. hoc modo victor reversus est intra novem annos, universa imperio suo Asia subiecta. sub eodem regium Assyriorum imperium poten-

ἐπὶ μικρὸν ἀπώλεσεν ἣν εἶχε δυναστείαν.
ὡς δ' ἥρπασε καὶ Σέσωστριν θάνατος ἐκ τοῦ βίου,
τοῖς Ἀσσυρίοις ἤνθησε πάλιν ἡ βασιλεία
ὡς δένδρον ὑπὸ τοῦ πικροῦ κρυσταλλωθὲν χειμῶνος
καὶ μαρανθὲν καὶ νεκρωθέν, καὶ πάλιν ἀναζῆσαν
παραδραμόντος τοῦ δεινοῦ τῆς χειμερίας ὥρας.
τοῖς Ἀσσυρίοις τοιγαροῦν πάλιν ἡ σκηπτουχία
πρὸς τὴν προτέραν ἔφθασε τῆς τύχης εὐκληρίαν,
ἕως ὁ Σαρδανάπαλος ἦρξε τῶν Ἀσσυρίων,
γάστρις ἀνὴρ καὶ τρυφηλός, λαγνὸς καὶ γυναικίας,
B *ὃς ἐκθηλύνας ἑαυτὸν καὶ γυναιξὶ συγκλείσας*
ὑπέγραφε τὸ πρόσωπον, ἔβαπτε τὰς ὀφρύας,
ἐξύρα καὶ τὸ γένειον μέχρις ἐπιδερμίδος,
ἐδείκνυ καὶ τὰς παρειὰς ἐψιμμυθιωμένας,
καὶ πᾶν τὸ πρόσωπον ἁπλῶς εἶχεν ἐξηλλαγμένον,
καὶ μάχλος ἦν καὶ μαλακός, χαῦνος καὶ θηλυδρίας.
μόνης τρυφῆς ἐφρόντιζε, μόνης ἁβρᾶς τραπέζης·
συνήσθιε συνέπινεν εὐνούχοις καὶ μαχλάσι,
καὶ πᾶς ὁ βίος ἦν αὐτῷ πλήρης ἀκολασίας.
αὐτὸς μὲν οὖν συγκέκλειστο σὺν γυναιξὶν ἀσέμνοις,
ἀθέατος ἀόρατος ἄρχουσιν ἰδιώταις,
θερμοῖς λουτροῖς ἐνευπαθῶν καὶ μαλακοῖς ἀμφίοις·
C *διῴκουν δὲ τὰ πράγματα τούτῳ τῆς βασιλείας*
οἱ στρατηγοὶ τῶν πόλεων, ἐθνάρχαι καὶ χωράρχαι.

585 *βασιλεία* A 590 *ὑπέγραπτε* R 591 *ἐξύρει* MR
596 *μαχλῶσι* ARR 599 *ἀνόρατος* ARR

tiam, quam habuerat, exiguum ad tempus amisit. posteaquam vero mors etiam Sesostri vitam eripuit, rursus apud Assyrios regnum arboris instar, ab hieme acri laesae, floruit; quae arbor et emarcuit, et mortua vitam recepit, postquam hiberni temporis saevitia praeteriit. itaque rursus Assyriorum imperium ad priorem fortunae prosperitatem rediit, donec Sardanapalus apud Assyrios regnavit, homo gulosus, voluptarius, salax, effeminatus. qui cum se ipse evirasset ac inter feminas occlusisset, pingebat vultum, supercilia colorabat, radebat barbam usque ad cutem extimam, ostendebat et genas cerussa fucatas, totam denique faciem mutatam a forma virili habebat. secors erat, mollis, libidinosus, femineus: sola ipsi voluptas, sola mensa delicata curae erat. vescebatur, potabat cum eunuchis et scortis. tota eius vita erat intemperantiae plena. et ipse quidem conclusus erat apud impudicas feminas, neque vel a praefectis vel privatis hominibus cernebatur, calidis se lavacris et vestimentis oblectans mollibus: regni vero negotia duces urbium, nationum, locorum

οὕτως ἐβίου μαλακῶς, οὕτως ἐκλύτως εἶχεν,
ἕως εἰς βύθρον ἑαυτὸν ἤγαγεν ἀπωλείας
καὶ συναπώλεσεν αὐτῷ καὶ τὰ τῆς βασιλείας.
Ἀρβάκης γὰρ ὁ στρατηγὸς πολλάκις ἱκετεύων
τὸν Σαρδανάπαλον ἰδεῖν καὶ στῆναι πρὸ προσώπου
(οὔποτε γὰρ ἑώρακεν αὐτόν, οὐδ᾽ ἐν ὀνείροις),
καὶ τὰ πολλὰ μὲν ἀστοχῶν πρὸς τὸ πεποθημένον,
μόλις δ᾽ εὑρὼν ὡς ἕρμαιον τὸ τοῦτον ἱστορῆσαι,
ὡς εἶδεν, ὡς ἑώρακεν ἐψιμμυθιωμένον
ἄτριχα λειοπώγωνα γυναικοπροσωπίαν,
πορφύραν διαξαίνοντα μετὰ τῶν κορασίων,
εὐνούχοις τε συμπαίζοντα καὶ συνασχημονοῦντα,
καὶ μαλακὸν καὶ παντελῶς ἀνάξιον τοῦ κράτους, D
ἀγανακτήσας ἔπαισεν αὐτὸν ἐγχειριδίῳ,
καὶ τῶν ἐγκάτων ὤθησε μέχρις αὐτῶν τὸ ξίφος,
καὶ θάνατον ἐπότισε καὶ κύπελλον ὀλέθρου
τὸν μέχρι τότε τρυφηλῶς ἐκδεδιῃτημένον
καὶ τοῖς κρατῆρσι χαίροντα μέχρι τοῦ περιόρθρου.
οὕτως ἐκεῖνον ἔκτεινεν ὁ στρατηγὸς Ἀρβάκης,
δεινοπαθῶν εἰ λέγοιτο δοῦλος ἀνδρὸς τοιούτου.
Ἄλλοι δ᾽ οὐχ οὕτω γράφουσι τὰ τοῦ Σαρδαναπάλου,
λέγουσι δ᾽ ὡς ἀκούσαντες οἱ πρόσοικοι Χαλδαῖοι
χοιρόβιον αὐτόχρημα τυγχάνειν καὶ κτηνώδη
τὸν Ἀσσυρίων κράτορα τὸν Ἀνακυνδαράξου,

605 καὶ σὺν αὐτῷ ἀπώλεσεν M 608 οὐδέποτ᾽ ἐν A 610 ἱστορεῖται A 612 γυναικοπροσωπείοις A 617 αὐτοῦ MRR 622 τοιοῦδε AR 626 ἀνακυνδαράκου R

administrabant. sic molliter vixit, sic dissolute se habuit, donec in voraginem perditionis se ipse egit et secum regnum quoque ipsum perdidit. Arbaces enim dux saepius obsecrans ut Sardanapalum cerneret et coram ipso staret (nunquam enim viderat hominem, ne per somnium quidem), cum aliquoties desiderio excidisset vixque nactus esset conspectum huius tanquam rem faustam, ubi vidit, ubi fucatum cerussa conspexit, carentem pilis, imberbem, facie muliebri, pectentem purpuram inter puellas, colludentem cum eunuchis et cum iis turpiter se gerentem, mollem, prorsus indignum imperio, excandescens pugione improbum vulnerat, gladiumque ad ipsa usque intestina adigit, mortis interitusque poculo illi propinato, qui poculis ad auroram usque delectabatur. sic istum occidit Arbaces imperator, graviter ferens se viri talis amicum appellari.

Ceterum alii de Sardanapali rebus ita non scribunt, sed aiunt posteaquam audissent Chaldaei vicini Assyriorum regem Sardanapalum,

P 14 ὀρχηστοφιλοπαίγμονα, ζῶντα γυναικομίμως,
αὐτοῦ καταφρονήσαντες ὡς μαλακοκαρδίου,
ἐπῆλθον ἐκστρατεύσαντες ἐν βριαρᾷ δυνάμει,
καὶ συμπλακέντες τῷ στρατῷ τῷ τοῦ Σαρδαναπάλου
(κἀκεῖνος γὰρ ἀναμαθὼν τὴν τόλμαν τῶν Χαλδαίων
οὐκ ἤνεγκεν, ἀλλ' ἔπεμψεν ἄνδρας ἀξιομάχους)
ἐτρέψαντο τὸν στρατηγόν, ἥττησαν κατὰ κράτος,
καὶ νικηθεὶς ὁ στρατηγὸς ἔφευγεν ἀνὰ κράτος.
ὅπερ ὡς ἔγνω δείλαιος, ἀπορηθεὶς ἐκ πάντων,
πυρὰν ὑφῆψε λιπαρὰν ὕλαις ἀφθόνοις θρέψας,
καὶ τὰς χρυσᾶς συναγαγὼν καὶ λιθοστρώτους κλίνας
καὶ τοὺς ποικίλους στολισμοὺς καὶ τάλαντα χρυσίου
καὶ πᾶν ἁπλῶς βασίλειον ὅσον ἐν ἱματίοις,
ὅσον ἐν σκεύεσι χρυσοῖς, ἐν λίθοις, ἐν μαργάροις,
B κατὰ πυρᾶς ἠκόντισε πάντα τῆς πολυξύλου,
καὶ τελευταῖον ἑαυτόν. κἀντεῦθεν οἱ Χαλδαῖοι
κατὰ πολλὴν τὴν ἄδειαν ἐκράτουν Ἀσσυρίων,
καὶ τὴν ἀρχὴν εἰς ἑαυτοὺς μεθίστων καὶ τὸ κράτος.
Μετ' Ἀσσυρίους τέως δ' οὖν κατῆρξαν οἱ Χαλδαῖοι,
καὶ τὸ τῆς τύχης παίγνιον καὶ κύβος τῶν πραγμάτων
ἄλλοις ἐμπαῖξαν ἱκανῶς μετέπεσεν εἰς ἄλλους.
ἡνίκα δὲ συνέβαινε ταῦτα τοῖς Ἀσσυρίοις,
Ἑβραίων ἐκυρίευεν ὁ βασιλεὺς Ὀζίας,
ἕβδομος ὢν ἀπὸ Δαβὶδ τοῦ προφητικωτάτου.

633 τοὺς στρατηγοὺς M v. 634 om AM 644 μετῆγον M
645 ἐκράτησαν Χαλδαῖοι M

Anacyndaraxi filium, esse hominem eiusmodi qui porcorum iumentorumque more viveret, saltationum atque ludorum studiosus esset, ac mulieres imitaretur, ipsos eo contempto tanquam molli corde praedito, expeditione suscepta forti cum exercitu venisse, manuque cum Sardanapali milite conserta in fugam vertisse ducem, ac vi de adversario victoria potitos esse. quod cum miser intellexisset, destitutus ab omnibus pinguem rogum incendit, copiosa materie nutritum, collectisque lectulis aureis et gemmatis, itemque variis indumentis et talentis auri, omni denique supellectile regia vestium vasorumque aureorum ac gemmarum, unionum, necnon cuncta in rogum de lignis multis exstructum abiecit, ac tandem se ipse iis imposuit. deinceps Chaldaei citra omnem metum Assyriis imperabant, ac regnum potestatemque in se transferebant.

Atque in hunc modum post Assyrios Chaldaei rebus potiti sunt, et fortunae ludibrium rerumque alea cum aliis satis illusisset, ad alios inclinavit. quo autem tempore Assyriis haec accidebant, Hebraeis Ozias rex imperabat, a Davide maximo vate septimus. Chaldaeis inter alios

Χαλδαίων δ' ἐβασίλευσε σὺν ἄλλοις βασιλεῦσι
Σεναχηρὶμ ὁ σοβαρὸς καὶ γῆς τῶν Ἀσσυρίων
ἔθνους Βαβυλωνίων τε καὶ γένους τοῦ τῶν Μήδων·
ὃς ἐκστρατεύσας σοβαρῶς κατὰ τῆς Ἰουδαίας, C
καὶ βλασφημήσας εἰς θεὸν καρδίας ἀπονοίᾳ,
καὶ ῥήμασι χρησάμενος ὑπερηφανεστάτοις,
ἐδρέψατο τἀπίχειρα τῆς ματαιοφροσύνης.
ἄγγελος γὰρ ὑπὸ θεοῦ πεμφθεὶς κατὰ τὴν νύκτα
ὤλεσε πάντα τὸν στρατὸν ξίφους συγκόψας ἄνευ,
εἰς ἑκατὸν ποσούμενον χιλιανδρίας ὅλας
σὺν ἄλλοις ὀγδοήκοντα πρὸς πενταχισχιλίοις.
ὁ τοίνυν πρὶν ἀγέρωχος, ὁ πρὶν ὑπερηρμένος
ὡς λαγωὸς ἐγένετο ταχύπους φυγαδίας.
Μετὰ δὲ χρόνους βασιλεὺς ἦν Ναβουχοδονόσορ.
οὗτος τῆς τύχης εὐμενῶς αὐτῷ προσφερομένης
πάντων κατεδυνάστευσεν ἐθνῶν τῶν ἐν Ἀσίᾳ
καὶ πάντας ὑπηγάγετο πρὸς ἐτησίους φόρους, D
Χαλδαίους Ἀσσυρίους τε, Μήδους, Βαβυλωνίους.
ὑπήκοον ἐποίησε καὶ γένος Ἰουδαίων,
καὶ τὴν μητρόπολιν αὐτῶν τὴν περιφανεστάτην
Ἱερουσαλὴμ ἐδούλωσε, καὶ πρῶτος ὑποφόρους
τοὺς βασιλεῖς κατέστησεν. ὡς δ' ἀπεστάτουν οὗτοι,
τὸ τελευταῖον ἐπελθὼν μετὰ μυρίων ὅπλων

652 *Σεναχερείμ* R, *Σεναχειρίμ* R v. 653 add RR 656 *ὑπερηφανεστέροις* AMR 664 *Ναβουχοδονόσωρ* R 671 *πρώτους* M, *πάντας* R

reges Senacheribus superbus praefuit, itemque regioni Assyriorum, genti Babyloniorum et nationi Medorum. qui superba expeditione contra Iudaeam suscepta, et per cordis amentiam deo contumeliis affecto, cum verbis arrogantioribus usus esset, insaniae suae praemia consecutus est. angelus enim a deo noctu missus exercitum omnem absque gladio concisum perdidit, qui centum et octogintaquinque hominum milia continebat. itaque is qui prius superbus atque elatus erat, instar timidi leporis pedibus celer et fugitivus evadebat.

Secundum haec erat rex Nabuchodonosor, qui prospera fortuna usus omnes Asiae nationes subegit, et omnes adegit ad annua tributa, Chaldaeos Assyrios Medos Babylonios; ipsamque Hierusalem nobilissimam metropolim Iudaeorum, infinitis cum copiis veniens, bis evertit *), et

*) ipsamque — evertit] *pro his alii:* et obedientes dicto reddidit etiam Iudaeos, eorumque metropolim longe celeberrimam, nimirum Hierosolymam, in servitutem redegit, ac primum reges Iudaicos vectigales

(ὑπὲρ γὰρ ἄμμον ὁ στρατὸς ἦν Ναβουχοδονόσορ)
κατέσκαψεν εἰς ἔδαφος τὴν πόλιν τὴν ὀλβίαν,
καὶ πάντας τοὺς ἐξ αἵματος καὶ γένους βασιλείου
δοριαλώτους συλλαβὼν ἐν χώρᾳ Βαβυλῶνος
μετῴκισεν, ὡς ἔσοιντο τούτῳ θαλαμηπόλοι.
ἦν ἐν αὐτοῖς καὶ Δανιὴλ ὁ μέγας ἐν προφήταις,
P 15 οἱ τρεῖς τε παῖδες σὺν αὐτῷ σὺν ἄλλοις εὐγενέσι.
μετὰ μικρὸν δ' ὑπεραρθεὶς ὁ Ναβουχοδονόσορ
καὶ τὴν τῆς τύχης εὔνοιαν οὐ δυνηθεὶς βαστάσαι,
κἀντεῦθεν εἰς ἀπόνοιαν ἐκκυλισθεὶς ἐσχάτην
(αὐτὸν ἐθεοποίει γὰρ ὑπὸ φρενοπληξίας),
ἐταπεινώθη πρὸς θεοῦ ταπείνωμα φρικῶδες,
εἰς χοίρου μόρφωσιν τραπεὶς ἐξ εἴδους ἀνθρωπείου
καὶ ταύτην δίκην ὑποσχὼν τῆς ὑπερηφανίας.
Ἀλλ' ἵνα πάλιν εἰς ἀρχὴν τὸν λόγον ἀναγάγω,
Χαλδαίων ἐβασίλευσεν ὁ Ναβουχοδονόσορ,
καὶ μετ' ἐκεῖνον Μαροδάχ, καὶ μετ' αὐτὸν Βαλτάσαρ,
ἀμφότεροι βλαστήματα τοῦ Ναβουχοδονόσορ.
B Βαλτάσαρ τοίνυν ἐντρυφῶν τῷ τῆς ἀρχῆς μεγέθει
συμπότας παρελάμβανεν αὐτοῦ τοὺς μεγιστᾶνας,
καὶ ταῖς τραπέζαις λιπαραῖς αὐτοὺς ἐδεξιοῦτο.

674 ἦν στρατὸς ὁ M 675 κατέκαμψαν R 678 ἔποιντο A τούτου R 682 μὴ MR 684 ἐθεοποίησεν ὑπὸ φρενοβλαβίας R 686 μεταμόρφωσιν A, omisso εἴδους. 690 μαβροδὰχ A

omnes sanguinis generisque regii redactos in captivitatem Babylonem transtulit, ut essent ipsius cubicularii. erat inter hos etiam magnus ille vates Danielus, et tres illi pueri, cum aliis nobilibus. paulo post elatus nimium Nabuchodonosor, cum fortunae prosperitatem ferre non posset atque iccirco in furorem extremum devolutus esset, se ipse insania quadam animi deum fecit. sed horrendum in modum humiliatus est a deo, de humana forma in porci figuram commutatus, supplicium hoc propter superbiam ferens.

Verum ut sermonem ad priora reducam, Chaldaeis imperavit hic Nabuchodonosor, et post ipsum Merodachus; post quem Baltasarus, ambo Nabuchodonosoris filii. Baltasarus imperii magnitudine abutens compotores accipiebat sibi optimates, eosque mensis splendidis excipiebat.

---

fecit. cum autem ab eo defecissent, reversus infinitis cum copiis (quippe superabat arenam hic Nabuchodonosoris exercitus) urbem felicem beatamque de fundamentis evertit. Leuncl.

καὶ θέλων ἐπιδείκνυσθαι τὸ δαψιλὲς τοῦ πλούτου
πολυτελέσι σκεύεσιν ἐχρῆτο λιθοχρύσοις.
σὺν πᾶσι παρεισέφερε καὶ τοῦ ναοῦ τὰ σκεύη,
ἅπερ ἀφείλετο τὸ πρὶν ὁ Ναβουχοδονόσορ,
ἡνίκα Ἱερουσαλὴμ ἀπέκειρε τὸ κάλλος.
χρώμενος τοίνυν ἀδεῶς τούτοις εἰς ὑπουργίαν
(μεθύων γὰρ τοῖς πράγμασιν οὐδ' ὅλως ἐνενόει
ὡς ὁ θεὸς ἀγανακτεῖ τούτων ὑβριζομένων)
ἀστράγαλον ἑώρακε γράφοντα πρὸς τῷ τοίχῳ.
ἔλεγον δὲ τὰ γράμματα μανὴ θεκὲλ φάρες τε·
ἃ μηδενὸς ἰσχύσαντος ἑτέρου σαφηνίσαι C
ὁ Δανιὴλ ἡρμήνευσε τρανῶς καὶ φιλαλήθως
"μερίζων διεμέρισεν ὁ κτίστης σου τὸ κράτος·
ἐξέκοψεν ἐθέρισε τοὺς χρόνους τῆς ἀρχῆς σου.
μετατεθήσεται λοιπὸν ἡ καταδυναστεία
καὶ θρόνος ὁ βασίλειος εἰς ἄλλην φυλαρχίαν."
ταῦθ' ὁ προφήτης ἔφησεν ἐνώπιον Βαλτάσαρ,
μηδὲν ὑποστειλάμενος, μηδ' ὅλως ὑποτρέσας.
μετὰ μικρὸν ὁ Μῆδος δὲ Δαρεῖος ἐπελάσας
μετὰ πολλῆς δυνάμεως, ὃν φασιν Ἀστυάγην
παῖδες Ἑλλήνων Περσικὰς γράφοντες ἱστορίας,
καθεῖλε τὸν ὑπέροφρυν Βαλτάσαρ τὸν Χαλδαῖον,
καὶ Βαβυλῶνος ἔκαμψε τὴν σκληροτραχηλίαν,
καὶ Μηδικῆς ὑπόφορον ἐποίησεν ἰσχύος. D
κἀντεῦθεν ἐκυρίευσαν οἱ Μῆδοι τῆς Ἀσίας.

699 ὁπόταν M περιέκειρεν Ἱερουσαλὴμ RR 704 ἔλεγε R
705 ἰσχύοντος R 715 γράψαντες R

cumque demonstrare vel'et opum abundantiam, magni pretii vasis utebatur, factis ex auro et gemmis; interque cetera templi quoque suppellectilem intulit, quam olim Nabuchodonosor abstulerat, cum Hierosolymae pulchritudinem spoliaret. hanc ille cum citra metum in usum suum verteret (quippe rerum successibus ebrius plane non cogitabat deum moleste ferre sacrorum vasorum violationem), manum in pariete scribentem conspexit. literarum haec erant verba: mane tecel phares. quae cum alius nemo declarare posset, Danielus perspicue ac vere interpretatus est: "dividens divisit rerum opifex imperium tuum, excidit ac demessuit annos regni tui. transferetur deinceps potentia tua soliumque regium ad nationem alteram." haec vates ille coram Baltasaro dicebat, nihil reveritus nec omnino quicquam expavescens. non multo post cum Darius Medus, quem Astyagen vocant Graeci qui de rebus Persicis scripserunt, magnis cum copiis advenisset, sustulit e medio superbum illum Baltasarum Chaldaeum, et Babylonis cervices duras flexit, illamque Medorum potentiae vectigalem fecit. ex eo tempore Medi universis regionibus po-

ἀλλ' οὐδ' αὐτοῖς παρέμεινεν ἄχρι πολλῶν ἡλίων
τὸ κράτος τὸ βασίλειον, ἀλλ' ἀπερρύη θᾶττον.
τὸ κράτος δ' ὅπως ἀπ' αὐτῶν τῶν Μήδων ἐξαπέπτη,
ἐπιδρομάδην καὶ σαφῶς ὁ λόγος ἱστορήσει.
Θυγάτηρ ἦν τῷ βασιλεῖ τῶν Μήδων Ἀστυάγει
εὐπρόσωπος εὐπάρῃος εὔχρους εὐπρεπεστάτη·
Μανδάνην τὸ κοράσιον ὠνόμασεν ὁ σπείρας.
πρὸς ταύτην τοίνυν ὁ πατὴρ ἔσχε ζηλοτυπίαν
ἐξ ὀνειράτων θροηθεὶς νυκτέρων ἐξαισίων.
οὐροῦσαν βλέπειν ἔδοξε τὴν κόρην τὴν Μανδάνην,
τοσοῦτον δ' εἶναι τὸ χυθὲν ὑγρὸν ὡς ἐξισχῦσαι
P 16 τῆς γῆς τῆς Ἀσιάτιδος τὸ πρόσωπον καλύψαι.
οὗτος ὁ πρῶτος ὄνειρος, δεύτερος δ' αὖθις οὗτος·
ἔδοξε βλέπειν κάτωθεν ἐκ τῆς αἰδοῦς Μανδάνης
ἀναφυεῖσαν ἄμπελον, ὑφ' ἧς πᾶσαν Ἀσίαν
καὶ γένος Μήδων καὶ Περσῶν κατάσκιον γενέσθαι.
τοιοῖσδε γοῦν ὁ βασιλεὺς ἐκταραχθεὶς ὀνείροις
ὑπέτρεφεν ἀπέχθειαν λάθρᾳ κατὰ Μανδάνης,
πολλοὺς δὲ στρέψας λογισμοὺς περὶ τοῦ ποιητέου
ἔγνω κατασοφίσασθαι τὴν τύχην ἐπινοίᾳ.
τὴν κόρην τοίνυν ζεύγνυσιν ἀνδρί τινι Καμβύσῃ
(ἦν δ' ὁ Καμβύσης δυσγενὴς καὶ τῶν ταπεινοτέρων),
B ὡς ἂν τὸ προσδοκώμενον ἐξαμαυρώσῃ κλέος,
τοῦ γένους τὴν λαμπρότητα θολώσας δυσγενείᾳ.

722 ἐξ R 724 Δαρεῖος μέγας ὁ πολὺς παῖδα θήλειαν τίκτει εὐπάρειον εὐπρόσωπον εὔχρουν εὐπρεπεστάτην M 737 τάχα M 738 κατὰ R

titi sunt. verum nec apud illos multis annis regium imperium mansit, sed cito defluxit.

Quo autem pacto regnum a Medis avolaverit, breviter ac dilucide narratio nostra exponet. erat Astyagi regi Medorum filia pulcherrima, quam pater appellaverat Mandanem. erga hanc ille quadam ardebat invidia, nocturnis somniis infaustis territus. nam sibi videre visus fuerat Mandanem filiam meientem, et quidem tantam urinae copiam ut ea posset Asiaticae terrae superficiem regere. hoc primum ei fuerat oblatum somnium. alterum habuerat huiusmodi. videbatur sibi videre de verendis Mandanes enatam vitem, a qua tota Asia, Medorum Persarumque nationes inumbrarentur. talibus ergo somniis rex territus adversus Mandanem clandestinas inimicitias alebat. cumque varie cogitasset quid faciendum esset, ingenio fortunam eludendam esse statuit. quapropter puellam viro cuidam iungit, cui Cambysae nomen esset (erat autem Cambyses hic ignobilis et plebeius), ut claritatem exspectatam imminueret, generis splendore per ignobilitatem vitiato. cum autem intellexisset esse

ὡς οὖν ἐπέγνω κύουσαν ὕσον οὐδέπω ταύτην,
καθῆστο καιροφυλακῶν, τὸν τόκον περιμένων.
μετὰ μικρὸν δ' ἐξέθορεν ἄρρεν ἐκ τῆς Μανδάνης,
καὶ τὸ τεχθὲν ὁ βασιλεὺς λαβὼν καὶ περιστείλας
Ἁρπάγῳ παραδίδωσιν, ὡς ἐξαναλωθείη.
ὁ δὲ βουκόλῳ δίδωσι τὸ βρέφος διαφθεῖραι,
ἐκτεθησόμενον βορὰν θηρίοις ὀρεστέροις.
τὸ μετὰ τοῦτο τί καὶ πῶς; ἔλαβεν ὁ βουκόλος,
εἰς τὴν οἰκίαν ἤγαγεν, εὗρε τὴν συζυγοῦσαν
ἄρτι νεκρὸν ἀπὸ γαστρὸς βρέφος ἐξενεγκοῦσαν.
δείκνυσιν ὅπερ ἔφερε, ζητεῖ τὸ ποιητέον.
κοινῇ γοῦν συσκεψάμενοι τὸ μὲν νεκρὸν ῥιπτοῦσι,
τὸ δὲ δοθὲν ἐκτρέφουσιν ὡς γνήσιον παιδίον. C
τὸ δ' ἐφεξῆς ὡς θαυμαστόν! ἡλικιώθη Κῦρος,
σὺν παιδαρίοις ἔπαιζεν, ᾑρέθη βασιλεύειν,
ἐπέταττεν τοῖς ἥλιξιν ὡς ἤθελεν ἑκάστῳ.
πᾶσι μὲν οὖν τὸ κελευσθὲν ὡς τάχος ἐτελεῖτο·
ὁ δ' Ἀρτεμβάρου μόνον παῖς συμπαίστωρ ὢν τῷ Κύρῳ
ἀνηκουστήσας πέπονθε τὰ τῆς ἀνηκοΐας,
καθυβρισθεὶς καὶ κραταιαῖς ὑποβληθεὶς αἰκίαις.
ἦν δ' Ἀρτεμβάρης εὐγενὴς καὶ τῶν ὑπερεχόντων.
ὁ παῖς ὑβριοπαθήσας πρόσεισι τῷ τεκόντι,
τὴν ὕβριν φράζει τῷ πατρί, μηνύει τὰ πραχθέντα.
θυμὸς εὐθὺς κατέλαβε σφοδρὸς τὸν Ἀρτεμβάρην,

748 παῖδα δίδωσιν A 756 τεκνίον AR 757 βρέφος R
758 ἠρέσθη AM 759 ἐπέταξε M 763 κραταιῶς R
765 ὑβριοπάθησε ARR 767 σφοδρῶς R, σφόδρα R

praegnantem, sedebat observans tempus et partum exspectans. paulo post filius masculus e Mandane prosiliit. eum rex cum accepisset ac involvisset, Harpago tradit, ut interficeretur. ille vero infantem occidendum bubulco dat, qui exponeretur, ut feris montanis esca foret. quid inde? quo pacto res acta? bubulcus accipit, domum suam puerum deportat: reperit coniugem, quae recens infantem mortuum pepererat. ostendit infantem illi, quem ferebat: quid agendum, rogat. re deliberata inter se mortuum abiiciunt, datum genuini filii loco nutriunt. Cyrus autem (o rem prodigiosam!) cum adolevisset, cum pueris colludens, rex electus est. imperabat aequalibus, uti volebat, singulis. et omnes quidem imperata cito faciebant: solus Artembarae filius, Cyri collusor, cum dicto non obtemperasset, inobedientiae poenas luit, laesus atrociter gravique supplicio multatus. erat autem Artembares ingenuus et illustris, cuius filius laedebatur. is patrem accedit, iniuriam acceptam narrat, rem actam indicat. mox Artembares ira gravi corripitur; cumque regem con-

καὶ προσελθὼν τῷ βασιλεῖ τὴν ὕβριν ἀπαγγέλλει.
D *καὶ γίνεται μετάπεμπτος ὁ Κῦρος τὸ παιδίον,*
καὶ πολυπραγμονούμενος σὺν ἀπειλαῖς βαρείαις
ἐν ἐλευθέρῳ στόματι τὸ πᾶν καθωμολόγει.
ὁ βασιλεὺς ἐθαύμασεν αὐτοῦ τὴν παρρησίαν,
καὶ τὸν βουκόλον ἔμελλεν αἰκίαις ὑποβάλλειν,
τὸν δῆθεν νομιζόμενον εἶναι πατέρα Κύρου,
ὡς ἂν ἐξαγορεύσειε τίνος ὁ Κῦρος τέκνον.
οὐκ ἤνεγκε τὰς ἀπειλὰς ἐκεῖνος ὁ βουκόλος,
καὶ πᾶν εὐθὺς τὸ γεγονὸς τῷ βασιλεῖ γνωρίζει.
κοινοῦται ταῦτα τοῖς σοφοῖς καὶ Μάγοις Ἀστυάγης·
ἀλλ᾽ ἔσφηλεν, ὡς ἔοικε, τούτους ἰσχὺς ἡ θεία,
καὶ τὴν λαμπρότητα τὴν πρὶν αὐτοῖς ἐλπιζομένην
ἐν τοῖς παιγνίοις ἔφασαν ἐκβῆναι τῷ παιδίῳ.
P 17 *καὶ τοῦτο μὲν ἠγάθυνεν ἐκείνου τὴν καρδίαν,*
ἄλλο δὲ πάλιν ἔκνιζεν· ὡς γὰρ ἐχθρὸν ἐμίσει
Ἅρπαγον τὸν δυσδαίμονα, τὸν περισεσωκότα
τὸν Κῦρον καὶ μὴ φθείραντα μηδ᾽ ἐξηφανικότα.
καὶ τοῦτον μεταπέμπεται δῆθεν εἰς πανδαισίαν
σὺν τῷ παιδί, τὸν Ἅρπαγον. καὶ τὸν μὲν τούτου παῖδα
βαρβαρικῶς ὡς ἀρνίον οἴκτιστα καταθύει,
ἐλθόντι δὲ τῷ δυστυχεῖ πρὸς τράπεζαν Ἁρπάγῳ
ἐν σκεύει παρατίθησι τὰ τοῦ παιδίου κρέα.
ὁ δὲ μὴ γνοὺς τὸ γεγονὸς ἔφαγεν ἄχρι κόρου.

779 *ἔσφαλεν* R 781 *τὸ παιδίον* MRR 786 *καὶ δῆθεν μετ. τοίνυν* R, *καὶ τοίνυν μετ. τοῦτον* R 788 *ἀρνειὸν* A, *ἀρνιὸν* RR 790 *τὰ κρέα τοῦ παιδίου* R

venisset, iniuriam filio factam exponit. hoc modo Cyrus etiamnum puer arcessitur. cumque curiose rogatus esset non sine gravibus minis, ore libero rem omnem confitetur. rex libertatem ipsius audaciamque miratur, ac bubulcum affecturus erat poenis, qui esse Cyri pater existimabatur, ut enuntiaret cuiusnam filius esset Cyrus. eas bubulcus iste minas non tulit, sed regi rem totam mox indicavit. Astyages omnia cum sapientibus et Magis communicat. verum fefellit hos, ceu credi par est, divina potentia. nam splendorem, quem prius exspectabant ac formidabant, consecutum esse puerum ludicris in rebus perhibebant. haec quidem oratio cor regis deleniebat, verum aliud quiddam urebat. etenim Harpagum infelicem tanquam hostem oderat, qui Cyrum servasset nec illum e medio sustulisset. igitur Harpagum cum filio velut ad convivium arcessit. filium autem barbaro more instar agni miserrime mactat. cumque infelix Harpagus ad mensam accessisset, in patina ei carnes filii apponit. ille quid actum esset ignorans ad satietatem edit. statim vero post cenam

εὐθὺς μετὰ τὸ δεῖπνον δὲ καὶ κεφαλὴ καὶ χεῖρες
Ἁρπάγῳ παρεφέροντο παιδίου τοῦ τυθέντος.
ὁ δ' ἔγνω μὲν τὸ τολμηθέν, οὐκ ἔχων δ' ὅτι δράσει, B
ἦν ἐγκοτῶν καθ' ἑαυτόν, στυγῶν τὸν Ἀστυάγην.
τοῦ Κύρου μεταστάντος δὲ πρὸς Πέρσας ἀπὸ Μήδων
ἐφαψαμένου τε λοιπὸν ἀνδρώδους ἡλικίας,
οὐκ ἔληγεν ὁ δυστυχὴς Ἅρπαγος πάντα πράττων
καὶ πάντα μηχανώμενος, καὶ Κῦρον ἐρεθίζων
τὸν Ἀστυάγην τίσασθαι καὶ τῆς ἀρχῆς ἐκστῆσαι,
ἕως αὐτὸν παρώρμησε καὶ στρατιὰν ἐγεῖραι
καὶ προσβαλεῖν καὶ κραταιῶς τῷ πάππῳ συμπλακῆναι.
τὰ μετὰ ταῦτα τίνα δέ; νικᾷ λαμπρῶς ὁ Κῦρος,
νικᾶται Μήδων βασιλεύς, ζωγρεῖται τελευταῖον,
καὶ μετατίθεται λοιπὸν τὸ κράτος ἐπὶ Πέρσας.
οὕτως οὖν ἀνεζώσατο Κῦρος τὴν βασιλείαν,
καὶ Κροῖσον τὸν πολύχρυσον τὸν τῶν Λυδῶν δυνάστην C
ἀντιπαραταξάμενον εἶχε δεσμώτην ζῶντα.
Ἀλλὰ γὰρ ὧδε γεγονὼς ἐπιμνησθείς τε Κροίσου
ἐπιμνησθήσομαι λοιπὸν καὶ τῶν Λυδῶν τῆς τύχης,
κἂν οὐ μεγάλη γέγονεν οὐδὲ τῶν περιδόξων,
ὥσπερ ἡ Μήδων καὶ Περσῶν, ὡς ἡ τῶν Ἀσσυρίων.
Κανδαύλης ἐβασίλευε Λυδίας καὶ Φρυγίας,
σειρὰν τοῦ γένους, ὥς φασιν, ἕλκων ἐξ Ἡρακλέος.
οὗτος συνῴκει γυναικὶ τὸ κάλλος ἐξαισίᾳ,

794 ὡς ἔγνω A   εἶχεν R   803 δή RR   808 ἀντιπαραταξάμενος M   809 τοῦ R   813 ἐβασίλευσε MRR

et caput et manus filii mactati ad Harpagum deferebantur. hinc quid factum esset intelligebat ille quidem: sed ipse quid ageret nesciens, apud animum excandescebat et Astyagem oderat. cum autem Cyrus ad Persas e Media rediisset, iamque virilem attigisset aetatem, non cessabat infelix Harpagus omnia facere, omnia moliri, ac Cyrum irritare ut se de Astyage ulcisceretur et eum imperio deiiceret, donec hominem permovit, ut et copias colligeret et avum magna vi aggrederetur. quid factum secundum haec? Cyrus splendide vincit, Medorum rex vincitur, capitur, imperium deinceps ad Persas transfertur. sic igitur Cyrus regno potitur. praeterea Croesum, illum pecuniosum Lydorum principem, acie congressus vivum in potestatem suam accepit.

Enimvero cum huc pervenerim, Croesique mentionem fecerim, etiam de Lydorum fortuna quaedam commemorabo, quanquam ea nec ampla nec illustris exstiterit, ut Medorum, ut Persarum, ut Assyriorum fortuna.

Regnavit in Lydia Phrygiaque Candaules, generis originem, ceu perhibent, ab Hercule ducens. habebat is uxorem, quae esset eximia pulchri-

φαιδροπροσώπῳ τρυφερᾷ καὶ φοινικοπαρῄῳ.
τοσοῦτον οὖν ἐκαίετο τῷ πόθῳ τοῦ γυναίου
ὡς τῷ θεράποντι ποτὲ (Γύγης δ' ἦν ὁ θεράπων)
τὸν πόθον καὶ τὸν ἔρωτα τρανῶς δημοσιεῦσαι
D καὶ σχεῖν θελῆσαι θεατὴν τοῦτον τῆς συνοικούσης,
θεοβλαβῶς, ὡς ἔοικε, καὶ τὸ τῆς Μοίρας ξίφος
ἐξακονῶν καθ' ἑαυτοῦ καὶ πρὸς τομὴν ἐπείγων.
ὁ μὲν Κανδαύλης ἔκρυπτε τὸν Γύγην πρὸς τὴν θύραν,
ἐκείνη δ' ἀπεδύετο, καὶ Γύγης ἐνετρύφα
γυμνῷ τῷ κάλλει τῆς σαρκὸς τῆς ἑαυτοῦ δεσποίνης.
εἶδε τὸν Γύγην ἡ γυνή, γυναικοθύμως εἶχε.
ὑβριοπάθησε δεινῶς, μετακαλεῖ τὸν Γύγην,
δίδωσιν αἵρεσιν δυοῖν, ἢ τὸν δεσπότην κτεῖναι
κερδᾶναί τε καὶ τὴν ἀρχὴν καὶ γαμετὴν ἐκείνην,
ἢ τοῦ θανάτου ταῖς ποιναῖς αὐτὸν καθυπαχθῆναι·
τῶν γὰρ Λυδῶν ταῖς γυναιξὶν αἰσχρὸν ἦν τὸ φανῆναι
ἀχίτωσί τε καὶ γυμναῖς ἀνδράσιν ἀλλοτρίοις.
P 18 εἵλετο Γύγης τὴν ζωήν, κτιννύει τὸν δεσπότην,
εὐθὺς ἐπαναβαίνει δὲ πρὸς ὕψος βασιλείας.
ὁ πρὸ μικροῦ δὲ ταπεινὸς ἐξαίφνης ἀνεφάνη
ἐξ ἰδιώτου βασιλεύς, δεσπότης ἀπὸ δούλου.
Οὗτος ὁ Γύγης, ὥς φασιν, εὐνούχισε γυναῖκας,
ὡς νεαζούσαις εἰς ἀεὶ χρῷτο περὶ τὴν μῖξιν.

818 τοὔνομα τῷδε Γύγης M 821 φρενοβλαβῶς AR τοῦ φόνου R 826 ἔσχε R 827 σφοδρῶς AR μετακαλεῖται R 829 καὶ γαμετὴν καὶ τὴν ἀρχὴν R 830 τῇ τομῇ αὐτῷ M, τὴν τομὴν αὐτῷ A, πρὸς τομὴν αὐτὸν R 831 ἄτοπον ἦν φανῆναι R 833 κτείννυσι R 838 ἐς ARR

tudine, fronte hilari, delicata, genis purpureis. eius tanto desiderio et amore flagrabat, ut aliquando ministro suo (is Gyges erat) desiderium amoremque suum patefaceret, atque illum suae coniugis spectatorem esse vellet, delirans, ut videtur, ac fati gladium contra se ipse acuens et ad laedendum se proritans. itaque Gygem Candaules ad ianuam occultat: illa se exuit, Gyge de nuda pulchritudine corporis herae suae voluptatem capiente. videt Gygem mulier: ira muliebri accenditur, affectam se iniuria putat, Gygem arcessit, dat optionem duorum, vel ut herum occideret ipsamque coniugem cum imperio lucrifaceret, vel interfectus mortem ipse oppeteret. nam turpe Lydorum uxoribus erat ab alienis viris conspici, cum vestibus indutae non essent. Gyges vitam eligit: herum interficit. statim ad regni sublimitatem pervenit: qui paulo ante humilis erat, subito emicat, factus ex privato rex, herus e servo.

Hic Gyges (hoc enim memoriae proditum accepimus) castrabat mulieres, ut eis semper integris et iuvenculis ad venerem uteretur.

Τούτου τοῦ Γύγου τῆς σειρᾶς καὶ βασιλεὺς ἦν Κροῖσος,
ὃν Κῦρος ἐχειρώσατο πεισθεὶς ταῖς ὑποθήκαις
ταῖς τοῦ προφήτου Δανιήλ. ὁ μὲν γὰρ ἐδεδίει
Κροῖσον ὡς πολυτάλαντον, καὶ φεύγειν ἐνενόει
πτοούμενος τὴν εὔροιαν τῆς εὐποτμίας Κροίσου·
ὁ Δανιὴλ δ' ἐθάρρυνεν εἰπὼν τὴν προφητείαν,
ἣν πρὸ πολλῶν τῶν γενεῶν ἔλεξε περὶ Κύρου B
ὁ μεγαλοφωνότατος προφήτης Ἡσαΐας.
Οὗτος ὁ Κῦρος ὁ πολὺς τοῖς ἐν αἰχμαλωσίᾳ
Ἑβραίοις ἐχαρίσατο τὰ τῆς ἐλευθερίας,
καὶ τὴν μητρόπολιν αὐτῶν ἐπέτρεπεν οἰκίζειν,
ἣν ἀπὸ βάθρων ἔσκαψεν ὁ Ναβουχοδονόσορ.
Τοῦ Κύρου τεθνηκότος δὲ Καμβύσης παῖς ὁ Κύρου
τὰ τῆς ἀρχῆς ἐδέξατο καὶ τὰ τοῦ κράτους σκῆπτρα.
καὶ μετ' αὐτὸν ἐκράτησε Δαρεῖος παῖς Ὑστάσπου.
ἀλλὰ γὰρ ἄξιον εἰπεῖν ὅπως συνέβη τοῦτο.
Ὑπῆρχε παῖς τῷ βασιλεῖ Κύρῳ τὴν κλῆσιν Σμέρδις,
θυμοειδὴς καὶ σθεναρός, ἄλκιμος καὶ γενναῖος.
τούτῳ Καμβύσης ἐγκοτῶν ὡς βριαρῷ τὰς χεῖρας,
ὅτι τὸ τόξον ἴσχυσεν ἐπὶ μικρὸν ἐντεῖναι C
ὅπερ οἱ πρέσβεις ἤγαγον ἐκ τῆς Αἰθιοπίας,
ἄλλως τε καὶ ζηλοτυπῶν ἔκ τινων ὀνειράτων
(ἐδόκει γὰρ ἐν φάσμασιν ὁρᾶν ὀνειροπλάστοις
θρόνον ἁβρὸν βασίλειον, ἄπλετον τὰ πρὸς ὕψος,

843 εὐτολμίας R 845 ἐκ R 849 ἐκέλευσεν M 851 ὁ παῖς AR

Eius Gygis e stirpe Croesus rex erat, quem Cyrus cepit, Danieli vatis admonitionibus obtemperans. nam Cyrus Croesum velut opulentum metuebat, ac fugere cogitabat, prosperitatem audaciae Croesi reformidans. verum Danielus eum confirmabat indicato vaticinio, quod ante multas aetates Esaias protulerat.

Illustris hic rex Cyrus Hebraeis, qui erant in captivitate, libertatem est largitus, concesso etiam ut ipsorum metropolis exstrueretur, quam a fundamentis Nabuchodonosor everterat.

Cyro mortuo filius eius Cambyses regnum cum imperii sceptris accepit. post quem imperavit Darius Hystaspis filius. fuerit autem operae pretium narrare qui hoc factum sit.

Cyrus rex filium habebat nomine Smerdim, animosum, robustum, fortem, generosum. huic succensebat Cambyses ut homini robusto, quod paululum potuisset arcum tendere, quem ex Aethiopia legati attulerant, alias etiam ipsi propter insomnia quaedam invidens. quippe visus sibi fuerat per quietem solium elegans, regium, altitudine immensa cernere,

ἐν τούτῳ δ' ἐφεζόμενον τῷ θρόνῳ λαμπρὸν ἄνδρα
καὶ ψαύοντα τῇ κεφαλῇ τῶν οὐρανίων ἄστρων·
ὡς δέ τινος ἐπύθετο τίνος ὁ θρόνος εἴη,
ἤκουσεν εἶναι Σμέρδιος ὃν καθορῴη θρόνον,
καὶ τὸν ἐγκαθιζάνοντα τῷ θρόνῳ Σμέρδιν εἶναι),
ἐκ τούτων τοίνυν οὐ καλῶς διατεθεὶς πρὸς Σμέρδιν
δολοφονίας ἤρτυσε μύσος τῷ ταλαιπώρῳ.
τοὺς δὲ πολλοὺς ἐλάνθανεν τοῦ Σμέρδιος ὁ φόνος.
D ὡς οὖν Καμβύσης ἔπιε τὸν τοῦ θανάτου σκύφον,
οἱ τῶν δωμάτων φύλακες τῶν βασιλείων Μάγοι,
ὧν ὁ μὲν εἷς ἐλέγετο Σμέρδις ὁ δ' Ἀσπαθίνης,
εἰς σφᾶς αὐτοὺς μεθείλκυσαν τὸ κράτος καὶ τὸ κῦρος.
καὶ φήμη μὲν ἐφέρετο καὶ λόγος παρὰ Πέρσαις
ὡς τῆς ἀρχῆς τῆς Περσικῆς ἡνίας ἔχει Σμέρδις,
αὐτοὶ δ' οὐκ ἦσαν θεατοί, τὸ πλῆθος δεδιότες·
νόμος γὰρ μέγας ἄρρηκτος ἐκράτει παρὰ Πέρσαις,
οὐκ ἐπιτρέπων ἄρχεσθαι τούτους ὑπ' ἄλλου γένους
οὐδ' ἔχειν ἄλλον κράτορα, πρὶν ἂν ὑπὸ θανάτου
τὸ γένος τὸ βασίλειον ἅπαν ἐκριζωθείη.
ὡς δ' ἐπεγνώσθη τοῖς πολλοῖς ἡ κακομηχανία
καὶ τὸ τῶν Μάγων δολερὸν κατὰ μικρὸν ἐφάνη,
P 19 ἑπτὰ Περσῶν οἱ πρώτιστοι πρὸς λόγους συνελθόντες
καὶ συσκεψάμενοι πολλὰ καὶ παρασκευασθέντες
(ὑπῆρχε δ' εἷς ἐκ τῶν ἑπτὰ Δαρεῖος παῖς Ὑστάσπου)

863 ἐφιζόμενον A 869 ἤρτυε R 870 ὁ κατὰ Σμέρδου φθόνος M 873 Σμέρδης μὲν εἷς ἐλέγετο, ὁ δ' Ἀσπαθίνης ἄλλος RR 875 ἐλέγετο R 876 εἶχε A 879 παρ' A

ac in eo sedentem quendam virum illustrem, qui caelestia sidera capite contingeret. cumque de quodam interrogasset cuius esset hic thronus, audierat esse solium Smerdis, quod cerneret, et eum qui sederet in solio, Smerdim esse. hinc ergo non optime erga Smerdim fratrem affectus fraudulentam necem infelici moliebatur. postquam vero Cambyses mortis poculum ebibisset, Magi qui regiarum aedium custodes erant, quorum unus vocabatur Smerdes alter Spathines, ad se ipsos imperium et auctoritatem trahebant. nam vulgo caedes Smerdis erat incognita. et rumor quidem hominum sermone ferebatur, imperii Persici gubernacula Smerdim habere; verum ipsi non cernebantur, ut qui vulgus metuerent. etenim magna lex et inviolabilis apud Persas valebat, quae ipsos ab alia familia gubernari vetaret, nec habere vellet alium regem, prius quam morte regia familia tota exstirpata foret. cum autem haec molitio foret a pluribus animadversa et Magorum fraus paulatim patefacta, septem Persarum principes ad colloquium congressi, reque multum deliberata et constituta (erat

τοῖς Μάγοις ἐπιτίθενται καὶ ξίφεσι κεντοῦσι.
πολλὰ δὲ βουλευσάμενοι καὶ περὶ βασιλείας
τὸ τελευταῖον ἔκριναν, οὗ τινὸς τούτων ἵππος
χρεμετισμῷ χρησάμενος πρὸ πάντων φωραθείη
ἄρτι πυρσεύοντος τὴν γῆν τοῦ φεραυγοῦς ἡλίου,
οὗτος κατάρξειε Περσῶν, οὗτος ἀρχηγετήσαι.
ἦν ταῦτα τὰ συνθήματα, Δαρείῳ δ' ἱπποκόμος
ἦν ἱκανὸς τεχνάζεσθαι τοιαύταις ἐπινοίαις.
οὗτος μαθὼν καὶ διαγνοὺς ὁποίαν ἵππον στέργει B
τῶν ἄλλων πλέον ἁπασῶν ἵππος ὁ τοῦ Δαρείου,
μετὰ τὴν μῖξιν τοῖν ἀμφοῖν οὖρον λαβὼν ἐκείνης
ἐκ τούτου περιέχρισε μυκτῆρας τοὺς ἱππίους.
ἅμα δὲ καθιππάσαντο, καὶ πρῶτος ὁ Δαρείου,
ἐκ τῆς ὀσμῆς συγκινηθεὶς τῶν οὔρων τῆς θηλείας,
καὶ φριμαγμοῖς ἐχρήσατο καὶ χρεμετίζων ὤφθη.
καὶ τὸ καινὸν καὶ θαυμαστὸν ὅτι βροντώδης ἦχος
καὶ στεροπαὶ γεγόνασι θαμβοῦσαι τοὺς παρόντας,
οἳ ταῦθ' ὡς ἐθεάσαντο, τῶν ἵππων ἀποβάντες
Δαρείῳ προσεκύνησαν, ὡς ἔθος παρὰ Πέρσαις.
Τῆς οὖν ἀρχῆς τοὺς οἴακας δεξάμενος Δαρεῖος
πολλὰς μὲν προσεκτήσατο καὶ νήσους ἁλικλύστους
καὶ πόλεις ἠπειρωτικὰς καὶ τὴν Ἀσίαν πᾶσαν
στρατὸν δὲ μυριάριθμον καὶ κατὰ τῶν Ἑλλήνων C
ἐκπέμψας κεκινδύνευκε πάντων ἐκεῖ πεσόντων.

901 φρυαγμοῖς R 903 ἀστραπαὶ AM

autem unus ex septemviris Hystaspis filius) Magos adoriuntur eosque gladiis occidunt. multis vero consiliis de regno habitis tandem statuunt, cuius ex ipsis equus ante omnes hinnitu uti deprehenderetur, recens lucente supra terram sole lucis auctore, eum imperio Persarum potiri debere. probabantur haec pacta. Dario curator equorum erat idoneus ad huiusmodi res solerter efficiundas. is cum animadvertisset quam amaret equam supra ceteras equus Darii, a congressu amborum accepta equae urina nares equi hac passim inunxit. equitabant iam una, cum primus Darii equus odore motus urinae ab equa exceptae hinnitu in oculis omnium uti coepit. accedebat res nova et mira, quod tonitrua fulminaque exorta praesentes obstupefaciebant. qui visis his statim ex equis delapsi Darium more Persico adorabant.

Itaque regni gubernacula cum Darius accepisset, multas adiecit ei mari cinctas insulas et urbes in continenti Asiamque totam. cumque copias infinitas etiam adversus Graecos emisisset, damnum accepit omnibus interfectis.

Μετὰ Δαρεῖον τούτου παῖς Ξέρξης Περσῶν κατῆρξεν,
ὃς προσβαλὼν τοῖς Ἕλλησιν ἐκ γῆς ἀπὸ θαλάσσης,
ἐκ ναυτικῶν ἐξ ἱπποτῶν, ἐκ πάσης ἐπινοίας,
καὶ τὸν στρατὸν ἀπώλεσε καὶ μόνος ἐπὶ πλοίου
μόλις φυγὼν καὶ διαδρὰς αἰσχρῶς ἐπαλινόστει.
Μετὰ τὸν Ξέρξην ἦρξε δὲ μακρόχειρ Ἀρταξέρξης,
καὶ καθεξῆς γεγόνασιν ἄλλοι πολλοὶ Περσάρχαι,
καὶ τῶν ἐθνῶν ὑπήγαγον τὰ πλείονα δουλείᾳ,
ἕως Ἀλέξανδρος ἐλθὼν ὁ Μακεδὼν ὁ μέγας
Περσῶν παρέλυσεν ἀρχήν, εἷλε τὴν δυναστείαν,
εἰς ἔτη διαρκέσασαν ἀπὸ τοῦ πρώτου Κύρου
D *δὶς ἑκατὸν καὶ σὺν αὐτοῖς εἰς ἕτερα τρὶς δέκα,*
ὡς ἐν τοῖς βίβλοις φέρεται τῶν παλαιγενεστέρων.
Οὗτος Περσῶν ἐκράτησεν, οὗτος Ἰνδῶν κατῆρξε,
τούτῳ καθυπετάγησαν Συρία καὶ Φοινίκη
καὶ πᾶν ἔθνος καὶ πάσης γῆς χωράρχαι καὶ σατράπαι
ἀπ᾽ ἄκρων τῶν ἀνατολῶν μέχρι δυσμῶν ἐσχάτων.
ὡς δὲ καὶ τοῦτον ἄνθρωπον ὄντα θνητὸν τῇ φύσει
ἐχρῆν τὸ χρέος τῆς θνητῆς φύσεως ἀποδοῦναι,
φάρμακον μὲν συσκευασθὲν γῆθεν αὐτὸν ἁρπάζει,
τὸ δὲ τοσοῦτον μέγεθος αὐτοῦ τῆς βασιλείας
εἰς δέκα μεταβέβηκεν ἄνδρας εὐτολμοτάτους,
τῶν Ἀλεξάνδρου δηλαδὴ τοὺς πρώτους δορυφόρων,
κατατμηθὲν καὶ μερισθὲν εἰς δέκα διαιρέσεις.
P 20 *ὁ μὲν γὰρ ἐκυρίευσε Συρίας καὶ Φοινίκης,*

912 *ἀπὸ*] *τε καὶ* R   920 *ἦρξε* AMR

Post Darium filius eius Xerxes Persis imperavit, qui Graecos terra marique aggressus copiis nauticis equestribus, omnibus denique conatibus et viribus, exercitum amisit, et cum solus in navicula vix effugisset, domum turpiter rediit.

Post Xerxem imperavit Artaxerxes Longimanus, ac deinceps exstiterunt alii multi Persarum reges, gentiumque nonnullas in servitutem redegerunt, donec venit magnus ille Macedonum rex Alexander, et everso Persarum imperio regnum administravit, quod a primo Cyro ducentis ac praeterea tredecim annis duraverat.

Subiecit hic sibi Persas: imperavit Indis; obtemperabant ei Syria, Phoenicia, quaevis alia natio, totius terrae principes ac satrapae, ab extremo oriente usque ad occasum solis. cum autem huic etiam, qui esset homo natura mortalis, persolvendum foret naturae mortalis debitum, venenum paratum ex his eum terris rapit. tanta vero magnitudo regni eius ad decem viros fortissimos transiit, qui primi fuerant Alexandri satellites. horum unus potitus est Syria et Phoenice; alius imperavit in

ὁ δὲ κατῆρξε γῆς Θρακῶν, ἄλλος Παφλαγονίας,
Ἀσία δ' ἄλλον ἔλαχεν. ὁ δέ γε Πτολεμαῖος
τὴν γῆν ἐσφετερίσατο μόνος τὴν τῆς Αἰγύπτου,
ἐξ οὗ καὶ πάλιν Αἴγυπτος ἔσχεν ἀρχὴν τοῦ κράτους.
τοῦτον ἡμέροις ἔβλεψεν ἡ τύχη τοῖς βλεφάροις,
καὶ πᾶν ἀπέβη κατὰ νοῦν τούτῳ τῷ Πτολεμαίῳ·
οὗτος κατέδραμε πολλῶν χωρῶν καὶ Παλαιστίνης,
καὶ γέγονε πολύχρυσος, καὶ βρίθων ἦν τῷ πλούτῳ.
οἱ μετὰ τοῦτον τοιγαροῦν κατάρξαντες Αἰγύπτου,
τὴν τύχην καὶ τὴν εὔκλειαν ζηλοῦντες τὴν ἐκείνου,
καλεῖσθαι πάντες ἤθελον ἐκ τούτου Πτολεμαῖοι.
τοῦ πρώτου Πτολεμαίου δὲ τὸν βίον ἐκλιπόντος B
τὸν μετ' αὐτὸν Φιλάδελφον ἐπίκλην Πτολεμαῖον
Αἴγυπτος ἔσχεν ἀρχηγόν, ὃς πρῶτος βασιλέων
τὴν Ἀλεξάνδρου τέθεικε βίβλων πολλῶν μητέρα·
ἀπειραρίθμους γάρ φασιν βίβλους αὐτὸν ἀθροῖσαι,
εἰς ὅλας τεσσαράκοντα φθανούσας μυριάδας.
εἶχε μὲν οὕτως εὐτυχῶς τὸ Πτολεμαῖον κράτος,
καὶ πάλιν εἶχεν Αἴγυπτος εὔκλειαν βασιλείας.
ἀλλ' ἦν οὐδέν, ὡς ἔοικε, μόνιμον ἐν τῷ βίῳ,
οὐ πλοῦτος, οὐ βασίλειον κράτος, οὐ δυναστεία.
πρὸς γὰρ τοῖς ἄλλοις κράτορσι τῆς χώρας Αἰγυπτίων
καὶ Κλεοπάτρα βασιλὶς Αἰγύπτου γεγονυῖα
ἐκ δεξιᾶς Ῥωμαϊκῆς τὸ κράτος ἀφῃρέθη,
τοῦ Καίσαρος τοῦ σεβαστοῦ τήνδε χειρωσαμένου. C
κἀντεῦθεν πάλιν ἔρρευσε τὰ τῆς Αἰγύπτου σκῆπτρα,

936 τῆς A, τῶν R 953 Πτολεμαίου R 958 γενομένη A
961 κἀνταῦθα R

Thracia, alius in Paphlagonia; alium Asia consecuta est: Ptolemaeus solus Aegyptum in potestatem suam redegit. inde rursus imperii principium habuit Aegyptus. hunc blandis aspexit oculis fortuna. itaque cum alias regiones tum Palaestinam peragravit, et magnam vim auri opumque nactus est. quo factum ut ii qui post ipsum Aegypto imperarunt, fortunam ac gloriam eius expetentes, vocari omnes ab ipso Ptolemaei voluerint. cum autem primus ille Ptolemaeus mortuus esset, Ptolemaeum cognomento Philadelphum principem Aegyptus habuit, qui regum primus ex Alexandria multorum librorum matrem fecit. infinitos enim libros aiunt ipsum collegisse, ad quater nimirum centena milia. verum nihil erat, uti videtur, in vita dr.abile, non opes, non regium imperium, non potentia. nam praeter alios Aegypti principes, cum etiam Cleopatra regina facta esset, manu ei Romana imperium est ademptum, postquam Augustus Caesar eam cepisset. ex eo tempore defluxerunt Aegypti sceptra, quae ad

ἐν ἔτεσιν ἀνθήσαντα καὶ πρὸς ἀκμὴν ἐλθόντα
τοῖς ὅλοις ἐνενήκοντα πρὸς τοῖς διακοσίοις.
οὐ μόνην δὲ τὴν Αἴγυπτον εἷλον Ῥωμαίων χεῖρες,
ἀλλὰ καὶ σύμπασαν ὁμοῦ τὴν ὑπὸ τὴν σελήνην.
Καὶ ταῦτα μὲν ὡς δυνατὸν ἱστόρηται τῷ λόγῳ
ἐπιδρομάδην καὶ σαφῶς, ὡς ἐμαυτὸν συμπείθω·
προσῆκον δ' ἔμοιγε δοκεῖ, καὶ τέχνης οὐχὶ πόρρω,
ἐπιμνησθῆναι πρὸς μικρὸν πραγμάτων Ἑλληνίων,
τὴν γλῶττάν τε χαρίσασθαι τοῖς κατὰ τοὺς Ἑβραίους.
Λιμός ποτε κατέλαβε βαρὺς τὴν Χαναναίαν,
καὶ πάντας ἐπεβόσκετο τὸ τοῦ κακοῦ πυρφόρον,
D *καὶ πρὸς τοῖς ἄλλοις Ἰακὼβ εἶχε τὸν οἶκον πάντα.*
ὁ τοίνυν θεῖος Ἰσραὴλ (οὕτω γὰρ μετεκλήθη)
τὸ μὲν ἀκούσας Ἰωσὴφ τὸν ἐκ Ῥαχὴλ τεχθέντα
ἐπιτροπεύειν Φαραὼ τὴν τῆς Αἰγύπτου χώραν,
τὸ δὲ καὶ μηχανώμενος λύσιν εὑρεῖν τοῦ πάθους,
ἔγνω λιπεῖν τὴν ἑαυτοῦ κἀκεῖ μετναστεῦσαι.
ἀθροίσας οὖν τοὺς ἑαυτοῦ δούλους υἱοὺς ἐγγόνους,
τὰς ὅλας ἑβδομήκοντα ψυχὰς σὺν ἄλλαις πέντε,
εὐθυδρομεῖ πρὸς Αἴγυπτον, βλέπεται φιλοφρόνως
τῷ Φαραὼ τοῖς ὑπ' αὐτόν, καὶ πρὸ τῶν ἄλλων πάντων
ὁ μέγας τοῦτον Ἰωσὴφ βλέπει γλυκείαις κόραις.
ἐν γῇ Γοσὲμ οἰκίζεται, χώρᾳ τῆς Ἀρραβίας.

963 ἑβδομήκοντα R 969 πράξεων R 970 γλῶτταν παρορμήσασθαι RR 973 ἦγε A, ἦρχε R 975 τὸν MRR 979 ἐκγόνους AR 981 βλέπεσθαι M 982 πρὸς AR 984 γεὲμ A, γεσὲμ R

summum pervenerant et annis totis ducentis ac nonaginta floruerant. neque tantum Romanae manus Aegyptum ceperunt, sed omnem praeterea terram lunae subiectam.

Atque haec quidem omnia narratione complexi sumus brevi ac dilucida, sicut equidem mihi persuadeo. convenire autem mihi videtur, nec artis expers esse, ut paulisper obliti rerum Graecarum loquamur de iis quae apud Hebraeos acta sunt.

Invasit aliquando fames Chananaeam gravis, eaque calamitas in omnes pariter saeviebat, ac praeter alios Iacobi familiam urgebat. itaque divinus hic Israelus (sic enim deinceps vocabatur) partim audiens Iosephum, suum e Rachele filium, praefectum Pharaonis in Aegypto esse, partim illo se malo liberare studens, decrevit relinquere patriam et illuc commigrare. quamobrem collectis suis mancipiis liberis nepotibus, qui omnes erant animae septuagintaquinque, recta pergit in Aegyptum, adspicitur amanter a Pharaone ac subditis, supraque ceteros omnes magnus ille Iosephus eum suaviter intuetur. in terram Gosem collocatur, quae erat

ἐνευπαθεῖ τοῖς ἀγαθοῖς, ψωμίζεται προσκόρως,
καὶ τὸν ὀδόντα τοῦ λιμοῦ τὸν φθαρτικὸν ἐκφεύγει. P 21
τὰ μετὰ ταῦτα τίνα δέ; θνήσκει μὲν ὁ τριγέρων,
ὁ δωδεκάπαις Ἰακώβ, ἔσχατον γῆρας φθάσας,
καὶ μετ' ἐκεῖνον Ἰωσήφ, καὶ Φαραὼ σὺν τούτοις,
ἄλλος δ' ἀνίσταται πικρὸς ἄρχων τοῖς Αἰγυπτίοις.
καὶ τούτῳ κλῆσις Φαραώ· τοῖς γὰρ τῶν Αἰγυπτίων
ἄρχουσιν ἦν εἰς εὔκλειαν τὸ Φαραὼ καλεῖσθαι,
οἰκειουμένοις ἑαυτοῖς τοῦ Φαραὼ τὸ κλέος
τοῦ πρώτου χρηματίσαντος κράτορος Αἰγυπτίων,
ὡς οἱ Ῥωμαίων βασιλεῖς ἐν τοῖς ὑστέροις χρόνοις
Καίσαρας πάντας ἤθελον αὐτοὺς ἐπονομάζειν,
εἰς τὸ τοῦ πρώτου Καίσαρος τοῦ μεμοναρχηκότος
γένος εἰσάγοντες αὐτοὺς καὶ τὴν ἐκείνου τύχην.
οὗτος οὐκοῦν ὁ Φαραὼ τὸ γένος τῶν Ἑβραίων B
ὑπεραυξόμενον ὁρῶν εἰς πληθυσμὸν ἐλαύνειν
ὡς ἄνθη δένδρων εὐθαλῶν, ὡσεὶ θαλάσσης ἄμμον,
καὶ δυσμεναίνων κατ' αὐτῶν ἤρτυε τούτοις δόλους.
καὶ πρῶτα μὲν ἐπέσκηπτε ταῖς μαίαις ὥστε κτείνειν
τὰ πρώτως νῦν προκύπτοντα τῶν μητρικῶν θαλάμων·
ὡς δ' οὐκ ἐχώρει κατὰ νοῦν ἡ μηχανορραφία,
ἄλλην βουλὴν βουλεύεται, καὶ πλινθουργεῖν Ἑβραίους
καὶ πόλεις κτίζειν ὀχυρὰς αὐτοὺς καταναγκάζει.
ἔργον οὖν ἦν τὸ κελευσθέν· ἐμόχθουν, ἐπληπάθουν,

991 κλῆσις τούτῳ R 1000 ὑπεραυξούμενον ἰδὼν A 1008 ἔργου γοῦν A

Arabiae regio. fruitur bonis, ad satietatem pascitur, letalemque famis dentem evadit. quid inde factum? admodum senex moritur, duodecim liberum pater, cum senium extremum attigisset. moritur et Iosephus, et cum his Pharao quoque; pro quo surgit alius, imperans Aegyptiis acerbe, qui et ipse Pharao nuncupabatur. nam Aegyptiorum principibus gloriosum erat Pharaonum nomen, quod Pharaonis gloriam sibi vindicarent eius qui hoc nomine primus Aegyptiis imperarat, sicut Romanorum imperatores posterioribus saeculis omnes se Caesares appellari volebant, quod in Caesaris, qui primus rerum potitus est, familiam fortunamque se vellent insinuare. hic igitur Pharao nationem Hebraeorum valde auctam cernens, magisque adhuc crescere, florum instar qui sunt in arboribus, et instar arenae maris, infestus erga ipsos frandes nectebat. ac primo quidem mandabat obstetricibus ut fetus primum e maternis alvis prodeuntes occiderent. haec molitio cum ex animi sententia non succederet, aliud consilium capit, et Hebraeos conficere lateres ac urbes munitas exstruere sibi cogit. dictum factum. laborabant, affligebantur, conficiebant late-

ἐπλίνθευον, εἰργάζοντο, τὰς πόλεις ᾠκοδόμουν.
C ἦσαν αὐτοῖς καὶ χαλεποὶ τῶν ἔργων ἐπιστάται·
ἐβάρυνον, ἐπέτεινον, ηὔξανον τὰς κακώσεις,
ἁπλῶς εἰπεῖν, ὥσπερ ἐχθροῖς ἐχρῶντο τοῖς δειλαίοις.
οἱ τοίνυν τληπαθέστατοι καὶ τάλανες Ἑβραῖοι
οἰκτραῖς ἐβόησαν φωναῖς πρὸς τὸν θεὸν τὸν ζῶντα,
καὶ λυτρωτὴν τῶν ἀναγκῶν ᾔτουν αὐτὸν γενέσθαι.
κάμπτεται τοίνυν ὁ θεὸς τοῖς στεναγμοῖς ἐκείνων,
βλέπει τὸν μόχθον τὸν βαρύν, οἰκτείρει, δυσωπεῖται,
καὶ πέμπει τούτοις Μωϋσῆν τὸν μέγαν, τὸν θεόπτην,
τῶν ἀναγκῶν ῥυσόμενον, κουφίσοντα τοὺς πόνους,
καὶ τῆς πικρᾶς ἐξάξοντα καὶ στυγητῆς Αἰγύπτου.
κάτεισι τοίνυν Μωϋσῆς, τῷ Φαραὼ μηνύει
τὸ κελευσθὲν ὑπὸ θεοῦ, καὶ τοὺς Ἰσραηλίτας
πέμπειν ἐκεῖθεν παραινεῖ καὶ μὴ κατέχειν ἔτι.
D οὐ δυσωπεῖται Φαραὼ τοῖς λόγοις τοῦ προφήτου,
οὐ δειλιᾷ τὰς τοῦ θεοῦ παντοδυνάμους χεῖρας,
πολλάκις δ' ὑποσχόμενος ψεύδεται τοσαυτάκις,
καὶ γίνεται πολύχροος ποικίλος χαμαιλέων.
ἐντεῦθεν ἐκβιάζεται προφήτης ὁ θεόπτης,
οὕτω θεοῦ κελεύσαντος, ἐπαγαγεῖν κολάσεις.
ὁ δ' ἐχιδνώδης Φαραώ, τὸ τῆς κακίας θρέμμα,
τῶν μὲν μαστίγων αὐστηρῶς αὐτῷ προσαγομένων
ἐταπεινοῦτο, καὶ Μωσῆν ἱκέτευεν ἐκθύμως
νεῦσαι πρὸς λύσιν τοῦ δεινοῦ καὶ τοῦ τῶν πόνων βάρους,
ἐποτνιᾶτο, καὶ θεὸν κλαυθμοῖς ἐξιλεοῦτο,

res, opus faciebant, urbes exstruebant. habebant et saevos operum exactores, qui gravabant intendebant augebant afflictiones. ut simpliciter dicam, hostium loco miseros habebant. quapropter aerumnosissimi et infelices Hebraei miserabilibus deum vivum vocibus implorabant, eumque rogabant ut ab his necessitatibus eos liberaret. flectitur ergo gemitibus ipsorum deus. aspicit laborem gravem, miseretur, afficitur, Mosem mittit eis, virum magnum, dei spectatorem, qui de necessitatibus eos liberaret, laboribus levaret, ex acerba et tristi Aegypto educeret. itaque descendit Moses, indicat Pharaoni quod imperatum esset a deo, utque dimitteret Israelitas nec amplius detineret hortatur. nihil sermone vatis Pharao commovetur, non dei manus omnipotentis formidat. sed quoties id promisisset, toties fidem fallit. inde factum ut dei spectator vates de mandato divino poenas irrogare cogeretur. verum vipereus ille Pharao, alumnus improbitatis, cum acerba flagella ipsi admovebantur, abiecto erat animo, et Mosem suppliciter orabat ut ad calamitatis graviumque dolorum levationem annueret: obsecrabat etiam deum lamentisque placabat,

καὶ λύσιν ἐπηγγέλλετο βραβεῦσαι τοῖς Ἑβραίοις·
τῶν δὲ πληγῶν ἀνεθεισῶν ἐσκληροτραχηλία, P 22
ἄκαμπτος ἦν ἀνένδοτος, οὐκέτ' αὐτὸς ἐκεῖνος.
τέλος βαρείᾳ μάστιγι, πασῶν χαλεπωτέρᾳ,
τῶν πρωτοτόκων τῷ πικρῷ θανάτῳ δυσπαθήσας
ἐλευθερίαν δίδωσι τῷ γένει τῶν Ἑβραίων.
καὶ πάλιν μεταμέλεται, καὶ στρατιὰν ὁπλίσας,
ἁρματηλάτας, ἱππαστάς, ὁπλίτας, σακεσφόρους,
αὐτός τ' ἐποχησάμενος ἅρματι χρυσηλάτῳ,
ὀπίσω κατεδίωκεν ἐκείνων ὡς φυγάδων,
ὡς πάλιν πρὸς τὴν Αἴγυπτον Ἑβραίους ἀποστρέψῃ.
ἐντεῦθεν πλῆξις ἐρυθρᾶς καὶ σχίσις καινοτέρα,
καὶ τοῦ λαοῦ διαβάσις ὡς ἐπὶ μέσης χέρσου,
καὶ βυθισμὸς ταγματαρχῶν τῶν σοβαροπροσώπων B
καὶ Φαραὼ τοῦ θερμουργοῦ καὶ τολμηροκαρδίου,
καὶ τάφος ὑδατόστρωτος ὁπλιτικῆς ἰσχύος.
ἔδυσαν πάντες εἰς βυθόν, τριστάται, διφρηλάται·
ἰχθύσιν ἐχρημάτισαν τροφὴ θαλασσοβίοις·
οὐδὲ γὰρ κἂν τῆς συμφορᾶς ἄγγελος κατελείφθη.
ἐντεῦθεν ἐπινίκιοι θεῷ χοροστασίαι·
ἐμεγαλύνετο θεός, καὶ Μωϋσῆς ὑμνεῖτο.
καὶ φέγγος μὲν ἀνέτελλεν Ἑβραίοις εὐφροσύνης,
τοὺς δ' Αἰγυπτίους σκοτασμοὶ τῶν συμφορῶν ἐζόφουν.
οἱ δὲ φυγόντες Αἴγυπτον Ἰσραηλῖται τότε
ἑξήκοντα τὸν ἀριθμὸν ἦσαν μυριανδρίαι,

1039 δεινῷ RR 1041 ἀθροίσας M 1056 εὐφροσύνη R, εὐφροσύνην A 1057 ὀρόφουν M

seque concessurum Hebraeis libertatem pollicebatur. at ubi plagae cessassent, homo durae cervicis erat. tandem gravi flagello ceterisque saeviore, primogenitorum videlicet morte commotus libertatem Hebraeorum nationi concedit. sed rursus eosdem ab itinere revocat, armatisque validis copiis ipse vectus aurea in quadriga persequitur abeuntes a tergo tanquam fugitivos. inde rubri maris accidit verberatio et nova inusitataque divisio, populique transitus tanquam media in terra, et superbi Pharaonis ducum demersio, armatarumque copiarum in aquis stratum sepulchrum. facti sunt esca piscibus in mari viventibus. etenim ne nuntius quidem cladis superstes fuit. hinc institutae sunt triumphales deo choreae. praedicabatur deus, ac Moses celebrabatur: Hebraeis laetitiae splendor illucescebat, cum Aegytii caligine densa opprimerentur. Israelitae autem qui id temporis ex Aegypto fugiebant, erant numero sexcenta

ἄνευ βρεφῶν καὶ γυναικῶν καὶ παίδων ἀνιούλων.
C *ἡγεῖτο γοῦν ὁ Μωϋσῆς τοῦ πλήθους τοῦ τοσούτου,*
καὶ γογγυσμῶν ἠνείχετο τοῦ στασιώδους ὄχλου,
καὶ πικρασμοὺς τοὺς ἀπ᾽ αὐτῶν ἔφερεν εὐκαρδίως.
ἦγε δὲ τούτους Μωϋσῆς ἐρήμοις ἐν ἀβάτοις,
τοῦτο θεοῦ κελεύσαντος καὶ κρίναντος συμφέρον.
ὕδωρ ἐκ πέτρας ἔβλυζε, πτηνῶν ἔβρεχε σάρκας,
ἐμαννοδότει, καὶ τροφὴν ἐψώμιζεν ἀγγέλων,
ὡς ἀετὸς ἐσκέπαζεν ἀετιδεῖς ἀπτέρους.
ὥδευον τοίνυν ἀκλινῶς εἰς τὴν ἐπηγγελμένην,
τὴν ἀπ᾽ Αἰγύπτου δ᾽ ἕως γῆς ὁρίων Παλαιστίνης
ἐν ὅλοις τεσσαράκοντα τοῖς ἔτεσι διῆλθον.
καὶ πᾶν δυσκαταμάχητον ἔθνος καὶ φρικαλέον
καὶ γένος πᾶν ἀλλόφυλον καὶ πλῆρες δυσσεβείας
D *ὡς δρεπανῖται λήϊον ἐθέρισαν ῥιζόθεν.*
Ἀλλ᾽ ὁ μὲν θεῖος Μωϋσῆς τὸν βίον ἀπολείπει,
πολὺν αὐτοῦ καταλιπὼν πόθον τοῖς ὁμοφύλοις,
καὶ νόμον δοὺς ὑπὸ θεοῦ πλαξὶν ἐγγεγραμμένον,
ὥσπερ ἀστὴρ ἡμεραυγὴς ὑπὸ τὴν γῆν ἐκρύβη.
μετὰ Μωσῆν δ᾽ ὁ τοῦ Ναυῆ παῖς Ἰησοῦς κυροῦται
τοῦ δημαρχεῖν καὶ προστατεῖν τοῦ τῶν Ἑβραίων σμήνους.
οὗτος αὐτοῖς κληροδοτεῖ τὴν γῆν τῆς Παλαιστίνης,
ἣν ἐπηγγείλατο θεὸς προπάτορσι τοῖς θείοις,
καὶ τῶν φυλῶν ἐμέρισεν ἑκάστῃ τὸ προσῆκον,

1060 *ἀνηλίκων* M 1063 *ὑπ᾽* AR 1074 *ἐθέριζον* RR
1080 *προστ.*] *στρατηγεῖν* R, *βοηθεῖν* M *γένους* ARR

virorum milia, sine feminis et infantibus et imberbibus pueris. tantae igitur multitudinis dux erat Moses, et murmurationes seditiosae turbae tolerabat, acerbitatesque profectas ab ipsis miti corde ferebat. ducebat autem eos Moses per solitudines invias et inaccessas, quemadmodum mandarat deus et expedire statuerat. aquam excussit e saxo, carnibus volucrum pluit, manna dedit eis, angelorum cibo suos pavit. sicut aquila operuit pullos implumes. proficiscebantur igitur recta in terram promissam ab Aegypto usque ad fines terrae Palaestinae. totis vero solitudinem annis quadraginta peragrarunt, omnemque nationem bellicosam ac terribilem et gentem omnem alienigenam et impietatis plenam funditus demessuerunt, ut segetem messores resecare consueverunt.

Tandem divinus ille Moses e vita migrat, magno nationi desiderio sui relicto; dataque illis lege divinitus tabulis inscripta, diurni sideris instar sub terram est occultatus. post Mosem autem Iesus Navae filius confirmatur, ut tribunus ac praefectus Hebraeorum nationis esset. hic per sortem eis terram Palaestinam distribuit, quam deus ipsorum maioribus promiserat. concessit autem singulis tribubus partem suam, ex-

ἄνευ φυλῆς τῆς τοῦ Λευί· ταύτῃ γὰρ ἀντὶ λάχους
τὰ τοῦ θεοῦ καὶ τῷ θεῷ κατεκληροδοτήθη.
οὗτος δυνάστας Χαναὰμ καὶ πάντας τοὺς προσχώρους
ῥιζῶν ἀνεῖλεν ἀπ' αὐτῶν βραχίονι μεγάλῳ. P 23
καὶ τούτου διαβάντος δὴ τὴν ἅλμην τὴν τοῦ βίου,
κριταὶ κατῆρχον τοῦ λαοῦ καὶ πάντα διεκόσμουν
μέχρις Ἠλεὶ καὶ Σαμουὴλ τοῦ προφητικωτάτου.
ἕως μὲν οὖν ἐνέμενον τοῖς νόμοις τοῖς ἐνθέοις
καὶ τὸν θεὸν ἐσέβοντο καρδίαις ἀδιστάκτοις,
ἔθνους ὑπέρτεροι παντὸς καὶ γένους ἐτηροῦντο,
καὶ κατὰ ῥοῦν ἐφέρετο τούτοις ὁ βίος ἅπας.
ἡνίκα δ' ἐξεφέροντο πρὸς εἰδωλολατρείαν
καὶ προσετίθεντο θεοῖς ἀψύχοις καὶ ματαίοις,
εὐθέως παρεδίδοντο τοῖς δυσμενέσι δοῦλοι.
μέχρι μὲν οὖν καὶ Σαμουὴλ κριταὶ τούτων κατῆρχον·
μετὰ δὲ ταῦτα βασιλεὺς αἰτήσασιν ἐδόθη B
ἀπὸ φυλῆς Βενιαμὶν Σαοὺλ τοῦ Κὶς ὁ γόνος.
καὶ μετὰ τοῦτον ὁ Δαβὶδ ὁ μέγας ἐν προφήταις
τοῦ γένους κράτωρ γίνεται, θρέμματα τότε νέμων,
καὶ καθεξῆς τρισκαίδεκα μέχρις Ἰεχονίου,
ἐφ' οὗ τὸ τρίτον ἐπελθὼν ὁ Ναβουχοδονόσορ
τὴν πόλιν ἐνεπύρισε καὶ τὸν ναὸν τὸν θεῖον,
καὶ τὸν λαὸν μετῴκισεν ἐν χώρᾳ Βαβυλῶνος.
Τοῦ δὲ Δαβὶδ κατάρξαντος ἄρτι τῶν ὁμοφύλων,

1085 καὶ τῷ] τε καὶ AR. an καὐτῇ? 1100 φυλῆς τοῦ B. M 1101 ὁ προφήτης AR 1102 νέμων τότε R 1107 κατάρχοντος AMR τότε MR ἀλλοφύλων AR

cepta Levi tribu: nam illi sortis suae loco res divinae una cum ipso deo obtigerunt. hic et principes Chananaeos et omnes finitimos, ab ipsis usque radicibus, forti brachio evulsit. cum autem et ipse vitae huius mare traiecisset, iudices populum habebant in potestate omniaque gubernabant, usque ad Eli et Samuelem vatem maximum. quam quidem diu divinis legibus constanter inhaerebant deumque cordibus non ambiguis venerabantur, quavis gente ac natione superiores erant vitamque universam ex animi sententia transigebant. quoties autem ad deastrorum cultum exorbitabant et mentem ad inanimes vanosque deos adiiciebant, statim adversariis in servitutem tradebantur. igitur usque ad Samuelem iudices imperarunt. deinceps eis rex datus est, uti petierant, Saulus Cisi filius de tribu Beniamin. post Saulum David, magnus ille vates, gentis fit princeps, dum oves pascit. successerunt ordine tredecim ad Iechoniam usque; cuius tempore cum Nabuchodonosor ter venisset, urbem cum divino templo exussit et populum in Babyloniam regionem transtulit.

Davide autem nationi suae imperante Graeci bellum adversus Troia-

ὁ πρὸς τοὺς Τρῶας πόλεμος Ἕλλησιν ἐκροτήθη,
χάριν Ἑλένης γαμετῆς οὔσης τοῦ Μενελάου.
ταύτην ἐγὼ βουλόμενος τὴν μάχην ἱστορῆσαι
C καθὼς τοῖς ἱστορήσασι γράφεται περὶ ταύτης,
καὶ μέλλων λέγειν οὐ καθὼς Ὅμηρος ἀναγράφει,
συγγνώμην ἐξαιτήσομαι παρὰ τῶν εὐγνωμόνων·
Ὅμηρος γὰρ ὁ μελιχρὸς τὴν γλῶτταν καὶ θελξίνοις
μεθόδοις χρώμενος σοφαῖς οἰκονομεῖ τοὺς λόγους,
ἐνιαχοῦ δὲ τὰ πολλὰ στρέφει καὶ μεταστρέφει.
ἀλλὰ γὰρ ἤδη μοι λοιπὸν ταῦτα διηγητέον.
Τῷ Λαομέδοντος παιδὶ τῷ φυλαρχοῦντι Τρώων
Πριάμῳ σύζυγος συνῆν Ἑκάβη παῖς Κισσέως,
καὶ μήτηρ ἐχρημάτισε πολλῶν ἐκ τούτου παίδων.
ἔχουσα γοῦν κατὰ γαστρὸς καὶ πρὸς τὸ τίκτειν οὖσα
φοβήτροις ἐκτεθρόητο νυκτέρων ὀνειράτων·
βλέπειν γὰρ ἔδοξε δαλὸν φλόγεον ἀνθρακίαν
D ἐκ τῆς αἰδοῦς προκύπτοντα ταύτης, καὶ πυρπολοῦντα
τὴν πόλιν ἅπασαν ὁμοῦ καὶ τὰς τῆς Ἴδης ὕλας.
ἀκούει τοῦτο Πρίαμος, τοῖς μάντεσι κοινοῦται·
μανθάνει χρήσιμον αὐτῷ γενέσθαι καὶ τῇ πόλει,
ἂν τὸ γεννηθησόμενον θηρίοις ἐκτεθείη
ἢ τῷ πυρὶ τῷ καυστικῷ πρὸς ὄλεθρον ῥιφείη.
μετὰ μικρὸν δ' Ἀλέξανδρος ἐξέθορεν εἰς φάος,
χαρίεν βρέφος, εὐπρεπές, ἀστεῖον τῷ προσώπῳ.
ἐχρῆν μὲν οὖν τὸν Πρίαμον μελλήσαντα μηδ' ὅλως

1112 ἀντιγράφει A 1114 μὲν R 1116 τρέπει R μετατρέπει AR 1128 ἐκδοθείη R 1131 βρέφος χαρίεν R

nos moverunt, Helenae causa, quae Menelai coniunx erat. hoc bellum equidem memoriae proditurus quemadmodum ab iis describitur qui illud viderunt, adeoque dicturus ab Homero non recte descriptum esse, veniam a benevolis lectoribus postulabo. nam Homerus lingua mellitus et illecebrosus narrationes quidem suas instituit, rationibus doctis utens: verum alicubi quaedam flectit et invertit. at enim ipsa res mihi commemoranda venit.

Filio Laomedontis, Troianae gentis principi, coniunx erat Hecuba Cissei filia, multorum e marito suo liberum mater. haec cum praegnans esset ac partui vicina, nocturnorum somniorum terriculamentis percellebatur. nam videre sibi videbatur facem flammeam carbonariam prodeuntem e verendis suis et exurentem igne urbem universam una cum Idae silvis. audit hoc Priamus, cum vatibus communicat. intelligit tam sibi quam urbi utile futurum, si fetus ille feris bestiis exponatur vel ad interitum ardentem in ignem coniiciatur. paulo post Alexander in lucem prodiit, infans venustus, formosus, facie lepida. debebat hic Priamus,

εὐθὺς προκύψαν ἐκ γαστρὸς τὸ βρέφος ἀφανίσαι,
ἐξαφανίζειν παντελῶς ἅπασαν χώραν μέλλον·
ὁ δὲ τῇ φύσει νικηθεὶς φείδεται τοῦ τεχθέντος.
νομίζων δὲ σοφίσασθαι τὸ δραστικὸν τῆς τύχης,
ἄλλοις ἐκτραφησόμενον ἐκτίθησιν εἰς χῶρον
τὸν ἀπ' αὐτοῦ τοῦ Πάριδος Πάριον κεκλημένον. P 24
ἔρριπτο τοίνυν ἀμελῶς. εὗρον αὐτὸ ποιμένες,
ᾤκτείρησαν, ἀνείλοντο. κήδονται τοῦ νηπίου,
καὶ βρεφικῶς ἐκτρέφουσι Πάριν ὠνομακότες.
ἤδη δ' αὐτὸν ἐγγίσαντα μειράκων ἡλικίᾳ
ὁ Πρίαμος συνέστιον αὐτὸν παραλαμβάνει,
νομίσας ὡς ἐκπέφευγε τὴν ἀπ' ἐκείνου βλάβην.
ἀλλ' ἦσαν ἀμετάκλωστα τὰ νήματα τῆς τύχης,
καὶ τὸ καθάπαξ κυρωθὲν οὐκ ἦν ἀναλυθῆναι.
ὁ γὰρ Ἀλέξανδρός τινα τῶν ὁμογνίων κτείνας,
οὐχ ἑκουσίαις μὲν ὁρμαῖς πλὴν ὅμως δράσας φόνον,
ἀπαίρει πρὸς Μενέλαον ἐκ Τροίας ἐπὶ Σπάρτην.
δέχεται τοῦτον εὐμενῶς ἐκεῖνος οἷα φίλον,
φιλοφρονεῖται, ξεναγεῖ, παντοίως δεξιοῦται. B
ἐνταῦθά σου τὸ παίγνιον, τύραννε πάντων Ἔρως,
ἐνταῦθά σου τὸ παίγνιον καὶ τὸ τῆς ἔχθρας σπέρμα,
ὅθεν ἀνῆψας λιπαρὰν κάμινον τοῦ πολέμου.
ἀποδημεῖ Μενέλαος, λείπεται Πάρις μόνος,
τὴν Μενελάου γαμετὴν κατὰ τὸν οἶκον βλέπει.
ἦν ἡ γυνὴ περικαλλής, εὔοφρυς, εὐχρουστάτη,

v. 1134 add R 1137 χῶραν R 1138 Πάριος M 1141 βρεφουργῶς R 1156 κλέπτει A

nulla eius habita ratione, prodeuntem ex alvo infantem statim perdere: verum victus a natura in lucem edito parcit. cumque se putaret astutiam fortunae decepturum, exponit eum in agrum ab aliis educandum. qui ager ab ipso Paride Parius est appellatus. abiectus erat negligenter: reperitur a pastoribus: miserti sunt, tollunt, curam infantis habent, Paridemque vocatum infantum more educant. cumque iam accessisset ad annos adolescentiae, Priamus eum suas in aedes recipit, arbitratus se iam vitasse damnum ab ipso imminens. verum telae fortunae revolvi non poterant, quodque semel constitutum erat, non poterat dissolvi. nam cum Alexander cognatum quendam occidisset, non ille quidem ex animi proposito, caede tamen perpetrata, Troia Spartam ad Menelaum discedit. excipit is hominem benigne velut amicum, complectitur, omne benevolentiae genus exhibet. hic ludus tuus conspicitur, tyranne amor: hic ludus tuus et semen inimicitiae, de quo claram belli caminum excitasti. abit peregre Menelaus, Paris solus relinquitur. videt in aedibus Menelai coniugem. erat ea mulier perpulchra, venustis superciliis et colore, pulchris

εὐπάρῃος, εὐπρόσωπος, βοῶπις, χιονόχρους,
ἑλικοβλέφαρος, ἁβρά, χαρίτων γέμον ἄλσος,
λευκοβραχίων, τρυφερά, κάλλος ἄντικρυς ἔμπνουν.
τὸ πρόσωπον κατάλευκον, ἡ παρειὰ ῥοδόχρους,
C *τὸ πρόσωπον ἐπίχαρι, τὸ βλέφαρον ὡραῖον,*
κάλλος ἀνεπιτήδευτον, αὐτόβαπτον, αὐτόχρουν·
ἔβαπτε τὴν λευκότητα ῥοδόχροια πυρσίνη,
ὡς εἴ τις τὸν ἐλέφαντα βάψει λαμπρᾷ πορφύρᾳ.
δειρὴ μακρά, κατάλευκος, ὅθεν ἐμυθουργήθη
κυκνογενῆ τὴν εὔοπτον Ἑλένην χρηματίζειν.
ὁρᾷ ταύτην Ἀλέξανδρος, ἁλίσκεται τῷ κάλλει.
καὶ τί πολλὰ καὶ περιττὰ μακρηγορεῖν καὶ γράφειν;
ἁρπάζει ταύτην θέλουσαν, φυγὰς ἀποδιδράσκει.
καὶ τὴν φυγὴν ἀδυνατῶν ἄλλως εὖ διαθέσθαι,
εἰς ναῦν ἐμβὰς ἁλίπλοον ἀπαίρει πρὸς Φοινίκην,
ἐκ τῆς φερούσης ἐκτραπεὶς πορείας πρὸς τὴν Τροίαν·
δίωξιν γὰρ ὑπώπτευεν ἐκ τῶν ἀδικηθέντων.
D *ἀποληφθεὶς δὲ πνεύμασι σφοδροῖς πολυταράχοις*
μόλις εἰς ἓν ὡρμίσατο στομάτιον τῶν τοῦ Νείλου,
Κανωβικὸν ὀνομασθὲν ἐν χρόνοις τοῖς ὑστέροις,
ἔνθα δεδόμητο νεὼς ἥρωος Ἡρακλέος,
τοῖς πρόσφυξι δωρούμενος ἀνθρώποις ἀσυλίαν.
εἰς τοῦτον τοίνυν τὸν ναὸν φυγόντες ὑπὸ δέους
οἱ συμφυγόντες Πάριδι καὶ συνεκπεπλευκότες
πολλὰς αὐτοῦ κατέχεον ὕβρεις καὶ λοιδορίας,

1163 *ἀβάπτιστον* M   1164 *πυρίνη* M   1178 *ναὸς* R

genis et facie, grandibus oculis, colore niveo, rotundis oculis, tenera, nemus quasi quoddam gratiis abundans, brachiis albis, delicata, plane viva quaedam elegantia, facie candida, genis rosei coloris, facie venusta, formosis oculis, pulchritudine non adsciticia, colore nativo. tingebat albedinem color roseus, rubens, ac si quis ebur splendente purpura tingat. collum praelongum, candidum; unde ficta est fabula, formosam Helenam e cygno fuisse procreatam. adspicit hanc Alexander: a forma capitur. et quid multa vel dicenda sunt vel scribenda? rapit hanc volentem: fugitivus abscedit. cumque fuga recte institui alio modo non posset, navem ingressus maritimam in Phoenicen abit, omisso itinere quod Troiam versus duceret: suspicabatur enim fore ut eum laesi persequerentur. exceptus autem a ventis vehementibus ac turbulentis ad urbem applicuit, quae sita erat ad unum ex ostiis Nili, quod posterioribus saeculis Canobicum est appellatum; ubi Herculis herois fanum erat exstructum, quod hominibus eo confugientibus securitatem concedebat. in hoc fanum prae metu cum se recepissent quotquot una cum Paride aufugerant domoque navigarant,

ἐκτραγῳδοῦντες τὰ δεινὰ τὰ παρ' αὐτοῦ πραχθέντα,
τὴν ὕβριν, τὴν ἀσέβειαν τὴν εἰς τὸν ξενοδόχον,
τὴν ἁρπαγὴν τῆς γυναικός, ναὶ μὴν καὶ τῶν χρημάτων.
ἀκούει ταῦθ' ὁ στρατηγὸς ὁ κληραρχῶν τοῦ τόπου, P 25
ἀκούει ταῦτα καὶ Πρωτεὺς ὁ βασιλεὺς Αἰγύπτου,
καὶ γίνεται μετάπεμπτος ὁ Πάρις πρὸς ἐκεῖνον
σὺν γυναικί, σὺν χρήμασι, σὺν τοῖς συνεπομένοις.
ὁ μὲν οὖν ἐπυνθάνετο τίς ἡ γυνὴ καὶ τίνος,
καὶ πόθεν ἀφελόμενος ταύτην περιπλανῷτο·
Ἀλέξανδρος δ' ἀνέπλαττε ψευδοσυνθέτους λόγους.
ὁ δὲ Πρωτεὺς ἐκδιδαχθεὶς τὰ κατὰ τὴν Ἑλένην
τοιοῖσδε πρὸς Ἀλέξανδρον ἐχρήσατο τοῖς λόγοις.
"εἰ μή μοι προκεκύρωτο καὶ προτεθέσπιστό μοι
μηδένα ξένον ἀναιρεῖν τῶν ὑπὸ κλυδωνίου
χειμαζομένων χαλεποῦ κἀνταῦθα ῥιπτουμένων,
μεγάλαις ἄν σε καὶ δειναῖς βασάνοις ἐτισάμην B
ἀχάριστον γενόμενον περὶ τὸν εὐεργέτην
καὶ τοὺς θεσμοὺς πατήσαντα τοὺς τῆς φιλαλληλίας.
νῦν δέ σοι τὰ μὲν χρήματα καὶ τὴν γυναῖκα ταύτην
οὐκ ἀποδώσω, κἂν πολλαῖς χρήσῃ ταῖς κολακείαις,
τῷ δ' Ἕλληνι τῷ παρὰ σοῦ βλαβέντι συντηρήσω·
σὺ δ' ἐξ αὐτῆς ἀπόστηθι, κἀκ τῆς Αἰγύπτου φεῦγε."
Πρωτεὺς μὲν οὖν σὺν ἀπειλαῖς ἀπώσατο τὸν Πάριν·
ὁ δὲ κεναῖς ὑπέστρεψε χερσὶ πρὸς τὴν πατρίδα,

1192 συνέπλαττε AM 1197 χειμαζόμενον AM χαλεπῶς R ῥιπτουμένον M 1198 ἠκισάμην R 1200 φιλανθρωπίας R 1202 μυρίαις R 1204 ἀπόστειλε A

multas in ipsum contumelias ac probra effundebant, exaggerantes tragice gravia ipsius facinora, iniuriam et impietatem adversus hospitem, raptum non solummodo coniugis sed etiam opum. audit haec dux qui isti loco praeerat: audit et Proteus rex Aegyptiorum. itaque Paris ad ipsum arcessitur cum muliere, cum opibus, cum comitibus. quaerebat rex quaenam et cuias esset haec mulier; cuinam hac adempta sic oberraret. Alexander orationem falsam comminiscitur. verum Proteus edoctus omnia de Helena huiusmodi ad Alexandrum verbis usus est "nisi constitutum a me sancte foret neminem hospitum occidere, qui a tempestate graviter iactantur et huc appellunt, magnis ac gravibus te poenis afficerem, qui erga bene meritum ingratum te praestitisti, mutuique amoris vincula pedibus conculcasti. nunc autem tibi opes has et mulierem non reddam, etiamsi multis assentationibus utare: sed Graeco abs te laeso ea servabo. tu autem ex Aegypto fuga discedito." sic Proteus cum minis Paridem abegit, qui manibus vacuis in patriam reversus est, cum volu-

τῆς ἡδονῆς γευσάμενος ἄκρῳ δακτύλῳ μόνῳ,
καὶ πρὸς αἰθέρα φθάνουσαν πυρκαϊὰν ἀνάψας.
Καὶ γάρτοι μετὰ τὸν δρασμὸν τοῦτον τὸν ἀπὸ Σπάρτης
καὶ τὴν Ἑλένης ἁρπαγὴν τοιάδε συμβέβηκει.
C *ἐπάνεισι Μενέλαος ἐκ τῆς ἀποδημίας,*
μανθάνει τὸ γενόμενον, ῥηγνύει τὴν ἐσθῆτα,
καὶ σὺν αὐτῷ Τυνδάρεως πατὴρ ὁ τῆς Ἑλένης.
εἰς μέσους ἀφικνοῦνται δὲ τοὺς τῶν Ἑλλήνων πρώτους
ἠσβολωμένοι πρόσωπα καὶ μελανειμονοῦντες,
ὅρκων ἀναμιμνήσκουσι τῶν φρικωδῶν ἐκείνων,
οὓς ἦσαν Ἕλληνες ὁμοῦ πάντες ὀμωμοκότες,
ὡς εἰ συμβῇ παρά τινος Ἑλένην ἁρπαγῆναι,
πάντες ἰδίοις σώμασιν αὐτῆς ὑπερμαχοῦνται.
πολλὰ γοῦν ἱκετεύσαντες καὶ δεδυσωπηκότες
συμπείθουσι τοὺς Ἕλληνας στρατεῦσαι κατὰ Τρώων.
καὶ δὴ πολλοὶ συντρέχουσιν ἐκ νήσων, ἐξ ἠπείρων,
παραθαλάσσιοι, μακρὰν τῆς ἅλμης ἀφεστῶτες,
D *ἐξ Ἀθηνῶν αὐθιγενεῖς, ἐκ πάσης τῆς Εὐβοίας,*
ἐκ Θετταλῶν, ἐξ Ἀχαιῶν, ἐκ πάσης τῆς Ἑλλάδος.
ἦσαν καὶ νῆσοι σύμμαχοι, Ἰθάκη, Ῥόδος, Σκῦρος
καὶ Σάλαμις, καὶ σὺν αὐταῖς ἡ τρισμεγίστη Κρήτη.
Κορίνθιοι συνῆσαν, Ἀργεῖοι συνεμάχουν,
καὶ στόλος μυριόστολος αὐτῶν συνεκροτεῖτο.
ἦν Μενεσθεὺς ἐξ Ἀθηνῶν, Νέστωρ ἀπὸ τῆς Πύλου,
ἐκ τῆς Ἰθάκης Ὀδυσσεύς, ἐκ Σαλαμῖνος Αἴας,

1214 *μάγους* A 1220 *ἱκετεύοντες* R 1221 *ἐκπλεῦσαι* R
1222 *ἠπείρου* A 1229 *αὐτοῖς* RR

ptatem extremo tantum digito gustasset et rogum accendisset caelum ipsum attingentem.

Hoc modo fuga Paridis e Sparta Helenaeque raptus accidit. revertitur ex peregrinatione Menelaus: quid evenisset, accipit. vestem lacerat; et cum ipso Tyndareus Helenae pater idem facit. una principum Graecorum coetum adeunt, denigratis vultibus, vestesque pullas induti. iurisiurandi illius horrendi commonefaciunt, quod Graeci omnes simul iuraverant, ut si contingeret Helenam ab aliquo rapi, omnes suis cum corporibus pro ea pugnarent. multum ergo cum supplicassent ac pudorem iniecissent, persuadent Graecis ut bellum adversus Troianos facerent. itaque multi de insulis ac terris continentibus concurrunt, maritimi et longe a mari distantes, Athenis Athenienses, itemque de tota Euboea ex Thessalia, ex Achaia, ex tota Graecia. erant et insulae sociae, Rhodus, Ithaca, Scyrus, Salamis, et cum his maxima illa Creta. itabant una Corinthii: socii erant Argivi. mille navium classis est ab ipsis coacta. aderat Menestheus Atheniensis, Nestor Pylius, Ulysses ex Ithaca, ex

ἐκ Κρήτης ἦν Ἰδομενεύς, Τληπόλεμος ἐκ Ῥόδου,
πάντες τὸ γένος ἕλκοντες ἐξ εὐγενῶν αἱμάτων,
ἀριπρεπεῖς, διογενεῖς, ἀρήϊοι, γεννάδαι,
γενναῖοι, θυμολέοντες, ἄνδρες αἱμάτων πάντες.
ὁ δὲ Φθιώτης Ἀχιλλεὺς ἔλαμπεν ὑπὲρ πάντας,
ἄνθρωπος πολεμόκλονος, ἄλκιμος, βριαρόχειρ. P 26
καὶ τοίνυν ἐξαρτύσαντες τὸν χιλιόναυν στόλον
ἱστῶσιν Ἀγαμέμνονα στολάρχην καὶ στρατάρχην,
ἄνδρα γενναῖον καὶ καλόν, ἥρωα ῥωμαλέον,
καὶ κάλλει διαπρέποντα καὶ βραχιόνων σθένει.
πατρίδων μὲν ἀπαίρουσι καὶ φίλων καὶ τοκέων,
ἐκθύμως ναυστολοῦνται δὲ κατὰ τῆς πολεμίας.
κοινῇ δὲ συσκεψάμενοι κρίνουσιν εἶναι δέον
ληλατεῖν τε καὶ πορθεῖν τὰ πρόσοικα τῇ Τροίᾳ,
ὡς ἂν καὶ τούτοις γένοιτο τῶν ἀναγκαίων πόρος
καὶ τοῖς Τρωσὶν ἐκκόπτοιτο τὰ πρὸς τὴν συμμαχίαν. B
στέλλεται τοίνυν Ἀχιλλεὺς καὶ τῶν ἀρίστων ἄλλοι,
καὶ νήσοις ἐπιτίθενται καὶ κείρουσιν ἠπείρους,
καὶ τέλεον ἐκτρίβουσιν ὅσα τῶν πολεμίων.
ἤκουστο μὲν οὖν Ἕλλησι τὰ περὶ τῆς Ἑλένης,
ὡς ὁ Πρωτεὺς ὁ βασιλεὺς ἀφέλοιτο τὸν Πάριν,
ὡς παρ' αὐτοῦ φυλάττοιτο κατὰ τὴν πόλιν Μέμφιν·
ἀλλ' ἠγωνίζοντό, φασι, περιγενέσθαι Τροίας,
φήμης κρατούσης παρ' αὐτοῖς ὡς θησαυροῖς χρυσίου
ἐνευθηνοῖτο, καὶ πολλῷ τῷ πλούτῳ περιβρίθοι.

1232 τριπτόλεμος ARR 1238 μυριόναυν R 1241 διαλάμποντα A 1246 γίνοιτο R 1251 οὖν] τοῖς M

Salamine Aiax, Idomeneus e Creta, e Rhodo Tlepolemus, omnes originem generis habentes e nobili sanguine, insignes, orti Iove, Mavortii, fortes, generosi, leoninis animis praediti. supra omnes Achilles e Phthia lucebat, vir bellicosus, fortis, robustis manibus. enimvero instructa mille navium classe, Agamemnonem classis et exercitus imperatorem constituunt, virum generosum ac bonum, heroa robustum, praestantem forma et vi brachiorum. discedunt a patria et amicis et parentibus, animoque forti versus hosticum solum classem dirigunt. re communiter deliberata, statuunt esse necessarium ut diriperent ac exscinderent Troiae viciniam, ut ipsi copiam commeatus acquirerent et Troianis sociorum vires frangerentur. itaque mittitur Achilles cum aliis viris praestantissimis, qui insulas invadunt et continentes depraedantur, ac tandem res hostium prorsus atterunt. audierant quidem Graeci, de Helena quid factum esset, nimirum Protea regem Paridi eam ademisse, ac ab illo res ipsius omnes custodiri: verum omni studio conabantur, ceu fertur, occupare Troiam, cum fama constans esset auri thesauris eam abundare ac magnis opibus

ἤθελον δὲ καὶ τίσασθαι τοὺς προλελυπηκότας·
ἄνανδρον γὰρ καὶ μαλακὸν καὶ ταπεινὸν ἡγοῦντο
μὴ λήψεσθαι τῆς ὕβρεως ποινὰς τὰς προσηκούσας.
C ὡς οὖν οἱ Τρῶες ἔβλεψαν τὸν τηλικοῦτον στόλον,
καὶ τὴν πληθὺν ἱστόρησαν τὴν νεναυστοληκυῖαν,
ἁπανταχόθεν ἑαυτοῖς ἀθροίσαντες συμμάχους,
Κᾶρας Λυκίους καὶ Μυσοὺς καὶ Μαίονας καὶ Φρύγας,
καὶ προσεταιρισάμενοι σύμπαν Ἀσίας ἔθνος,
ὁπόσον ἠπειρωτικόν, ὅσον ἐν παραλίᾳ,
ἀντεπεξῆγον στρατιᾶς σμῆνος ἀπειραρίθμου.
καὶ χρόνος διηνύετο μακρὸς ἐν τῷ πολέμῳ.
οἱ δὲ τῆς πόλεως αὐτῆς οἰκήτορες τῆς Τροίας
ἦσαν ὑπὲρ πεντήκοντα λαοῦ χιλιανδρίας.
τὰ μὲν οὖν πρῶτα κραταιῶς ὡπλίζοντο πρὸς μάχην,
ἀνδροκαρδίοις συμβολαῖς τὰς φάλαγγας ῥηγνύντες·
ὡς δ' ἐπειράθησαν ὀψὲ τῆς Ἀχιλλέως ῥύμης
D καὶ τὴν πυρώδη καὶ θερμὴν εἶδον εὐκινησίαν,
καὶ τὴν ἀρρενωπότητα καὶ τὴν θυμοτολμίαν,
ἐκάθηντο τοῖς τείχεσιν αὐτοὺς συγκεκλεικότες
καὶ μηδαμῶς τοῖς Ἕλλησιν ἀντεπελθεῖν τολμῶντες,
ἕως ἡ πάντα στρέφουσα καὶ πάντα συγκυκῶσα
καὶ πάντων μήτηρ τῶν κακῶν, ἡ βασκανία λέγω,
τὴν Ἀχιλλέως ἤμβλυνεν ὁρμὴν τὴν δραστηρίαν
καὶ Τρῶας παρεθάρρυνεν ἐκείνου χολωθέντος.

1263 Παίονας R 1272 ἐπειράσθησαν R 1274 εὐθυτολμίαν R 1278 τὴν βασκανίαν R

esse refertam. volebant etiam ulcisci eos qui prius laeserant: etenim viris indignum, mollis deiectique animi putabant esse illatae iniuriae poenas debitas non exigere. cum igitur tantam classem Troiani cernerent coramque multitudinem intuerentur, quae advenerat, collectis undique suis bellorum sociis, Caribus Lyciis Mysis Maeonibus Phrygibus, adiuncta itidem sibi quavis Asiae natione, quotquot erant mediterranei, quotquot maritimi, contra Graecos exercitus innumeri quoddam velut examen educebant, ita ut longum tempus in hoc bello contereretur. erant ipsius urbis Troianae habitatores supra hominum quinquaginta milia. et initio quidem ad pugnam se magna vi armabant, virilibusque congressibus phalanges perrumpebant: verum posteaquam Achillis robur tandem experti sunt eiusque mobilitatem igneam et ardentem conspexerunt, itemque virilem faciem et animosam audaciam, intra ipsa occlusi moenia desidebant, nec adversus Graecos ullo modo progredi audebant, donec omnia vertens et omnia perturbans, omniumque malorum mater, invidiam dico, impetum Achillis in rebus gerendis retudit, illoque ira commoto Troianorum ani-

τὸ δὲ τῆς λύπης αἴτιον τῆς τοῦτον πικρανάσης
ὁ Παλαμήδους φόνος ἦν ἀδίκως ὀλωλότος.
τὸ δ' ὅπως γέγονε, καὶ τίς ὁ συσκευάσας, λέξω.
Ὁ νησιώτης Ὀδυσσεὺς κατὰ τοῦ Παλαμήδους
ἄσπονδον μῖσος ἔτρεφε καὶ φθόνον ἐκ καρδίας,
ὅτι παρὰ τοῖς Ἕλλησιν ἦν Παλαμήδους κλέος
καὶ πάντες οἷάπερ θεῷ προσέχοντες ἐκείνῳ P 27
καρδιακὴν τὴν πρὸς αὐτὸν ὑπέτρεφον ἀγάπην.
καὶ γὰρ προέγνω τοῦ λοιμοῦ τὸ βέλος τὸ πυρφόρον,
καὶ πᾶσι προεμήνυσεν Ἑλλήνων στρατιάρχαις,
καὶ πάντων τούτων τῷ κακῷ πικρῶς δαμαζομένων
ἐκεῖνος διετήρησεν Ἕλληνας ἀπημάντους,
τὸ μὲν ὑποτιθέμενος καὶ λόγοις καταρτίζων,
τὸ δὲ καὶ πράγμασιν αὐτοῖς διδάσκων τὸ συμφέρον.
ἐκ τούτου τοίνυν Ὀδυσσεὺς ἐτήκετο τῷ φθόνῳ,
βλέπων ὑπερφιλούμενον πᾶσι τὸν Παλαμήδην,
αὐτὸν δὲ νομιζόμενον ὡς ἕνα τῶν τοῦ πλήθους.
ἐντεῦθεν δόλους ἤρτυε καὶ μηχανορραφίας,
καὶ συνεσκεύαζε βουλὰς πλήρεις συκοφαντίας.
τοῦ μὲν οὖν καρτερόχειρος παρόντος Ἀχιλλέως B
ἠπράκτουν τὰ βουλεύματα παιδὸς τοῦ Λαερτίου,
καὶ πᾶν τὸ τυρευόμενον κατὰ τοῦ Παλαμήδους
καὶ μηχανορραφούμενον ἦν ὡς ἀράχνης νῆμα·
ὡς δ' Ἀχιλλεὺς ἀπέσταλτο σὺν ἄλλοις ἀριστεῦσιν

1285 ἄσπετον A 1291 τούτῳ interpres 1292 συνετήρησεν AR 1304 βασιλεῦσι A

mos erexit. doloris autem causa, qui hunc exacerbarat, erat Palamedis caedes iniuste necati. dicam vero qui hoc factum, et quis auctor fuerit.
Ulysses ex insula natus adversus Palamedem odium implacabile alebat et invidiam ex imo corde conceptam; idque propterea quod apud Graecos Palamedes floreret, quodque cuncti ad ipsum intentis animis, tanquam ad deum, intimo pectoris amore hominem complecterentur. nam praecognoverat pestis ardentis telum, eamque toti Graecorum exercitui praedixerat. cumque omnes ab hoc malo acerbe affligerentur, ipse Graecos illaesos a peste servaverat, partim eis consulens et homines oratione confirmans, partim ipsa re docens quid potissimum conduceret. hinc igitur Ulysses invidia flagrabat, cum Palamedem vehementer diligi cerneret, se vero haberi tanquam unum de plebe. ex eo tempore fraudes ac molitiones nectebat consiliaque calumniae plena parabat. verum quamdiu robustus Achilles aderat, nihil efficere consilia filii Laertis poterant, nec eorum quicquam quae contra Palamedem struebantur: nam quodcunque nectebatur, erat instar telae araneae. verum posteaquam Achilles cum ducibus caeteris

συνάψων πόλεμόν τισιν ὑπερμαχοῦσι Τρώων,
καὶ συνεπόμενον αὐτῷ καὶ Παλαμήδην εἶχεν
(ὑπερεγλίχετο καὶ γὰρ πάντῃ συνεῖναι τούτῳ),
ἐνταῦθ' ὁ πάντολμος ἀνὴρ δραξάμενος ἀδείας
τὴν Ἀγαμέμνονος συλᾷ κουφόνοιαν ἐν πρώτοις,
καὶ δῆθεν προσποιούμενος ὑπερφιλεῖν ἐκεῖνον
“ἐρᾷ” φησίν, “ὦ βασιλεῦ, ἀρχῆς τῆς τῶν Ἑλλήνων
C ὁ κραταιόχειρ Ἀχιλλεύς· κεντεῖ γὰρ ἡ νεότης.
καὶ Παλαμήδην ὡς δεινὸν εἰπεῖν καὶ κολακεῦσαι
καὶ μαστροπὸν καὶ συνεργὸν εἰς τοῦτο προσλαμβάνει.
μετὰ μικρὸν δ' ἐλεύσονται τῆς μάχης τελεσθείσης,
καὶ σοὶ μὲν βοῦς προσάξουσιν ἀγέλας τε θρεμμάτων,
αὐτοὶ δὲ σφετερίσονται χρημάτων ὅλας θήκας,
οἷς τοὺς Ἑλλήνων δυνατοὺς ὑποποιήσονταί τε
καὶ κατὰ σοῦ κινήσουσιν, ὡς τῆς ἀρχῆς ἐκπέσῃς.”
ἤκουσε ταῦθ' ὁ βασιλεύς, ἐπείσθη, συνηρπάγη,
καὶ τῷ τοῦ δόλου σκευαστῇ χρῆται πρὸς συμβουλίαν.
καὶ γίνεται μετάπεμπτος εὐθὺς ὁ Παλαμήδης,
καὶ μονωθεὶς ταῖς ἄρκυσιν ἐμπίπτει ταῖς τοῦ φθόνου.
D συκοφαντεῖται τοῖς Τρωσὶν Ἕλληνας προδιδόναι,
καὶ γίνεται λιθόλευστος (φεῦ, οἷα ποιεῖς φθόνε!)
ἄλλο μηδὲν φθεγξάμενος εἰ μὴ τὸ ῥῆμα τοῦτο
“ὦ δυστυχὴς ἀλήθεια, σὲ καὶ πενθῶ καὶ στένω·
σὺ γάρ μου προαπόλωλας καὶ προεθανατώθης.”

1307 ἀεὶ συνεῖναι RR, συναπιέναι A 1318 οἷς] καὶ MR
1321 φθόνου R 1323 φόνου AR

missus fuit bellum gesturus cum quibusdam Troianorum defensoribus, cuius expeditionis comitem secum habebat Palamedem (etenim vehementer illi semper adesse cupiebat), tum vero quidvis audens ille, nactus occasionem periculi expertem, Agamemnonis primum levitatem praedatur, seque simulans ipsius esse perquam studiosum "affectat" inquit, "mi rex, Graecorum imperium Achilles ille robustus, a iuvenili aetate impulsus, ac Palamedem ceu dicendi et assentandi peritum lenonis instar ac socii ad hoc sibi adiungit. neque multo post commisso praelio venient; ac tibi quidem boves afferent et greges ovium: verum ipsi plena pecuniis vasa furtim auferent, quibus et subiicient sibi Graecorum potentiores et contra te concitabunt, ut imperium amittas." audiit haec rex: persuasus et captus est, auctorem fraudis in consilium adhibet. statim deinde Palamedes arcessitur, et solus relictus in caedis laqueos incidit: per calumniam insimulatur, quasi Graecos Troianis proderet; lapidibus obruitur (heu quae perpetras, invidia!), nihil cum dixisset aliud quam hoc verbum "infelix veritas, te lugeo deploroque gemens. nam tu ante me periisti et morte

ἐπάνεισιν ὁ Θέτιδος μετὰ λαμπρῶν τροπαίων,
μανθάνει τὸ γενόμενον, οἰκτείρει Παλαμήδην,
βαρυθυμεῖ, βαρυπενθεῖ, τοῖς Ἕλλησι μηνίει,
ἀφίσταται τοῦ μάχεσθαι καὶ συμμαχεῖν ἐκείνοις.
ἐντεῦθεν θάρσος Ἕκτορι καὶ τοῖς αὐτοῦ συμμάχοις,
καὶ συγκροτοῦσιν Ἕλλησι μάχας ἰσχυρομάχους·
ἐντεῦθεν φόνοι καὶ σφαγαὶ καὶ πρόχυσις αἱμάτων,
ἀνδροκτασίαι καὶ βοαὶ καὶ λιμνασμοὶ τοῦ λύθρου.
καὶ πίπτουσιν ὡς στάχυες τὰ τῶν Ἑλλήνων σμήνη, P 28
καὶ ταπεινοῦνται, καὶ δεινοῖς ἀπείροις συσχεθέντες
ἐν μεταμέλῳ γίνονται τῶν πεπλημμελημένων.
οἱ πρίν τε σοβαρόφρονες λόγοις ἱκετηρίοις
ἐδέοντο τοῦ Θέτιδος καταλλαγῆναι σφίσιν.
ἀλλ' οὐ πρόσεσχεν Ἀχιλλεὺς τούτοις, οὐ κατεκάμφθη,
ἕως πεσὼν ὁ Πάτροκλος, ὅνπερ ὑπερηγάπα,
ἐκ παλαμῶν ἡρωϊκῶν γενναίων Ἑκτορέων,
αὐτὸν παρεβιάσατο δραμεῖν κατὰ τῶν Τρώων.
ἔξεισι τοίνυν Ἀχιλλεὺς πρὸς πόλεμον πῦρ πνέων.
καὶ ῥήγνυσι τὰς φάλαγγας, καὶ κτείνει τοὺς προμάχους
καὶ σὺν αὐτοῖς τὸν Ἕκτορα τὸν κίονα τῆς Τροίας, B
ἄνδρα βριθύν, ἀρεϊκόν, ὅπλοις ἐντεθραμμένον,
μωλωπισμοὺς ἐμφαίνοντα τοῖς στήθεσι μυρίους,
οὓς εἶχε συμπλεκόμενος τοῖς ταύροις τοῖς ἀγρίοις

1333 θράσος R 1338 θανατοῦνται R 1341 μεταλλαγῆναι A 1342 οὐκ ἐπεκάμφθη R 1345 κατεβιάσατο R 1346 εἰς R 1347 καὶ κτείνει] τροποῦται M 1350 ἐμφέροντα AR

affecta es." revertitur inde Thetidis filius cum tropaeis splendidis; accipit quod acciderat, Palamedem miseratur, indignatur, luget graviter, irascitur Graecis, pugnare desinit atque illos in praeliis iuvare. hinc nata Hectori et sociis eius audacia. pugnas cum Graecis validas conserunt. hinc caedes, mactationes, effusiones sanguinis ortae, hinc homicidia, clamores, restagnationes cruoris. instar aristarum Graecorum agmina concidunt, qui animis deiecti cum malis premerentur innumeris, paenitentia ducti sunt eorum quae deliquerant; cumque prius superbe se extulissent, nunc Thetidis filium verbis supplicibus orabant ut ipsis reconciliaretur. verum Achilles illa non curabat, quo eis opem ferret, donec Patroclus cecidisset, quem valde diligebat, interfectus ab heroicis manibus Hectoris. tum vero perpulerunt eum ut adversus Troianos procurreret. itaque progreditur ad pugnam Achilles, ignem spirans: perrumpit phalanges, prima stantes in acie necat, et inter eos Hectorem ipsum, Troiae columnam, virum fortem, mavortium, nutritum in armis, gerentem

προ τοῦ τοὺς Ἕλληνας ἐλθεῖν καὶ συγκροτῆσαι μάχην.
[ἀντιπαρατασσόμενος ἔθνεσιν ἀλλογλώσσοις.]
Ἀναιρεθέντος δ' Ἕκτορος τοῦ τολμηροκαρδίου
μετακαλεῖται Πρίαμος συμμάχους Ἀμαζόνας·
καὶ πάλιν μάχη καρτερά, καὶ θανατοῦνται πᾶσαι.
ἐκ πάντων οὖν ἀπορηθεὶς ὁ Δαρδανίδης γέρων
εἰς τὸν Δαβὶδ τὸν ἄνακτα τῆς Ἰουδαίας πέμπει,
παλάμην ἐξαιτούμενος συμμαχικὴν ἐκεῖθεν.
ἀλλ' ὁ Δαβὶδ οὐ δίδωσιν, εἴτε τὸ τηνικαῦτα
C *ἀντιπαρατασσόμενος ἔθνεσιν ἀλλογλώσσοις,*
εἴτε καὶ μυσαττόμενος Ἕλληνας καὶ βαρβάρους
ὡς μὴ θεὸν γινώσκοντας ἀλλ' εἰδωλολατροῦντας,
καὶ δεδιὼς μὴ ῥέψαιεν εἰς πλάνην Ἰουδαῖοι,
εἰ παρ' αὐτοῦ πεμφθήσονται σύμμαχοι τοῖς ἐν Τροίᾳ,
πρὸς τὴν κακίαν ἔχοντες εὐεπιφόρως φύσει.
τὸν οὖν Ταντάνην τῶν Ἰνδῶν Πρίαμος ἱκετεύει,
καὶ μετὰ πλήθους στέλλεται Μέμνων ἀπειραρίθμου.
ὁ δὲ στρατὸς ἦσαν Ἰνδοὶ πάντες μελανοχρῶτες·
οὕσπερ ἰδόντες Ἕλληνες ἐν ἀλλοκότῳ θέᾳ,
καὶ δειλιάσαντες αὐτῶν μορφὴν καὶ πανοπλίαν,
καὶ ζῷα περιτρέσαντες ἅπερ Ἰνδία τρέφει,
D *νύκτωρ φυγεῖν ἐσκέπτοντο καὶ προλιπεῖν τὴν Τροίαν.*
ἀλλ' ὅμως ἀντετάξαντο πρὸς τοὺς κελαινοχρῶτας,

1353 *ἀντιπαρατασσομένους?* sed praestat expungere versum infra (1361) recurrentem. 1356 *κρατερὰ* R 1358 *πρὸς* R 1361 *ἀντιπαραταττόμενος* R 1364 *ῥεύσαιεν* MRR 1367 *παντάνιν τὸν Ἰνδὸν* M 1374 *παρετάξαντο* R *μελανοχρῶτας* AR

in pectore cicatrices infinitas, quas ex conflictibus adversus feros tauros acceperat prius quam Graeci venissent et cum eo depugnassent.

Hectore perempto, qui audaci praeditus fuerat corde, Priamus Amazonas ad belli societatem arcessit. itaque rursum pugnatur, et omnes necantur. hoc modo senex ille Dardanides ab omnibus destitutus, ad Davidem Iudaeae regem suos mittit, qui ab eo manum auxiliarem poscerent. verum David illam haud porrexit, sive id temporis bellum gerebat adversus nationes extraneas, sive abhorrens a Graecis simul et barbaris, ut qui deum non cognoscerent sed deastros colerent, ac veritus ne Iudaei ad errorem prolaberentur, si ab ipso Troianis auxiliares copiae mitterentur, cum alias a natura proclives ad vitium forent. igitur regem Indorum Tantanem Priamus ad opem sibi ferendam suppliciter invitat, et infinita cum multitudine Memnon mittitur. exercitus erat Indicus, omnes colore nigro. quos cum aspexissent Graeci peregrino colore praeditos, formam eorum et armaturam veriti, simulque bestias illas formidantes quas alit India, fugere noctu Troiamque relinquere cogitabant. sed tamen nigris

καὶ τῶν Ἰνδῶν τοῖς αἵμασιν ἠρύθρωσαν ἀρούρας,
καὶ τοῦ Σκαμάνδρου τὰς ῥοὰς ἐφοίνιξαν τοῖς λύθροις.
Ἐν τούτοις οὖν κατέλαβεν ἡ τῶν ἀναθημάτων
τοῖς Ἕλλησι πανήγυρις, ἀλλὰ καὶ τοῖς βαρβάροις,
καὶ πᾶσιν ἦν ἀνακωχὴ πολέμων καὶ καμάτων.
καὶ δὴ στρατὸς Ἑλλήνιος καὶ τὸ τῶν Τρώων σμῆνος
ἀλλήλοις ἐπεμίγνυντο πρᾶξαι μηδὲν τολμῶντες.
ἦν δὲ ναὸς πρὸ τῶν τειχῶν τῆς καλλιπύργου Τροίας,
ἔνθα θαμίζων Ἀχιλλεὺς εἶδε τὴν Πολυξένην
καὶ τὸν πυρσὸν τοῦ πρὸς αὐτὴν ἔρωτος ἐπανῆψεν·
ἐν λύτροις γὰρ τοῖς Ἕκτορος αὐτὴν προεωράκει, P 29
καὶ κατασχεῖν δυνάμενος ὅμως οὐκ ἠβουλήθη.
τότε δ' ὡς εἶδεν ἔπαθε, καὶ τῷ πατρὶ Πριάμῳ
λόγους ἐπέστειλε ζητῶν εἰς γάμον Πολυξένην.
ὁ δὲ συγκατατίθεσθαι δῆθεν προσεποιεῖτο,
καὶ ταῦτα δόλοις ἔπραττον Δηΐφοβος καὶ Πάρις.
ὡς οὖν εἰσῆλθον εἰς ναὸν Ἀπόλλωνος Ἀλσαίου
ὅρκοις κατεμπεδώσοντες τὰ περὶ Πολυξένης,
ὁ μὲν Δηΐφοβος προσφὺς ἐφίλει τὸν Πηλέως,
φίλης νυμφίον ἀδελφῆς αὐτὸν κατονομάζων,
ἐγγὺς δὲ στὰς Ἀλέξανδρος ἐπήνεγκε καιρίαν,
καὶ πλήξας ὑπεξέφυγε μετὰ τοῦ Δηϊφόβου.
ὁ δ' Ἀχιλλεὺς κατενεχθεὶς πνοαῖς ἦν ἐν ἐσχάταις. B

1377 δὲ MRR 1378 τῶν βαρβάρων ARR 1381 τελοῦντες R 1384 ὑπανῆψεν MR 1388 ἐπέστελλε RR 1392 κατεμπεδώσαντες ARR 1394 εὐνέτην R

demum hominibus aciem opposuerunt, Indorumque sanguine terram tinxerunt, ut ea ruberet ac ipsa flumina Scamandri cruor purpurea redderet. Eo tempore festum donariorum appetebat, quod tam Graeci quam barbari celebrabant. itaque factae sunt induciae bellorum ac laborum. quibus durantibus Graecorum et Troianorum copiae ostentabant se quidem mutuo, sed nihil moliri contra se invicem audebant. templum vero quoddam erat ante Troiam pulchris ornatam turribus, in quo frequenter versans Achilles Polyxenam vidit et ardenti eius amore correptus est. quippe conspexerat eam, priusquam Hector redimeretur; ubi cum illam retinere potuisset, non tamen id facere voluit. at ubi tunc eam adspexit, affici coepit, Priamoque patri denuntiavit se Polyxenam uxorem poscere. Priamus assentiri se simulabat, Deiphobo et Paride fraudes hasce machinantibus. quare cum ingrederentur in Apollinis Alphaei fanum, iureiurando se obstricturi in causa Polyxenae, Deiphobus Pelei filium complexus osculabatur, carae sororis illum sponsum appellando, Alexander autem prope adstans letale vulnus inflixit; quo illato una cum Deiphobo in fugam se proripuit. Achilles collapsus extremam agebat animam. id Ulys-

ᾔσθετο τούτων Ὀδυσσεύς, συνείπετο γὰρ τούτῳ,
καὶ σὺν αὐτῷ διογενὴς Αἴας ὁ Τελαμῶνος.
ἄμφω τοίγαρ εἰς τὸν ναὸν συνεισπεπηδηκότες
εὗρον τὸν ἥρω κείμενον αἵμασι πεφυρμένον,
ἀπεσβηκὸς ἐμπνέοντα, μόγις κινοῦντα γλῶσσαν
καὶ μέλλοντα καλύπτεσθαι τὰ βλέφαρα τῷ σκότει.
ὡς εἶδον οὖν ὠλόλυξαν, καὶ προσπεσὼν τῷ στήθει
Αἴας ὁ μέγας ἐν κλαυθμῷ πρὸς τὸν Πηλέως εἶπεν
"ἦν ἄρα, πολεμόκλονε καὶ γίγα βριαρόχειρ,
ὃς ἀνελεῖν ἠδύνατο τὸν θυμολέοντά σε."
ὁ δ' ἀμαυρὸν ἐφώνησε καὶ παρακεκομμένον
C *"ἀνεῖλόν με Δηΐφοβος καὶ Πάρις μετὰ δόλου."*
καὶ ταῦτ' εἰπὼν ἐξέπνευσεν ὁ τηλικοῦτος ἥρως.
Αἴας δ' ἐπ' ὤμων θέμενος τὸ σκῆνος Ἀχιλλέως
πικρῶς ἐπὶ τὸν ναύσταθμον ἤγαγεν ὀλολύζων.
Εὐθὺς δὲ μετεπέμψαντο Πύρρον τὸν Ἀχιλλέως
τὸν καὶ Νεοπτόλεμον, τὸν ἀπὸ Δηϊδαμείας.
καὶ πάλιν φόνοι καὶ σφαγαί, πάλιν ἀνδροκτασίαι,
καὶ πάλιν αἱματόφυρτοι Τροίας αἱ πεδιάδες,
καὶ πάλιν αἱμοφόρυκτα τὰ τοῦ Σκαμάνδρου ῥεῖθρα,
ἕως τῶν μάντεων αὐτοῖς χρησμοὺς ἐκφοιβασάντων
ὡς οὐ χρεὼν ἐστιν ἑλεῖν ἀπὸ πολέμου Τροίαν
οὐδ' ἐκ χειρῶν οὐδ' ἐκ ξιφῶν, ἀλλ' ἀπὸ δόλου μόνου,
D *τὸν ἵππον ἐτεκτήναντο τὸν ξύλινον ἐκεῖνον,*

1401 *αἵματι* A 1402 *μόλις* AR *γλῶτταν* R 1403 *σκότῳ* MRR' 1409 *ἀνεῖλέ* R 1411 *τὸ τηλικοῦτο σκῆνος* R 1416 *τῆς Τροίας πεδιάδες* AM 1419 *λαβεῖν* R

ses animadvertebat, qui comitatus eum fuerat, una cum Aiace Telamonis filio, Iove sato. quapropter in fanum uterque simul cum irrupissent, heroem illum iacentem invenerunt, cruore foedatum, extremos ducentem spiritus, vix linguam moventem et iam iamque cernendi usum amissurum. itaque illo conspecto ululabant, et ad pectus eius allapsus Aiax Telamonius cum lamento Achillem allocutus est: "o vir mavortie, robustis manibus gigas, quisnam te leonino corde praeditum occidere potuit?" ille perobscure conciseque vocem hanc edidit "fraudulente Deiphobus atque Paris me interfecerunt." quae effatus insignis heros exspiravit. Aiax vero corpus Achillis humeris impositum acerbo cum eiulatu ad portum detulit.

Mox Pyrrhum Achillis filium arcessunt, cognomento Neoptolemum, Deiodamea matre natum. rursum caedes, mactationes, homicidia exoriuntur; rursum campi Troiani cruore imbuuntur, donec vatibus oracula pronuntiantibus, fatale non esse bello Troiam occupari, nec manibus nec gladiis, sed tantum fraude, ligneum equum Graeci fabricarunt, et in eum

καὶ καταφράκτους εἰς αὐτὸν ἄνδρας εἰσενεγκόντες
ἀπαίρειν δῆθεν ἔδοξαν πρὸς τὰς ἐνεγκαμένας.
καὶ τὸν μὲν ἵππον εἴασαν αὐτοῦ πρὸς τῷ ναυστάθμῳ,
αὐτοὶ δ' ὑφώρμουν ταῖς ναυσὶν ἐν τῇ Τενέδῳ νήσῳ.
εἶδον οἱ Τρῶες τὸ συμβάν, εἶδον ἐρήμους ὅρμους.
τὸν ἵππον μόνον βλέποντες ἠπόρουν, ἐθαμβοῦντο.
καὶ πρῶτα μὲν νομίζοντες εἶναι τὸ πᾶν ἀπάτην
φθείρειν τὸν ἵππον ὥρμηντο, πυρὶ παραδιδόναι
ἢ καὶ ῥιπτεῖν κατὰ πετρῶν κατὰ βυθοῦ θαλάσσης·
εἶτα (καὶ γὰρ κεκύρωτο Τροίαν ἁλῶναι τότε)
προσῆκον ἔδοξεν αὐτοῖς εἰσενεγκεῖν τὸν ἵππον
ὡς ἄγαλμα καὶ λάφυρον ἀπὸ τῶν ἐναντίων.
οἱ μὲν αὐτὸν εἰσήνεγκαν, καὶ πότοις καὶ χορείαις P 30
αὐτοὺς ἐκδόντες ὕπνωττον βαθὺν νήγρετον ὕπνον·
οἱ δ' ἄνδρες οἱ κρυπτόμενοι, καὶ πρὸς αὐτῷ λοχῶντες,
ὑπεξελθόντες σιωπῇ φρυκτωρὸν ἦραν μέγαν.
ὅπερ ἰδόντες Ἕλληνες οἱ προεκπεπλευκότες
θᾶττον ἢ λόγος ἐν ναυσὶ κατῆραν πρὸς τὴν Τροίαν,
καὶ τῶν πυλῶν ἀνοιγεισῶν παρὰ τῶν προεμβάντων
ὡς ὕδωρ εἰσεχύθησαν λάβρως ποθὲν πλημμῦραν.
Τῆς στερροπύργου τοιγαροῦν οὕτω ληφθείσης Τροίας
γυναῖκες ἀφηρπάζοντο παστάδων νεοπήκτων,
ἡ γῆ κατελιμνάζετο τοῖς φόνοις τῶν πιπτόντων, B
βρέφος ὑπαγκαλίδιον ἐρρήγνυτο τῷ τοίχῳ.

1424 *τῶν ναυστάθμων* ARR 1427 *ἐκθαμβοῦντο* A 1436 *αὐτὸν* MR 1441 *λαῦρον* MR 1444 *βαρβάρων* R· 1445 *καὶ βρέφος ὑπαγκαλιστὸν ἐρρίπτετο πρὸς τεῖχος* R. *πρὸς τεῖχος* etiam A.

viris armatis impositis se versus patrium solum solvere simularunt. et equum quidem istic iuxta portum relinquebant, ipsi vero cum navibus ad Tenedum insulam appellebant. videbant Troiani quod acciderat; portus aspiciebant vacuos, solum equum intuentes dubitabant et obstupescebant. ac primo quidem existimantes subesse fraudem, equum abolere festinabant igni traditum vel de scopulis in profunditatem maris abiectum. deinde (nam statutum erat divinitus Troiam tunc esse capiendam) visum est eis equum in urbem traducendum esse tanquam simulacrum quoddam et spolium hostibus ademptum. quapropter eum in urbem cum potationibus et choreis intulerunt, seque deinceps somno gravi inexcitabili dederunt. at illi qui absconditi latebant in eo per insidias, silenter egressi magnum ignem suscitarunt. quod conspicati Graeci, qui prius discesserant, dicto citius cum navigiis ad Troiam applicuerunt. cumque portae fuissent apertae ab iis qui erant prius ingressi, clanculum in eam infusi sunt instar exundantis aquae.

Hoc modo cum Troia, firmis munita turribus, esset capta, feminae rapiebantur e lectis recentibus, terra per caedes cadentium stagna-

ἁπλῶς εἰπεῖν ὡς ἐν βραχεῖ, γόος κατεῖχε πάντα,
καὶ πᾶν δεινὸν καὶ πᾶν πικρὸν κατέκλυζε τὴν πόλιν.
αἱ χεῖρες λυθροστάλακτοι, φονόβαπτα τὰ ξίφη·
τὸ δάπεδον ἠρύθρωτο, συνεπατοῦντο βρέφη.
ὡς δέ ποτ᾽ ἐκορέσθησαν ἁρπάζοντες κτιννύντες,
πυρὶ παραδιδόασι, πιμπρῶσιν ἀπὸ βάθρων
τὴν πρὶν ἐν πόλεσι λαμπράν, τὴν περιλαλουμένην.
Τὰ μὲν κατὰ τὸν πόλεμον τοιοῦτον ἔσχε τρόπον·
ἡ τύχη δ᾽ ἐγκοτήσασα καθάπαξ Μενελάῳ
ἄλλοις καινοῖς τὸν τάλανα καταπιέζει μόχθοις.
C *καὶ πάλιν πλοῦς μακρότερος, ναυστόλησις ἑτέρα,*
καὶ πόνοι διαδέχονται τοὺς παλαιτέρους νέοι
καὶ πλοῦν τὸν Ἑλλησπόντιον Αἰγύπτια πελάγη.
ἀπαίρει πρὸς τὴν Αἴγυπτον, δεινὰς μετρεῖ θαλάσσας,
καὶ χειμασθεὶς καὶ κυμανθεὶς ἀνέμοις βαρυθρόοις
μόγις καταίρει πρὸς αὐτήν. ἄνεισι πρὸς Πρωτέα,
εὑρίσκει καὶ τὴν σύνοικον ἐκεῖ κατὰ τὴν Μέμφιν,
καὶ ξενισθεὶς καὶ τιμηθεὶς λαμβάνει τὴν Ἑλένην,
καὶ μετὰ μόχθους ἱκανοὺς φθάνει πρὸς τὴν πατρίδα,
μετὰ τὴν Τροίας ἅλωσιν ὄγδοον ἔτος τρέχων
κατὰ τὴν περιπλάνησιν τὴν ἐπὶ τὸν Πρωτέα.
εὑρίσκει καὶ τὸν σύναιμον ἀθλίως ὀλωλότα
δόλῳ κακίστης γυναικός, ἐχίδνης μοιχαλίδος·

1446 τὸ πᾶν κατεῖχε ARR 1453 τοῦτον ἔσχε τὸν τρόπον AM 1461 κατέρρει R, ἀνέρρει M ἄνεισιν εἰς A

bat. infans qui gestabatur in ulnis, ad parietem allidebatur. ut simpliciter ac breviter dicam, eiulatu cuncta replebantur, omnis calamitas, omnis acerbitas urbem invadebat. manus cruore stillabant, gladii sanguine tincti erant, pavimentum rubedine infectum, infantes proculcabantur. tandem cum rapinis et caedibus essent satiati, urbem igni tradunt et a fundamentis exurunt, prius inter alias splendidam et passim celebrem.

Hoc modo bellum istud est gestum. caeterum fortuna Menelao semel indignata novis aliis miserum laboribus opprimit. rursum navigare coactus est multo remotius: aliae molestiae iam ante infelicem excipiunt, nimirum Hellesponticam navigationem Aegyptium mare. nam Aegyptum versus solvit: navigat periculosa per loca, et a tempestatibus fluctibus ventisque gravibus iactatus vix ad eam appellit. adscendit ad Proteum: invenit ibi coniugem in urbe Memphitica, hospitioque acceptus honorifice recipit Helenam. multos denique post labores in patriam revertitur, annum iam post occupationem Troiae octavum agens in oberratione, qua ad Proteum pergebat. invenit tum fratrem Agamemnonem misere trucidatum sceleratissimae uxoris fraude, quae moecha erat et vipera. invenit

εὑρίσκει τὸν ἀδελφιδοῦν Ὀρέστην ἐφθαρκότα D
τὸν τοῦ πατρὸς αἰσχύνοντα τὸ γένος καὶ τὸ λέχος
καὶ σὺν αὐτῷ τὴν ἀναιδῆ μητέρα Κλυταιμνήστραν.
Ἤδη μοι συντετέλεσται καὶ τὰ κατὰ τὴν Τροίαν
ἐπιδρομάδην καὶ σαφῶς. καὶ δὴ λοιπὸν γραπτέον
τὴν σθεναρὰν καὶ κραταιὰν Ῥωμαίων εὐποτμίαν,
πόθεν ἀρξάμενοι τῆς γῆς ἐκράτησαν ἁπάσης.
Μετὰ τὴν Τροίας ἅλωσιν Αἰνείας παῖς Ἀγχίσου,
εἴτε φυγὼν εἴτε λυθεὶς ἀπὸ τῶν πολεμίων,
μεταναστεύει παγγενεὶ πρὸς γῆν τῆς Ἰταλίας,
ἣν ἄλλοι μὲν ἱστόρησαν οὕτως ὀνομασθῆναι
ἐξ Ἰταλοῦ κατάρξαντος μερῶν τῶν Ἑσπερίων,
οἱ δ' ἐξ αἰτίας ἔφασαν τοιᾶσδε σχεῖν τὴν κλῆσιν.
ὁ μέγας ἥρως Ἡρακλῆς τὰς Γηρυόνος βόας P 31
ἀγεληδὸν συναγαγὼν ἦγεν ἐξ Ἐρυθείας.
εἷς οὖν ἐκείνων δάμαλις τῶν ἀπὸ τῆς ἀγέλης,
ἀποσκιρτήσας, ὥς φασιν, ἀπὸ τοῦ βουκολίου,
τὸ μεταξὺ νηξάμενος πέλαγος τῆς θαλάσσης
εἰς Ἰταλίαν ἴσχυσε διαπεραιωθῆναι
τοῦ δὲ καθ' οὓς ἀφίκοιτο πάντῃ πυνθανομένου
εἴ τις αὐτῶν ἑώρακε βοῦν ἀποπλανηθέντα,
ἐκεῖνοι τῆς Ἑλληνικῆς μὴ συνιέντες γλώσσης
οὐίτουλον τὸν δάμαλιν ἐκάλουν ἐγχωρίως.

1470 τὸ λέχος καὶ τὸ γένος R 1475 ὅθεν AMR 1477 ὑπὸ RR 1487 διαπεράσαι τάχει M 1488 καθὼς AMR 1491 οὐίτουλιν ARR τὴν AR

et Orestem, e fratre nepotem, qui Aegisthum occiderat, tori paterni et generis contaminatorem; quocum ille matrem etiam impudentem Clytaemnestram peremerat.

Hactenus Menelai casus a me commemorati sunto, idque cursim et perspicue: restat ut deinceps potentem ac validam Romanorum felicitatem describamus, unde illi exorsi terra universa potiti sint.

Post occupationem Troiae Aeneas Anchisae filius, sive fuga elapsus sive dimissus ab hostibus, cum familia tota se confert in terram Italiam, quam alii tradidere sic appellatam esse ab Italo, qui partibus Hesperiis imperitaverit, alii de hac causa nomen hoc habere dixerunt. magnus heros ille Hercules Geryonis boves collectos armentatim ex certamine domum ducebat. ibi cum ex iis unus vitulus ab armento boum, ceu memoriae proditum est, resiliisset, interiecto maris pelago natatu traiecto in Italiam magna vi pervenire potuit. Hercule vero quocunque venisset interrogante num quis vidisset bovem hunc qui aberraverat, illi qui linguam Graecam minime intelligerent, quod Graeci damalin, vitulum more

ἀπὸ τοῦ ζῴου τοιγαροῦν Οὐιταλία πᾶσα
ὅσην ὁ βοῦς ἐπέδραμεν ἐκεῖνος ὠνομάσθη,
τῷ χρόνῳ δὲ μετέπεσεν εἰς κλῆσιν Ἰταλίας.
B *Αἰνείας οὖν σὺν τοῖς Τρωσὶ τοῖς συνεκπεπλευκόσι*
χρησμοὺς λαβὼν ἀπέπλει παρὰ τὴν Ἰταλίαν.
οἱ δὲ χρησμοὶ προσέταττον ἐπὶ δυσμῶν ἐκπλέειν,
μέχρις αὐτοῖς ἐγγένηται καταλαβεῖν χωρίον
ἐν ᾧ κατασιτήσονται τὰς ἑαυτῶν τραπέζας·
ἐπὰν δὲ τοῦτο γένηται, τετράποδι χρωμένους
καθηγεμόνι τῆς ὁδοῦ κτίζειν ἐκεῖσε πόλιν
ὅπου τὸ ζῷον ἐρεισθῇ καμὸν ἀπὸ τοῦ δρόμου.
τούτους λαβόντες τοὺς χρησμοὺς εἰς Λωρεντὸν ἱκνοῦνται·
πεδίον δὲ τὸ Λωρεντόν ἐστι τῆς Ἰταλίας.
ἐνταῦθα πήξαντες σκηνὰς ἠρίστων ἐν δαπέδῳ.
σελίνοις δὲ τὸ δάπεδον ἦν ἅπαν ἐστρωμένον,
C *καὶ ταῦτα χρείαν τραπεζῶν ἐκείνοις ἀπεπλήρουν.*
ἀναλωθέντων τοιγαροῦν τῶν παρατεθειμένων
σελίνου τις ἐγεύσατο, καὶ μετ' ἐκεῖνον ἄλλος,
καὶ μετ' αὐτὸν ὁ συσσιτῶν, καὶ μετ' αὐτὸν ὁ πέλας.
καί τινες ἀνεβόησαν "ἡμῖν σὺν τοῖς σιτίοις
ἀνάλωνται καὶ τράπεζαι." κρότος δ' ἦν ἐπὶ τούτοις
ὡς τοῦ χρησμοῦ τοῦ παρ' αὐτοῖς εἰς τέλος πεφθακότος.
ἔπειτα θύειν μέλλοντες βωμὸν ἐδημιούργουν,

1494 *μετ. τὴν κλῆσιν Ἰταλία* R 1496 *περὶ* M 1498 *ἐγγένητο* RR 1502 *ἐρεισθὲν* R, *ἐρισθῇ* A, *αἱρεθῇ* M 1505 *ἠρίστουν* R 1506 *δ' ἦν τὸ δάπεδον ἅπαν κατεστρωμένον* R 1512 *δ' ἦν*] *οὖν* AMR 1513 *ἐφθακότος* R

gentis appellabant. itaque hoc ab animali tota regio Vitalia, quam bos percurrerat, est appellata.

Igitur Aeneas cum Troianis, qui cum ipso navigabant, acceptis oraculis Italiam navigio petebat. ea iubebant versus Occidentem ut navigaret, donec tandem in regionem quandam pervenisset, in qua mensas ipsi suas ciborum instar devorarent. hoc cum accidisset, quadrupede uterentur viae duce, atque ibidem urbem exstruerent ubi animal istuc defatigatum cursu haesurum esset. his oraculis acceptis Laurentum perveniunt. Laurentum vero campus est in Italia. fixis ibi tabernaculis in pavimento prandebant. totum autem pavimentum apio constratum erat, quod ipsis mensarum usum explebat. itaque iam absumptis quae erant apposita, quidam apium gustare coepit, ac post ipsum alius, inde rursum alius convictor, et vicissim illi proximus. tum nonnulli exclamarunt "una cum cibis etiam ipsae mensae absumptae sunt." subsecutus est plausus, quasi iam oraculi dati finis appetiisset. hinc sacrificare volen-

καὶ θήλειαν ἐφίστασαν ἐπὶ θυσίᾳ χοῖρον
ἐγκύμονα τυγχάνουσαν καὶ πρὸς τὸ τίκτειν οὖσαν.
μελλόντων δὲ κατάρχεσθαι τῆς χοίρου τῶν θυτήρων,
ἐκείνη διασείσασα χεῖρας τῶν κατεχόντων
ἐξέδραμε καὶ πρός τινα λόφον ὡρμήθη τρέχειν.
Αἰνείας δὲ παρείπετο βήμασι σχολαιτέροις,
μικρὸν ὑπολειπόμενος ἐκείνης ἑκουσίως, D
ὡς μὴ τοῦ δρόμου τῷ γοργῷ θορυβηθὲν τὸ ζῷον
ἀπὸ τῆς κατὰ δαίμονα πορείας ἐκτραπείη·
συνῆκε γὰρ ὡς ὁ χρησμὸς τοῦτο τετράπουν εἶπεν.
ἡ μὲν οὖν ἐκαθέζετο δρόμῳ πολλῷ καμοῦσα
(εἴκοσι γὰρ πρὸς τέσσαρσιν ἀνέδραμε σταδίους)·
Αἰνείας δὲ τὰ θέσφατα βλέπων τετελεσμένα,
τὸ δὲ χωρίον ἀφυὲς εἰς τὸ συστῆσαι πόλιν,
μεγάλαις αἰτιάσεσι τοὺς χρήσαντας ὑπῆγεν.
οὕτω δ' αὐτοὺς καχίζοντι καὶ καταμεμφομένῳ
φωνή ποθεν ἐξ ἀφανοῦς ἠκούσθη προϊοῦσα,
ἥτις καὶ μένειν ἔλεγε καὶ πόλιν ἐκεῖ κτίζειν·
καταγωγὴν μὲν γὰρ αὐτοῖς ἄρτι γενέσθαι ταύτην, P 32
ἔπειτα δὲ μετὰ καιρὸν καὶ χρόνους ἰσαρίθμους
οἷς ἂν ἡ χοῖρος ἁπαλοῖς ἐκτέκῃ δελφακίοις
ἄλλην αὐτοῖς γενήσεσθαι μεγαλοπρεπεστέραν.
ἡ μὲν οὖν χοῖρος ἔτεκεν ὅλην τριακοντάδα,
καὶ χρόνοις τόσοις ὕστερον παρὰ τῶν ἐξ Αἰνείου

1516 κύειν R 1517 ἐντέρων R 1526 σταδίοις R 1532 μονὴν ἔλεγε κἀκεῖ τὴν πόλιν M. an ἔλεγεν ἐκεῖ καὶ πόλιν?

tes aram exstruebant suemque feminam sacrificandam sistebant, quae gravida non iam procul a partu aberat. cumque sacrifici suem petituri mox essent, manibus illa tenentum elapsa quendam ad collem procurrit. sequebatur suem Aeneas lento nonnihil gradu, spatio inter se suemque non magno relicto data opera, ne contentione vehementiaque cursus illa perturbaretur. animadvertebat enim de hac quadrupede prolatum illud oraculum fuisse. cum ergo porca cursum non exiguum absolvisset, nimirum 24 stadia, tandem consedit; et Aeneas ea quidem quae praedicta fuerant accidisse videns, locum autem ipsum ad urbem condendam ineptum, auctores oraculi magnopere culpabat. inter has querelas alicunde vox quaedam ex obscuro loco prodiit et audita est, quae non subsistere tantum istic iuberet, sed etiam urbem condere: nam in hoc quidem tempore Troianos istic hospitium habituros, deinceps vero tot annis exactis quot enixae iam porcae fetibus numero responderent, urbem aliam longe magnificentiorem consecuturos. peperit autem porca fetus omnino triginta. totidem anni cum exiissent, Aeneae posteri civitatem Albanam,

ἡ πόλις Ἄλβα γέγονε λαμπρὰ καὶ τρισευδαίμων.
τότε δ' Αἰνείας τῇ φωνῇ τῇ θείᾳ πεπεισμένος
ἐκεῖ πολίζειν ἤρξατο πόλιν Λαουινίαν.
καί τι συνέβη θαυμαστὸν ἀξιαφήγητόν τε.
πρῶτα μὲν πῦρ αὐτόματος τῆς νάπης ἀνεδόθη,
ἔπειτα λύκος ἐκπηδῶν ποθὲν ἀπὸ δρυμῶνος
B ὕλην ξηρὰν τῷ στόματι λαμβάνων ἐπετίθει.
ἀετὸς πτερυσσόμενος, ὄρνις μεγαλοπτέρυξ,
τοῖς πτέρυξιν ἀνέκαιε τὸ πῦρ ἀναρριπίζων.
ἀλώπηξ δέ τις δολερὰ τούτοις ἀντιζηλοῦσα
καὶ τοῖς ἀνάπτουσι τὸ πῦρ ἀντιπαλαμωμένη
σβεννύειν ἔσπευδεν αὐτὸ καὶ μαρασμὸν ἐπάγειν,
τὴν κέρκον διαβρέχουσα λιβάσι ποταμίοις
καὶ ταύτῃ διαρραίνουσα τὴν ξυλοφάγον φλόγα.
ποτὲ μὲν οὖν οἱ θέλοντες ἀνάπτειν ἐπεκράτουν,
ποτὲ δ' ἐκείνων περιῆν ἡ θέλουσα σβεννύειν·
τέλος οἱ μὲν ἐνίκησαν, ἡ δ' ᾤχετο φυγοῦσα.
ταῦτ' οὖν Αἰνείας κατιδὼν ἐπίφθονον τὴν πόλιν
γενέσθαι προεφοίβασε, πολλὰ δὲ κυκηθεῖσαν
C μόλις ποτὲ καὶ σὺν μακροῖς καμάτοις ἐπαλλήλοις
καθυπερτέραν ἔσεσθαι τῶν ἐπιβουλευόντων.
Καὶ ταῦτα μὲν ἐπράχθησαν Αἰνείου περιόντος·
ἐπεὶ δ' ἐκεῖνος ἔλιπε τὸν ταραχώδη βίον,

1546 ἀετὸς δὲ πτ. RR, αὐτὸς δὲ πτ. A 1548 δολερῶς A
1551 ποταμίαις A 1552 ταύταις A 1556 τοῦτ' A
1557 παρεφοίβασεν A 1559 ἐπιβουλευμάτων R

sane splendidam atque opulentam, exstruxerunt. id vero temporis Aeneas divinae voci obtemperans oppidum istic condere, quod Lavinia vocatum est, coepit. acciditque mirum quiddam et commemoratione dignum. primum sponte sua exortus est ignis in luco; deinde lupus alicunde prosiliens e campo materiem siccam ore prehensam in ignem coniecit, aquila magnis alis vibratis ignem excitavit, vulpes denique fraudulenta cupide conatibus illorum obstans, et ignem accendentes dolis suis impediens, tota in eo fuit exstinguendo, petitis e flumine undis, quibus caudam madefecerat, flammam urentem respergens. hoc modo fiebat ut nonnunquam illi superiores evaderent, qui flammam accendere volebant, nonnunquam vulpes vinceret restinguendo. tandem illis victoria potitis haec fuga sibi consuluit. haec Aeneas cum aspexisset, praedixit urbem illam invidiae expositam fore, multisque turbis exagitatam vix aliquando magnis et continentibus laboribus consecuturam ut insidiatoribus suis superior evaderet.

Atque haec quidem adhuc Aenea superstite contigerunt. cum autem

υἱὸς ἐκείνου γνήσιος, Ἀσκάνιος τὴν κλῆσιν,
ἀπὸ Κρεούσης γεγονὼς τῆς θυγατρὸς Πριάμου,
τὴν πόλιν Ἄλβαν ᾤκισε σὺν τοῖς περιλειφθεῖσι.
καὶ ταύτης ἐβασίλευσεν Ἀμούλιος μετ᾽ ἄλλων,
Νεμέτορι προσήκοντι τὰ σκῆπτρα παραρπάσας.
ἦν δ᾽ ἀδελφὸς παλαίτερος Νεμέτωρ Ἀμουλίῳ,
οὗ παντελῶς βουλόμενος τὸ γένος ἀφανίσαι
τὸν μὲν υἱὸν προσαναιρεῖ, τὴν δέ γε θυγατέρα
ἱέρειαν πεποίηκε ναοῦ τοῦ τῆς Ἑστίας.
νενομοθέτητο δ᾽ ἁγνὰς τὰς ἱερείας μένειν, D
παρθενικὰς καὶ καθαρὰς καὶ γάμων ἀπειράτους.
ταύτην ποτὲ πρὸς Ἄρεος ἄλσος πορευομένην
φυλάξας τις ἐπέθετο, καὶ συμφθαρεὶς τῇ κόρῃ
ἐγκύμονα πεποίηκεν. ὡς δ᾽ ἐπεγνώσθη τοῦτο
τῷ πατραδέλφῳ βασιλεῖ, τότε μὲν ἐτηρεῖτο
μέχρις ὠδίνων καὶ καιροῦ τοῦ τῆς βρεφοτοκίας·
ἐπεὶ δ᾽ ὁ χρόνος ἐπιστὰς ὃν ὥρισεν ἡ φύσις
γαστρὸς τὸ βάρος ἔλυσε, δίδυμα δ᾽ ἦν τὰ βρέφη,
τὴν μὲν καθείρξας ἀσφαλῶς ὁ βασιλεὺς κατεῖχε,
τῶν δ᾽ ἀρτιτόκων θάνατον κατέγνω βρεφυλλίων,
καὶ δίδωσι τὰ δύστηνα ῥιφῆναι καθ᾽ ὑδάτων.
ἔρριπτο δὴ τὰ δυστυχῆ σκάφης ἐντὸς τεθέντα. P 33
ἐνταῦθα, θεία πρόνοια, κατάδηλος ὑπῆρξεν
ἡ δραστική σου δύναμις, τὸ τῆς χειρός σου κράτος.

1562 *Αἰνείου* R 1566 *προαρπάσας* M, *διαρπάσας* R 1567 *ἀμουλίου* AR 1569 *θυγατέραν* AM

ille debitum naturae persolvisset, filius eius, cui nomen erat Ascanii, de Creusa Priami filia natus, urbem Albam cum Troianis superstitibus condidit. in ea praeter alios Amulius quoque regnavit, qui Numitori sceptra eripuerat, fratri suo maiori natu. cumque gentem ipsius universam abolere vellet, filio fratris interfecto filiam fani Vestae sacerdotem fecit. erat autem praescriptum legibus ut eiusmodi sacerdotes Vestales pudicitiam castitatemque suam conservarent et virgines Veneris expertes manerent. igitur accidit aliquando ut illam ad lucum Martis ambulantem quidam invaderet vitioque puellae oblato gravidam redderet. ea re cognita rex puellae patruus illam custodiri curavit, donec pariendi tempus appetiisset. id cum de naturae praescripto adesset, gemellos illa peperit. quo facto neptem suam rex inclusam arta in custodia detinuit, infantibus ad mortem destinatis, mandans ut in aquas abiecti necarentur. itaque miselli quandam in scapham impositi abiiciuntur. sed divina hic providentia conspecta est, eiusque manus et efficax omnino vis declarata.

ἡ σκάφη περιτρέπεται, ῥιπτεῖται καὶ τὰ βρέφη.
ἔκειτο δὲ κνυζούμενα καὶ τετελματωμένα.
φαίνεται λύκαινά ποθεν σπαργῶσα νεοτόκος,
βαρυνομένη τοὺς μαστοὺς τοῦ γάλακτος τοῖς ῥείθροις,
καὶ τὰς θηλὰς τοῖς στόμασι τοῖς τῶν βρεφῶν προσῆγε,
καὶ τὸν πηλὸν ἀπέλειχε τῇ γλώσσῃ φιλανθρώπως·
B ἦσαν γὰρ σφῶν κατάπηλα τὰ κάλλη τῶν προσώπων.
βλέπει ποιμὴν τὸ γεγονός, τὰ βρέφη περισώζει,
ἀπάγει πρὸς τὴν γαμετήν, εὑρίσκει δυσθυμοῦσαν
ὅτι νεκρὸν ἀπέτεκε, παραμυθοῦται τούτοις,
καὶ δίδωσιν ὡς ἴδια ταῦτα τὰ βρέφη τρέφειν.
ἔτρεφε ταῦτα μητρικῶς ἐκείνη καὶ γνησίως,
καὶ παρ' ἐλπίδας μήτηρ ἦν διδύμων βρεφυλλίων
ἡ πρὸ μικροῦ μηδ' ἐφ' ἑνὶ τοῦτο συγχωρηθεῖσα.
ἄλλοι δ' οὐ λύκαινάν φασιν ἐκθρέψαι τὰ παιδία,
αὐτὴν δὲ τὴν ὁμόλεκτρον Φαυστύλου τοῦ ποιμένος,
ἥτις κοινὸν τοῦ σώματος τὸ κάλλος ποιουμένη
λοῦπα κατωνομάζετο τῇ γλώττῃ τῇ πατρίῳ
C ἤτοι κατὰ διάλεκτον Ἑλληνικὴν ἑταίρα·
ἐπεὶ δὲ καὶ τὴν λύκαιναν σύνηθες λοῦπαν λέγειν,
τὴν ὕβριν τὴν τῆς γυναικός τινες ἠγνοηκότες
λύκαιναν εἶπον τοῖς μασθοῖς τὰ βρέφη διαθρέψαι.
ὡς δ' οὖν καὶ διετράφησαν, τέως εἰς αὔξην ἦλθον

1595 παραμυθεῖται? 1596 φέρειν A 1598 ἐλπίδα R
1603 μετονομάζεται A

nam eversa scapha pueri quoque fuerunt eiecti. cumque roderet eos humor et coenum, in quo iacebant, accidit ut alicunde veniens lupa lacte turgens, quae non ita pridem pepererat ideoque lactis copia gravabatur, ubera infantum oribus admoveret, ipsumque lutum perbenigne ablingeret, quo erant illorum ora deformata et oblita. forte pastor quidam hac re conspecta infantum saluti consulit, ad uxorem eos suam defert, quam aegro affectam animo reperit, quod infantem mortuum edidisset. hanc eius calamitatem infantibus hisce oblatis solatur, quos suorum liberum loco educaret. illa vero materna quadam illos pietate complexa deinceps aluit, cum praeter spem gemellorum facta parens fuisset, quae non multo ante hoc nominis ne in uno quidem consequi potuerat. alii tradunt non lupam hos infantes nutrivisse, sed ipsam Faustuli pastoris coniugem; quae propterea quod corporis sui formam vulgo prostitueret, paterna gentibus illis lingua lupa fuerit appellata, qua voce scorta nuncupari consuerint, et lupae similiter, ambigua nimirum significatione. nonnulli, quod feminae petulantiam cognitam habuissent, lupam uberibus suis infantes hos aluisse prodiderunt. posteaquam educati nonnihil ado-

καὶ Ῥῶμος ὠνομάσθησαν οἱ παῖδες καὶ Ῥωμύλος,
καὶ βίον εἶχον συφορβῶν ἀγροίκων καὶ βουκόλων.
ἀγνοίᾳ δὲ Νεμέτωρος μανδρεύματα κακοῦντες,
ὃν ἔφθη μητροπάτορα τούτων εἰπὼν ὁ λόγος,
ἑάλωσαν ληστεύοντες τινῶν ἐνεδρευσάντων.
τῷ πάππῳ προσαχθέντες δὲ καὶ γνόντες καὶ γνωσθέντες
τῆς βασιλείας Ἀλβανῶν Ἀμούλιον γυμνοῦσιν,
καὶ ξίφει κατασφάττουσιν ἀφύλακτον εὑρόντες, D
τῷ σφῶν δὲ μητροπάτορι χαρίζονται τὰ σκῆπτρα.
τούτοις ὁ πάππος δεδωκὼς χρημάτων ἀφθονίαν
καὶ πᾶν τὸ συμβαλλόμενον πέμπει πρὸς ἀποικίαν.
ὁ γοῦν Ῥωμύλος παρελθὼν ἐπί τινα πολίχνην
ἀπὸ τοῦ κτίστου Πάλαντος Παλάτιον κληθεῖσαν
τὸ σχῆμα τὸ τῆς πόλεως ἐκεῖσε διαγράφει,
ἄρρενα ταῦρον καρτερὸν καὶ δάμαλιν συζεύξας,
ὧν ὁ μὲν ταῦρος ἔνευεν ἔξω πρὸς τὸ πεδίον,
ἡ τούτῳ συζυγοῦσα δὲ δάμαλις πρὸς τὴν πόλιν.
συμβολικῶς δ' ἐπηύχετο Ῥωμύλος διὰ τούτων
τοὺς ἄνδρας μὲν τοῖς ἔξωθεν γίνεσθαι φρικαλέους,
τὰς δὲ γυναῖκας ἔσωθεν γονίμους χρηματίζειν,
πιστὰς μενούσας, οἰκουροὺς καὶ φύλακας τῶν ἔνδον. P 34
ἔπειτα βῶλον τῇ χειρὶ λαβὼν ἀπὸ τῶν ἔξω
ἔνδον ῥιπτεῖ τῆς πόλεως, εὐχόμενος ἐπαύξειν
τὰ πράγματα τῆς πόλεως ἀπὸ τῶν ἀλλοτρίων.

1527 γενέσθαι AM

levissent, indita sunt eis Remi Romulique nomina, vitam subulcorum et bubulcorum agrestem agentibus. cumque per ignorantiam Numitoris caulas affecissent detrimento, quem iam rumor erat ipsorum avum maternum esse, in illis latrociniis capti sunt a nonnullis, qui eis insidias struxerant. ad avum perducti, et ultro citroque cogniti, Amulium non tantum Albano regno spoliant, sed etiam ferro destitutum a satellitibus obtruncant, suoque avo materno sceptra restituunt. is vero cum magnas eis opes atque pecunias largitus fuisset, instructos cunctis rebus necessariis ad deducendam coloniam ablegat. quare delatus ad oppidulum quoddam Romulus, cui Palatii nomen esset ab auctore Palante, figuram urbis ibi delineat, iunctis mare tauro et iuvenca. taurus foras campum versus spectabat: iuvenca vero sub unum cum eo iugum redacta, respiciebat urbem. qua pictura, ceu notis quibusdam, innuebat optare se Romulus ut extraneis viri formidabiles essent, feminae vero domi fecundae forent, suis maritis fidae, observatrices aedium, earumque rerum custodes quae res aedibus existunt. post haec glebam extrinsecus iacentem in manum sumptam in urbem coniecit, voto concepto ut ex alienis haec res publica

καὶ ταῦτα διαθέμενος ἐν σάλπιγγι σημαίνει
τὴν κλῆσιν τὴν τῆς πόλεως, καὶ Ῥώμην ὀνομάζει.
καὶ πλῆθος συλλεξάμενος ἀπὸ τῆς περιχώρου,
ἄνδρας, γυναῖκας, μείρακας, τριγέροντας, ἐφήβους,
ἰσοπολίτας τίθησι καὶ κατοικίζει πάντας.
Καὶ πρῶτος οὗτος βασιλεὺς καθίσταται Ῥωμαίων,
καὶ μετὰ τοῦτον ὁ Νουμᾶς, καὶ μετὰ τοῦτον Τύλλος,
καὶ μετ' αὐτοὺς ὁ Μάρκιος Ἄγκος ὠνομασμένος
B (τὴν γὰρ ἀγκύλην τοῦ ποδὸς εἶχε πεπηρωμένην),
καὶ μετ' αὐτὸν Ταρκύνιος πέμπτος ἀπὸ Ῥωμύλου,
μηδὲν αὐτῷ προσήκουσαν λαβὼν τὴν βασιλείαν·
τοῖς γὰρ παισὶν ὠφείλετο Μαρκίου βασιλέως.
γαμβρὸς τοῦ Ταρκυνίου δὲ Τύλλιος μετ' ἐκεῖνον,
ὃς ἀπὸ βρέφους, ὥς φασι, κἀκ πρώτης ἡλικίας
ἐπωνομάσθη σέρβιος ὡς γεγονὼς ἐκ δούλης·
δύναται γὰρ τὸ σέρβιος δοῦλον παρὰ Ῥωμαίοις.
οὗτος συνῆψε τὰς αὐτοῦ πρὸς γάμον θυγατέρας
τοῖς βασιλέως υἱωνοῖς Λευκίου Ταρκυνίου,
ὧνπερ μιᾶς ἐπιβουλῇ καὶ τρόπῳ μιαιφόνῳ
καὶ τῆς ζωῆς καὶ τῆς ἀρχῆς ὁ τάλας ἐστερήθη.
C καὶ μετ' αὐτὸν Ταρκύνιος ὁ Σούπερβος κατῆρξεν,
ὃς προσφερόμενος ὠμῶς καὶ φιλυπερηφάνως
καὶ τῇ βουλῇ καὶ τῷ κοινῷ Σούπερβος ἐπεκλήθη·
τὸν δ' ἀλαζόνα παρ' αὐτοῖς ἡ λέξις ἑρμηνεύει.

1647 γεννηθεὶς MR 1651 γνώμῃ AR 1655 ὠνομάσθη MR

incrementum sumeret. quibus ita peractis, signo tuba dato nomen urbis edidit, ut Roma nuncuparetur. cumque de finitimis regionibus hominum turbam, virorum scilicet, mulierum, adolescentum, senum iuvenumque collegisset, omnes eodem civitatis uti iure permisit et in coloniam recepit.

Hoc modo primus Romulus rex Romanorum fuit. ei Numa successit, Numae Tullus, Tullo Marcius, Ancus cognomento, quod curvaturam pedis, quae ancyle Graecis est, mutilatam haberet. post hunc regnavit quintus a Romulo Tarquinius, potitus imperio nihil ad se pertinente: nam Marcii liberis illud debebatur. Tarquinio successit gener Tullius, qui a puero, ceu perhibent, ac prima aetate Servii nomen habuit tanquam e serva natus, quippe mancipia servi apud Romanos dicuntur. filias suas L. Tarquinii regis nepotibus nuptum dedit. earum unius insidiis et cruento consilio miser vitam cum regno amisit. secutus est eum Tarquinius Superbus in imperio, qui cognomentum hoc Superbi tulit ex eo quod crudeliter et superbe tam erga senatum quam plebem sese gereret: nam superbi apud Romanos appellantur, qui sunt arrogantes. accessit

πρὸς τοῦτον τὸν Ταρκύνιον ἀφίκετο γυνή τις
βίβλους ἐννέα φέρουσα χρησμῶν τῶν Σιβυλλείων,
ἀπεμπολῆσαι δ' ἤθελε τῷ βασιλεῖ τὰς βίβλους.
ἐπεὶ δὲ τὸ ζητούμενον ἐκεῖνος οὐκ ἐδίδου,
πυρὶ τὰς τρεῖς κατέφλεξε, καὶ πάλιν προσελθοῦσα
τιμῆς ἐπώλει τῆς αὐτῆς τὰς καταλελειμμένας.
ἀλλ' ἔδοξεν ἀσύνετος ἐν τούτῳ τοῖς παροῦσιν,
καὶ πάλιν τρεῖς πυριφλεγεῖς ἐγένοντο τῶν βίβλων.
ἦλθεν ἐκ τρίτου πρὸς αὐτόν, καὶ τῆς τιμῆς τῆς ἴσης
τὰς τρεῖς ἐδίδου τὰς λοιπάς. θαυμάσας δ' ἐπὶ τούτοις D
ὁ βασιλεύς, καὶ μάντεων πυθόμενος δοκίμων,
ἐκέλευσε τῇ γυναικὶ δοθῆναι τὸ χρυσίον.
τὴν δὲ λαβοῦσαν τὸ δοθέν, καὶ μετ' ἐπιμελείας
τηρεῖν τὰς βίβλους φράσασαν, εἶδεν οὐδεὶς οὐκέτι·
αἱ βίβλοι δὲ γεγόνασι σωτήριοι τῇ πόλει.
τούτου ναὸν οἰκοδομεῖν ἐν Ῥώμῃ βουληθέντος
βόθρευμα μὲν ὠρύσσετο θεμέθλων ὑπογαίων,
τῆς δ' ὀρυγῆς ἐπὶ πολὺ τὸ βάθος προϊούσης
εὑρέθη κάτω κεφαλὴ νεοσφαγοῦς ἀνθρώπου,
αἷμα θερμὸν καὶ νεαρὸν χεόμενον δεικνῦσα,
καὶ πρόσωπον παρεμφερὲς ἔχουσα τοῖς ἐμπνόοις.
ὅπερ μαθὼν ἐν Τυρρηνοῖς δόκιμος τερασκόπος· P 35
ἔφη τὴν πόλιν κεφαλὴν πολλῶν ἐθνῶν γενέσθαι,
πλὴν διὰ ξίφους καὶ σφαγῶν καὶ λιμνασμῶν αἱμάτων.

1667 μάντιων χρησάμενος δοκίμοις M   1673 ὑπογείων R

aliquando mulier quaedam, novem libros Sibyllinorum oraculorum afferens, quos regi se vendituram diceret. cum autem ille pretium ab ea postulatum non daret, igne tribus exustis, rursum rege convento priori aestimatos pretio reliquos eidem offerebat. cumque parum mentis compos esse videretur iis qui aderant, iterum tres ex iis in ignem coniectos absumpsit. hoc modo tertium regem adit, et tres solos reliquos ei pro eodem pretio venum exponit. ea res cum regi admirationi esset, probatos vates secutus aurum adnumerari mulieri iubet. quo illa recepto, cum monuisset eos libros diligenter asservandos esse, deinceps a nemine mortalium conspecta est. libri autem isti salutares urbi fuerunt. idem Tarquinius cum extruere templum Romae vellet, iamque pro subterraneis fundamentis magnam ad profunditatem fodiendo perventum foret, sub terra caput hominis recens interfecti repertum est, in quo calidus iamque primum effusus sanguis conspiceretur, et facies vivae similis. hoc cum prodigiator apud Tyrrhenos celebris accepisset, urbem Romam caput multarum gentium futuram praedixit, sed nonnisi per gladios caedes et

ἐντεῦθεν ὁ Ταρπήϊος μετωνομάσθη λόφος
ἐκ τῆς φανείσης κεφαλῆς Καπιτωλῖνος λόφος·
κάπουτ γὰρ ἡ κεφαλὴ κατὰ Ῥωμαίων γλῶσσαν.
Χρόνοις μὲν οὖν ἐφ' ἱκανοῖς ἡ τῶν Ῥωμαίων πόλις,
πόλις ἡ μεγαλόπολις, ἦν ὑπὸ βασιλεῦσιν·
ἐπεὶ δὲ παρηνόμησεν ὁ παῖς τοῦ Ταρκυνίου
καὶ Λουκρητίαν ᾔσχυνε τὴν σωφρονικωτάτην,
τὴν Κολατίνου γαμετὴν ἀνδρὸς εὐγενεστάτου,
τότε δὴ πάντες εἰς ταὐτὸ Ῥωμαῖοι συνελθόντες
κατάλυσιν ψηφίζονται τοῦ βασιλείου κράτους,
B κυροῦσι δὲ προβάλλεσθαι κατ' ἔτος κονσυλίους,
ὅπερ δηλοῖ καθ' Ἕλληνας συμβούλους ἢ προβούλους,
οὓς Ἕλληνες ὠνόμασαν ὑπάτους μετὰ ταῦτα,
τὸ μεγαλεῖον τῆς αὐτῶν ἀξίας κατιδόντες.
ἀπελαθέντων τοιγαροῦν ἐκ Ῥώμης τῶν τυράννων,
πρῶτοι τῶν ἄλλων ἔλαβον ὑπατικὴν ἀξίαν
Ταρκύνιός τε Λεύκιος, ἀνὴρ τῆς Λουκρητίας,
καὶ Λεύκιος Ἰούνιος, ὃν Βροῦτον ἐπεκάλουν.
ἀλλὰ διηγητέον μοι καὶ τὰ περὶ τοῦ Βρούτου.
Μάρκιος ἦν τις εὐγενὴς ἀνὴρ παρὰ Ῥωμαίοις,
καὶ πλούτῳ βρίθων περιττῷ καὶ δὴ τιμῇ προέχων.
τούτῳ βασκήνας ὁ δεινὸς Ταρκύνιος τοῦ πλούτου
C αὐτὸν μὲν ξίφει δίδωσι, καὶ σὺν αὐτῷ τὸν παῖδα,

pro vv. 1681—2 unum M: ἐντεῦθεν Καπετώλιον ὁ τόπος ὠνομάσθη. 1683 γὰρ] καὶ γάρ? 1698 ἀπεκάλουν vulgo 1701 τῇ RR 1702 βασκαίνων M

sanguinis effusiones. hinc factum ut collis, qui antea Tarpeius diceba- tur, ab illo capite deinceps Capitolium vocaretur.

Fuit autem ingens haec Romanorum urbs longo tempore sub regum dominatu. posteaquam vero Tarquinii filius improbe se gessit, et castissimam illam Lucretiam, Collatini nobilissimi viri coniugem, violavit, Romani coactis omnium ordinum hominibus regibus suam potestatem abrogarunt, decreto facto ut in annos singulos consules ab eo tempore designarentur. ea vox tantum valet ac si consultores vel provisores dicas. Graeci quidem illos deinceps hypatos, hoc est supremos, vocarunt, amplitudine dignitatis eorum considerata. pulsis igitur ex urbe tyrannis, primi consularem dignitatem consecuti sunt L. Tarquinius Lucretiae maritus, et L. Iunius cognomento Brutus; de quo mihi quaedam commemoranda sunt.

Marcius quidam Romae vir nobilis erat, tam opibus quam dignitate praestans. ei cum acer ille Tarquinius ob facultatum amplitudinem in-

γενναῖον ὄντα καὶ καλὸν καὶ ζηλωτὸν ἐν πᾶσιν
καὶ φαίνοντα παράστημα ψυχῆς ἀνδροκαρδίου,
κἂν εἰ τῷ βίῳ περιῆν οὐκ ἂν ὑπομενοῦντα
μὴ τιμωρῆσαι τῷ πατρὶ κατὰ τῶν ἀνελόντων.
αὐτὸν μὲν οὖν τὸν Μάρκιον Ταρκύνιος κτιννύει,
τὸν δ' ὄλβον μετατίθησιν ἐν δόμοις βασιλείοις.
ὁ Βροῦτος οὗτος τοιγαροῦν παῖς ὑπάρχων Μαρκίου,
καὶ κατιδὼν τὴν τοῦ πατρὸς σφαγὴν ἀδικωτάτην,
καὶ συνιδὼν ὡς νουνεχὴς ὅτι συγκινδυνεύσει
σὺν τῷ πατρὶ καὶ τἀδελφῷ καὶ συναποθανεῖται,
βουλὴν βουλεύεται καλήν· πλάττεται γὰρ μωρίαν
καὶ σκέπτεται παράνοιαν, κἀντεῦθεν ἀποφεύγει
τὸ προσδοκώμενον κακόν, τὸν ἐκ τοῦ ξίφους πότμον. D
ἐντεῦθεν κατωνόμαστο τοῖς ἀγνοοῦσι Βροῦτος·
δηλοῖ δ' ἡ λέξις τὸν μωρὸν καὶ φρένας βεβλαμμένον.
μετάγει δ' οὖν Ταρκύνιος τοῦτον ἐν ἀνακτόροις,
κήδεσθαι μὲν ὡς συγγενοῦς κἀκ τῶν αὐτῶν αἱμάτων
τοῦ Βρούτου προσποιούμενος καὶ δῆθεν κατοικτείρων,
τὸ δ' ἀληθὲς βουλόμενος συμπαίστορα τοῖς τέκνοις
τοῖς ἑαυτοῦ χαρίζεσθαι ψυχαγωγίας χάριν,
οἷς καὶ συνὼν γελοιασμοὺς καὶ παιδιὰς προυξένει.
ἀποσταλέντων δέ ποτε τῶν παίδων Ταρκυνίου
ἐπὶ Δελφοὺς ὡς πεύσαιντο περὶ λοιμώδους νόσου,
καὶ Βροῦτος συνεπέμπετο τέρψων αὐτοὺς παιγνίοις.

1705 φέροντα R 1713 σὺν] καὶ R 1719 ἐπάγει R
1721 κατοικτεῖραι M

videret, hominem una cum filio perimit, iuvene generoso, pulchro, apud omnes amabili, iamque fortitudinis animi certa quaedam indicia de se praebente; quae ipsa res ei mortem attulerat, metuente Tarquinio ne, si superstes relinqueretur, haudquaquam sibi temperaret quo minus se de patris interfectoribus ulcisceretur. hoc pacto cum Marcium Tarquinius e medio sustulisset, opes eius in aedes regias transfert. habebat autem Marcius alterum quoque filium Brutum, qui caede patris iniustissima considerata, simulque sapienter animadverso futurum ut idem cum patre ac fratre mortis periculum adiret, consilium longe pulcherrimum capit. nam stultitia vesaniaque simulata, quod imminebat malum, evadit. hinc apud ignaros Brutus appellabatur, quae vox stultum et amentem significat. eum Tarquinius in regiam ad se transtulit, simulans quidem se Bruti curam gerere, cuius ipsum miseresceret ob generis propinquitatem (erant enim eodem orti sanguine), reapse vero cupiebat cum filiis suis collusorem dare, de cuius consuetudine voluptatem caperent. itaque versabatur inter liberos regios, eisque ludendi et ridendi materiem suppeditabat. cum autem aliquando filii Tarquinii Delphos ab-

P 36 οἱ μὲν οὖν τὸν Ἀπόλλωνα δώροις ἐδεξιοῦντο,
ὁ Βροῦτος βακτηρίαν δὲ ξυλίνην διατρήσας
ὅλην δι' ὅλης ὡς αὐλὸν χρυσῆν ἔκρυψε ῥάβδον,
καὶ ταύτην ὡς ἀνάθημα κεχάριστο τῷ Φοίβῳ.
ἀλλ' οὗτοι τὴν εὐμήχανον σοφίαν τὴν τοῦ Βρούτου
καὶ τὸ στερρὸν καὶ δυνατὸν μηδ' ὅλως ἐπιγνόντες
κατέπαιζον ἐτώθαζον ὕβριζον ἐμωκῶντο
τοιοῦτον προσενέγκαντα τῷ χρησμοδότῃ δῶρον.
μέλλοντες δὲ τοῦ Δελφικοῦ τεμένους μεταβαίνειν
ἠρώτων τὸν Ἀπόλλωνα τίς τῶν Ῥωμαίων ἄρξει.
ὁ δ' ἀπεφοίβασε τρανῶς, ὃς πρῶτος τὴν μητέρα
φθάσει περιπτυξάμενος. συνῆκεν οὖν ὁ Βροῦτος,
B ἐκεῖνοι δ' οὐκ ἐπέγνωσαν τί τῷ χρησμῷ δηλοῦται.
κοινῇ δὲ σχεῖν βουλόμενοι τὸ κράτος καὶ τὸ στέφος
ἅμα συνέθεντο τὴν σφῶν προσπτύξασθαι μητέρα.
καὶ μέντοι προσεπτύξαντο. Βροῦτος δ' ἐκβὰς τοῦ σκάφους,
πρηνὴς πεσὼν ἐπὶ τῆς γῆς ἐκείνην κατεφίλει.
Εἶχε μὲν οὖν προσποίητον ὁ Βροῦτος τὴν μωρίαν·
ὡς δ' ἐφημίσθη τὸ συμβὰν περὶ τὴν Λουκρητίαν,
τὸ πᾶν ἐδημοσίευσε, καὶ πρῶτος ἐφορμήσας
καὶ συγκαλέσας τὴν πληθὺν καὶ λόγοις ἐφοπλίσας

1733 συνετὸν AM   1734 μετέπαιζον A   1735 ἐπιφέροντα M
1737 τίς κρατήσει Ῥωμαίων ARR

legarentur a patre, sciscitatum Apollinis oraculum de morbo pestilente, qui tum grassabatur, etiam Brutus eis adiunctus est, qui ridiculis ipsos exhilararet. illi Delphos ingressi muneribus Apollinem sibi conciliabant. Brutus autem ligneo baculo perforato virgam in eo prorsus auream tibiae in modum abdebat, eamque Phoebo tanquam donarium dicabat et offerebat. astutam hanc callidamque Bruti sapientiam, solidi plenam ingenii, cum illi nequaquam animadverterent, hominem irridebant insectabantur exagitabant subsannabant, qui munus eiusmodi oraculorum auctori obtulisset. inde iam e templo Delphico discessuri Apollinem interrogabant, quisnam ex iis Romanorum imperio potiturus esset. ad ea respondebat Apollo perspicue, futurum ut hoc illi contingeret qui prior matrem complexus fuisset. mox Brutus animadvertit quid hoc oraculum sibi vellet, illis rem totam ignorantibus. cumque placuisset ut aequa potestate imperium administrarent, decreverunt omnes simul matrem amplecti, sicut etiam fecerunt. at Brutus, ubi primum e navi fuisset egressus, pronus in terram cecidit et eam exosculatus est.

Hoc modo Brutus data opera stultus erat. verum posteaquam de eo rumor fuisset diditus, quod acciderat Lucretiae, primus rem publicam capessebat, populum excitabat convocabat perorando armabat,

κατάλυσιν ἐπενεγκεῖν ἴσχυσε τοῖς τυράννοις,
τῷ Ταρκυνίῳ δή φημι καὶ τοῖς ἐκείνου τέκνοις.
Μετὰ γοῦν τὴν κατάλυσιν ὕπατοι πάντων πρῶτοι
Ῥωμαίοις κατεστάθησαν Βροῦτος καὶ Κολατῖνος, C
καὶ μετ' ἐκείνους ἕτεροι, καὶ μετ' αὐτοὺς παντοῖοι,
Κάσιοι καὶ Κικέρωνες καὶ Λεύκολοι καὶ Κάτλοι,
Κάτωνες καὶ Σκηπίωνες, Πομπήϊοι καὶ Σκαῦροι.
ἡ τηλικαύτη γοῦν ἰσχὺς καὶ τὸ τοσοῦτον κράτος
ἐν ἔτεσιν ἑξήκοντα πρὸς τοῖς τετρακοσίοις
καὶ πρὸς ἑτέροις τέσσαρσιν οὕτως ἐκυβερνᾶτο
μέχρις Γαΐου Καίσαρος, ὅστις τὴν ὑπατείαν
εἰς βασιλείαν ἤμειψε καὶ καταδυναστείαν.
εἰ δέ ποτε κατήπειξε πραγμάτων ἀστασία
καὶ τὸ πολύστροφον αὐτῶν καὶ τύχης δυσκληρία,
συνερχομένης τῆς βουλῆς, ἀλλὰ καὶ τῶν ὑπάτων,
δικτάτωρ εἷς ἐγένετο πάνταρχος αὐτοκράτωρ
(τὴν δ' ἀνυπεύθυνον ἀρχὴν ἡ λέξις ἑρμηνεύει D
καὶ τὴν αὐτοκρατορικὴν πάντων οἰκονομίαν)·
τῆς ζάλης τῶν πραγμάτων δὲ καταστορεννυμένης
τὸ κράτος ἀπετίθετο τῆς αὐτοκρατορίας.
Γάϊος δὲ γενόμενος δικτάτωρ αὐτοκράτωρ,
καὶ κατατροπωσάμενος μυρίας ἐθναρχίας,
καὶ τῶν Ῥωμαίων τὴν ἰσχὺν ἄχρις αὐτῶν Γαδείρων
καὶ μέχρι καὶ πρὸς ἥλιον ἀνίσχοντα πλατύνας,
μετὰ τὰς νίκας φθονηθεὶς καὶ τὰς τροπαιουχίας,

1755 Πομπήϊοι τε καὶ RR   1758 ἐκυβερνῶντο R   1771 μέχρις R

efficere denique poterat ut imperium tyrannis, Tarquinio nimirum eiusque liberis, abrogaretur.

Post hanc abrogationem primi apud Romanos consules creati sunt Brutus atque Collatinus. eos alii secuti sunt omnis generis, Cassii, Cicerones, Luculli, Catuli, Catones, Scipiones, Pompeii, Scauri. ac tanta sane potentia tantumque imperium 464 annis hoc pacto administratum est, ad Gaium usque Caesarem, qui consulatum in regnum dominatumque peculiarem convertit. quodsi aliquando rerum instabilitas et iniquitas fortunae sic postularet, conveniente senatu et consulibus dictator unus summa cum potestate creabatur, qua quidem voce significatur imperium rationibus reddendis haud obnoxium et administratio rerum omnium imperatoria. deinde hac tempestate sedata dictator se magistratu abdicabat. Gaius autem Caesar, cum dictator creatus summam hanc potestatem accepisset, de sexcentis nationibus victis tropaea statuisset, Romanorum potentiam ad ipsa usque Gadira solemque orientem prolatasset, post tot victorias et tropaea petitus invidia, sententiam longe iniquissimam con-

καὶ πρός τινων ἀναμαθὼν (οἷα τυρεύεις, φθόνε!)
ὡς κατ' αὐτοῦ κεκύρωται ψῆφος ἀδικωτάτη,
πρὸς τῶν πραγμάτων βιασθεὶς χωρεῖ πρὸς τυραννίδα,
P 37 καὶ συμπλακεὶς τοῖς κατ' αὐτοῦ γενναίως ἐπιοῦσι,
καὶ καταγωνισάμενος καὶ πάντων κυριεύσας,
τὸ κράτος περιζώννυται τῆς αὐτοκρατορίας.
Οὗτος ὁ Καῖσαρ παιδικὴν ἄγων τὴν ἡλικίαν
καθ' ὕπνους ἔδοξεν ἰδεῖν πρᾶγμα δηλοῦν τὸ μέλλον,
ὡς τῇ μητρὶ μιγνύοιτο καὶ συνασχημονοίη.
ἐτέχθη δὲ κἀν τοῖς αὐτοῦ τέρας ἱπποφορβίοις,
ἵππος βοείαις ἐν χηλαῖς τοὺς πόδας ὡπλισμένος,
μόνον δ' αὐτὸν ἐδέχετο Γάϊον ἀναβάτην,
καθάπερ τὸν Ἀλέξανδρον ἵππος ὁ Βουκεφάλας.
Τούτῳ τῷ Καίσαρι καινὸν τοιοῦτόν τι συνέβη.
γυνή τις ἐπαφρόδιτος συνέζευκτο γαμέτῃ·
Νέρων ὁ ταύτης ἦν ἀνήρ, ἐκείνη δὲ Ἰουλία.
B ταύτην τεκοῦσαν Νέρωνι τῷ συνοικοῦντι παῖδα
καὶ πάλιν σχοῦσαν ἐν γαστρὶ καὶ τὴν νηδὺν πλησθεῖσαν
καὶ τῆς ἐγκυμονήσεως ἄγουσαν ἕκτον μῆνα
ὁ Καῖσαρ ἤθελε λαβεῖν εἰς γάμου κοινωνίαν,
καὶ Νέρωνα κατήπειγεν αὐτῷ κατεγγυῆσαι
τὴν γαμετὴν καὶ πατρικῶς ταύτην νυμφοστολῆσαι.
πείθεται Νέρων, οὐχ ἑκὼν δίδωσι τὴν γυναῖκα.
ἡ δ' ἐπιστάντος τοῦ καιροῦ τίκτει παιδίον ἄρρεν.

1786 *Βουκεφάλος* M 1789 *ὁ ταύτης*] *ἐκείνης* M 1797 *βρεφίον* M

tra se latam audiens, rebus ipsis ita cogentibus ad tyrannidem occupandam animum adiecit. cumque manum cum iis conseruisset qui magnis freti viribus eum invadebant, omnesque devictos in potestatem redegisset, dominatum imperatorium in se translatum usurpavit.

Quo tempore puerilem adhuc aetatem agebat, visus est sibi per quietem aliquid videre, quo secuturus hic eventus indicaretur, nimirum se citra pudorem ullum matris amplexibus usum fuisse. praeterea natum est in eius equili prodigium, videlicet equus, cuius pedes ungulae bubulae munirent, et qui solum Caesarem vectorem acciperet, quemadmodum Bucephalus solum Alexandrum admittebat.

Eidem Caesari novum quiddam huiusmodi accidit. erat venusta mulier Iulia cum marito Nerone nupta, cui posteaquam liberos aliquos peperisset ac rursus uterum sexto iam mense ferret, Caesar eam sibi coniugem poscebat, et Neronem urgebat ut uxorem suam ipsi, tanquam si pater esset, desponderet. paret invitus Caesari Nero, coniugem ei suam tradit; quae ubi pariendi tempus appetiisset, filium marem edidit.

κἀντεῦθεν ἐξενήνεκτο δημώδης παροιμία
"τοῖς εὐτυχοῦσι καὶ λαμπροῖς καὶ τρίμηνα παιδία."
Τῶν γοῦν κατὰ τὸν Καίσαρα τοῦτον ἱστορηθέντων C
λοιπὸν διηγητέον μοι πόθεν ἐκλήθη Καῖσαρ.
οἱ μέν φασιν ὡς τῆς μητρὸς κατὰ γαστρὸς ἐχούσης
καὶ μὴ φθασάσης ἐκτεκεῖν, ἀλλὰ προαπελθούσης,
ἀνέτεμον οἱ προσγενεῖς ἐκείνης τὴν γαστέρα,
καὶ ζῶν ἐκεῖθεν ἔμβρυον καὶ νέον ἐξελόντες
Καίσαρα κατωνόμασαν ὡς ἀνατετμημένον.
ἄλλοι δὲ πάλιν λέγουσι τῆς κεφαλῆς τὴν κόμην
Ῥωμαίους λέγειν καίσαριν· Καῖσαρ γοῦν ἐπεκλήθη
Γάϊος ὡς εὐπλόκαμος ἢ μᾶλλον ὡς δασύθριξ.
ἕτεροι δὲ Ῥωμαϊκὰς γράψαντες ἱστορίας
φασὶν ὡς τούτου προσγενὴς τοῦ Καίσαρος Γαΐου
τρισαριστεὺς ἀναφανείς, ὅτε Καρχηδονίοις
Ῥωμαῖοι συνεπλέκοντο, καὶ δόρατι καιρίως D
βαλὼν τὸν ἀνταγωνιστὴν καὶ κατατραυματίσας
ἐλέφαντος ὀχούμενον ἄνωθεν εὐρωστέρου
αὐτῷ πρὸς γῆν κατήνεγκεν ἐλέφαντι, κἀντεῦθεν
ἔσχεν ἀρχὴν τὴν Καίσαρος λαμπρὰν προσωνυμίαν·
καίσαρες γὰρ ἐλέφαντες τοῖς Φοίνιξι καλοῦνται.
ἐκ τοῦ προγόνου τοιγαροῦν τοῦ προηριστευκότος
Καίσαρες ἐπεκλήθησαν οἱ προσγενεῖς ἐκείνῳ,
τιμὴν μεγίστην ἑαυτοῖς ἐντεῦθεν προξενοῦντες.

1805 ἐκεῖνον M 1808 καισάρην M 1810 γράφοντες M
1816 κατέρραξεν R

unde vulgo tritum illud proverbium natum est: "nobilibus et splendidis etiam mense tertio liberi nascuntur."

Licet autem his de Caesare proditis illud etiam adiungere, unde Caesaris nomen habuerit. sunt qui tradant eius matrem gravidam eniti non potuisse, sed fuisse ante partum exstinctam; quo factum sit ut eius propinqui iuberent uterum aperiri. de quo cum fetus vivus prodiisset, Caesarem dixere tanquam excisum. alii volunt comam capitis apud Romanos caesariem appellari, Gaiumque Caesaris nomen habuisse, quod pulchra densaque caesarie praeditus esset. denique nonnulli sunt rerum Romanarum scriptores, qui memoriae prodiderunt fuisse quendam Gai Caesaris gentilem, qui praeclaris facinoribus editis eo tempore quo Romani et Carthaginenses bellum inter se gerebant, etiam letali hastae vulnere adversarium elephanto insidentem una cum ipsa bellua in terram prostraverit, indeque gloriosum Caesaris cognomentum acceperit: nam eo vocabulo Poenis elephantos appellari. ab hoc igitur ceteros gentiles atque posteros ipsius Caesares fuisse dictos, honoris ab eodem non parum consecutos.

Περὶ μὲν τούτων ἱκανῶς· ἡμῖν δ' ἐπανιτέον
ἐπὶ τοῦ λόγου τὸν εἱρμόν. μέλλοντος γὰρ ἐκθνήσκειν
τοῦ καλλινίκου Καίσαρος τοῦ τολμηροκαρδίου,
ἔδοξε βλέπειν ἡ γυνὴ τούτου κατὰ τοὺς ὕπνους
P 38 *κατὰ τῆς τούτου κεφαλῆς πεσοῦσαν τὴν οἰκίαν,*
τὸν ἄνδρα δὲ κατάρρυτον αἵμασι γεγονότα
οἰκτρότατα καταπεσεῖν ἐπὶ τοὺς ταύτης κόλπους.
ἐσφάγη γοῦν ἐλεεινῶς τῆς ἀγορᾶς ἐν μέσῳ,
ἐπιθεμένων δολερῶς Κασίου τε καὶ Βρούτου.
Γαΐου τοίνυν Καίσαρος οὕτως ἀπολωλότος
ἀδελφιδοῦς εἰσποίητος υἱὸς ἐκείνου, Καῖσαρ
ὁ σεβαστὸς ἐπικληθείς, ἐλάβετο τῶν σκήπτρων,
τὸ μὲν Ὀκτάβιος αὐχῶν ὡς κύριον ἐκ βρέφους,
Αὔγουστος μετὰ ταῦτα δὲ κληθεὶς ὡς ηὐξημένος.
οὗτος ὑπῆρξε μόναρχος εἰς πλέον ἐκταθείσης
B *καὶ τῆς ζωῆς καὶ τῆς ἀρχῆς εἰς ἄκρα γῆς φθασάσης.*
τοῦτον ἡ μήτηρ κύουσα κατεῖδεν ἐν ὀνείροις
σπλάγχνον αὐτῆς εἰς οὐρανὸν ὡς ἁρπαγὲν ἀνέπτη.
ἄρτι δ' ἐκκύπτοντος ὑγρῶν ἐκ μητρικῶν θαλάμων,
ἔδοξε βλέπειν ὁ πατὴρ αὐτοῦ κατὰ τοὺς ὕπνους
ὡς ἐκ τῶν κόλπων ἔφαυσε τῆς τούτῳ συνοικούσης
ἥλιος ὁ τερψίμβροτος ὁ μέγας ἡμεράρχης.
ὡς δὲ προῆλθε βράδιον ἐκ τῆς οἰκίας τότε,
ἀστεροσκόπῳ ἐντυχὼν ἤρετο τὴν αἰτίαν.
ἐκείνου δὲ τὴν γέννησιν τοῦ βρέφους ἐπειπόντος

1824 *καρτεροκαρδίου* ARR 1828 *κατὰ* M 1837 *ἀρχῆς καὶ τῆς ζωῆς εἰς ἄκρον* R 1840 *δὲ κύπτοντος* AM, *δ' ἐκπίπτοντος* R 1845 *ἀστεροσκόπος?*

Ac de his quidem dictum satis: nunc ad orationis seriem redeamus. cum morti vicinus esset victoriosus ille fortisque Caesar, uxor eius per quietem videre visa est gladium in caput ipsius delabentem, maritum vero sanguine perfusum in sinum uxoris miserrime se demittentem. secundum haec in medio foro miserabiliter caesus est, insidiis a Cassio Brutoque structis.

Hoc modo cum Gaius Caesar interiisset, filius eius adoptivus, Augustus Caesar e Gai sorore natus, in imperio successit; qui cum a puero nomen Octavii tanquam sibi proprium habuisset, deinceps Augustus dictus est velut auctus. solus dominatu potitus est in vita longaeva et imperio ad extremos terrae fines prorogato. cum mater eo gravida foret, vidit in somnis viscus suum in caelum raptum subvolare. deinde illo ipso momento quo ex alvo materna prodibat, pater videre visus est e sinu coniugis solem ortum lucere. cumque tardius illo die domo exiret, quidam astrologus obviam factus cur serius prodiret interrogabat:

καὶ τὰ μεγάλα φράσσοντος αὐτῷ τῶν ὀνειράτων,
βαρυπενθήσας ὁ πολὺς ἐκεῖνος ἀστρολόγος
"ἄνθρωπε, τί πεποίηκας;" ἀνέκραγεν ἐκ βάθους·
"δεσπότην ἀπεκύησας ἡμῖν καὶ βασιλέα." C
τοῦ δὲ παιδὸς ἐλαύνοντος εἰς αὔξην ἡλικίας,
κἀν τοῖς ἀγροῖς διάγοντος σὺν τοῖς αὐτοῦ τοκεῦσιν,
καὶ τερπομένου θερισταῖς καὶ τοῖς ἀμαλλοδέταις,
καὶ ταῖν χεροῖν ἐμφέροντος ἄρτον καὶ σιτουμένου,
ἄφνω ῥοιζήσας ἀετὸς ἀφήρπασε τὸν ἄρτον,
καὶ πτερυχθεὶς μετάρσιος ἐπῆρτο πρὸς ἀέρα,
καὶ πάλιν ἐπικαταπτὰς ἀπέδωκε τὸν ἄρτον.
ἐπεὶ δὲ πρὸς βασίλειον ὕψος ἀναβεβήκει,
θυμώδης ἦν, ἀκρόχολος, ὀργίλος, ὁρμητίας,
καὶ πάλιν εὐμετάφορος ἐγίνετο καὶ πρᾶος.
ὡς οὖν ἐκάθητό ποτε δικοθετῶν καὶ κρίνων
καὶ πότμον ἀπεφήνατο κατὰ πολλῶν ἀνθρώπων,
ἀνὴρ Μηκίνης τις σοφὸς μὴ σθένων πλησιάσαι D
καὶ νουθετῆσαι Καίσαρα (τὸ πλῆθος γὰρ ἀπεῖργε)
χάρτῃ πιστεύει γράμματα, σφραγῖδι σημειοῦται.
ἔλεγε δὲ τὰ γράμματα "δήμιε, παῦσαι κρίνων."
καταστοχάζεται καλῶς, τὸν χάρτην ἀκοντίζει.
καὶ Καῖσαρ τοῦτον κατιδὼν τὴν δέλτον ἀναπτύσσει,
καὶ τοῖς γραφεῖσιν ἐντυχὼν ἀνίσταται τοῦ θρόνου,
καὶ τίθησιν ἀκύρωτα πάντα τὰ ψηφισθέντα.

1856 *πτερυσθεὶς* A   1868 *τὸν χάρτην* R

quo indicante natum esse sibi filium, graviter suspirans astrologus, artis suae peritia celebris, "quid hoc rei est?" exclamat. "dominum atque regem nobis genuisti." iam cum puer adolevisset, ac in praediis paternis degens messoribus et manipulorum colligatoribus oblectaretur, forteque panem aliquando manibus gestaret eoque vesceretur, superne delata in ipsum magno cum strepitu aquila panem eripuit, moxque complosis alis in aëra sublimis avolavit, deinde vicissim sese demittens panem ei reddidit. ad imperium ubi pervenisset, iracundus admodum erat, biliosus, et iusto quidem concitatior: sed rursus ad sese facile redibat et mitescebat. quare cum aliquando pro tribunali sederet causasque cognosceret ac multos mortales capitis damnaret, vir quidam sapiens, cui Maecenatis esset nomen, propius accedendi potestatem non habens ut Caesarem moneret (nam excludebatur ab ingenti hominum multitudine) literas quasdam in chartam perscribit, eamque deinceps obsignat. eae literae sententiam huiusmodi continebant "desine iudicem agere, carnifex." hanc chartam directo in Caesarem eiaculatur, qua conspecta et resignata, verbisque perscriptis in ea lectis, de tribunali surgit, quaeque prius erant decreta, tanquam irrita revocat.

Τούτῳ συνῆν διδάσκαλος Ἀλεξανδρεὺς τὸ γένος,
τὴν κλῆσιν Ἀθηνόδωρος, πάσης σοφίας πλήρης,
καὶ τρόπους ἱκανώτατος ῥυθμίζειν καὶ παιδεύειν.
οὗτος ἐρωτοκράτητον τὸν Καίσαρα γινώσκων
καὶ τὸ μὲν ὅλον πορνικόν, τὸ δὲ τῶν ἄλλων χεῖρον,
P 39 *ὀρεκτιῶντα γυναικῶν ἀνδράσιν ἐζευγμένων,*
καὶ τοὺς ὁμόζυγας αὐτῶν ὑπηρετεῖν τῷ μύσει
δεσποτικῶς προστάττοντα καὶ τυραννικωτέρως,
ἀπάγειν τοῦτον ἔσπευδε τῆς λύσσης τῆς τοῦ πάθους.
ἐπεὶ δ' οὐ μετετίθετο Καῖσαρ τοῦ φαύλου βίου,
ὁ θαυμαστὸς καθηγητὴς τοιοῦτόν τι τεχνᾶται.
ἰδὼν ὀλοφυρόμενον ἄνθρωπον καὶ θρηνοῦντα
τῶν τῆς συγκλήτου καὶ λαμπρῶν καὶ τῶν εὐτυχεστέρων
(καὶ γὰρ αὐτῷ προστέτακτο φορείῳ καταστέγῳ
τὴν γαμετὴν ἐγκλείσασθαι καὶ τῷ κρατοῦντι πέμψαι)
B *παρεγγυᾶται μὴ πενθεῖν μηδὲ βαρέως φέρειν,*
αὐτὸν δ' ἀντὶ τῆς γυναικὸς ἐγκλεῖσαι τῷ φορείῳ
καὶ στεῖλαι πρὸς τὸν Καίσαρα· τοῦτο γὰρ δέον εἶναι.
καὶ μόλις μέν, συμπείθει δ' οὖν. τίνα τὰ μετὰ τοῦτο;
εἴσεισιν Ἀθηνόδωρος, εἴσεισι ξίφος φέρων.
πέμπεται πρὸς τὸν Καίσαρα σημειωθεὶς σφραγῖδι.
ὁ Καῖσαρ ὑποδέχεται, ῥήγνυσι τὰς σφραγῖδας.
ἔξεισιν Ἀθηνόδωρος τὸ ξίφος ἐπισείων.
θαμβεῖται Καῖσαρ κατιδών, τῷ δέει κρυσταλλοῦται.

1877 τῇ πράξει R   1888 εἶναι δέον AR   1889 ταῦτα RR

Habebat idem Caesar magistrum quendam secum, Alexandrinum patria, nomine Athenodorum, omni sapientia et doctrina excultum, formandorumque morum longe peritissimum. hic cum animadverteret Caesarem in libidines et scortationes propensum esse, ac praesertim in peiori delinquere, quod mulieres maritatas appeteret, earumque coniuges cogeret ut huic improbo facinori subservirent, non heriliter eis tantum imperans sed etiam more tyrannico, totus in hoc erat ut Augustum ab eo furore vitioque revocaret. cum autem Caesar vitam sceleratam missam non faceret, admirandi praeceptor ingenii quiddam tale molitur. forte plorantem ac lamentantem conspiciebat hominem senatorium, lauta fortuna, clarum. quippe mandatum ei fuerat ut in operta lectica conclusam uxorem imperatori mitteret. eum Athenodorus hortari ne ploraret neve rem illam aegro ferret animo: se tantum uxoris loco lecticae includeret Caesarique pro eius imperio mitteret. vix hoc quidem homini, sed tamen persuadet. quid inde factum? lecticam Athenodorus ingreditur gladium tenens, sigillo obsignatus ad Caesarem mittitur; Caesar lecticam accipit, sigilla revellit; exit Athenodorus gladium quatiens; Caesar eo conspecto non tantum obstupescit, verum etiam metu congelascit:

ὅρκοις αὐτὸν καταδεσμεῖ μηκέτι τοῦτο πρᾶξαι
μηδ' ἀλλοτρίαις τοῦ λοιποῦ καταχρανθῆναι κοίταις.
Οὗτος πολὺν τῷ Καίσαρι συνδιατρίψας χρόνον,
καὶ μέλλων ἀπαλλάττεσθαι πρὸς τὴν ἐνεγκαμένην,
ἐπείπερ εἶδε Καίσαρα δύσοργον καὶ θυμώδη
καὶ τάχιον ἐκφέροντα τὰς κολαζούσας ψήφους, C
ταχέως δὲ τὴν τοῦ θυμοῦ πυρκαϊὰν σβεννύντα
καὶ τρόπους μεταπίπτοντα πρὸς φιλανθρωποτέρους,
κύψας αὐτοῦ πρὸς ἀκοὰς ὡς δὴ καταφιλήσων
"ὦ Καῖσαρ" ἔφη "σεβαστέ, τοῦτό σοι λείπει μόνον·
μὴ πρὶν τὰς ψήφους ἔκφερε πρὶν ἐν σαυτῷ λαλήσῃς
τὸν τῶν γραμμάτων ἀριθμὸν τῶν εἴκοσι τεσσάρων."
ὁ δὲ στενάξας βύθιον καὶ πρὸς ἐκεῖνον βλέψας
"ἔτι σου χρῄζω τῆς καλῆς" ἔφη "παιδαγωγίας.
καὶ πάλιν ἔσο σὺν ἐμοί, καὶ Ῥώμη σε καθέξει."
Οὗτος ὁ Καῖσαρ ἤλαυνε τοὺς μετεωρολέσχας,
μόνους κυδαίνων τοὺς σοφοὺς τιμαῖς ταῖς προσηκούσαις.
τοσοῦτον δὲ πεφίλητο παρὰ τῶν ὑπηκόων, D
ὥστε τὸν βίον ἐκλείπειν μέλλων ἀνὴρ Ῥωμαῖος
ἐπέτρεψε τοῖς ἑαυτοῦ παισὶ καὶ διαδόχοις
χαριστηρίους τοῖς θεοῖς προσενεγκεῖν θυσίας,
ὅτι, φησί, τὸν σεβαστὸν ζῶντα καταλιμπάνω.
Ὡς δὲ καὶ Καῖσαρ ἔμελλεν ἀπαίρειν τῶν ἐνθάδε,

1903 ὡς δὴ] δῆθεν R   1905 ταὐτῷ A   1909 ἔσῃ A
1915 ἐπενεγκεῖν R

sacramentis semet obstringit, quibus nihil eiusmodi se deinceps commissurum pollicebatur, nec toros alienos amplius contaminaturum.

Cum autem longo tempore vixisset apud Caesarem Athenodorus, iamque reversurus in patriam esset, quia Caesaris iracundiam bilemque norat, quodque celeriter admodum sententias poenales ferret ac vicissim extincto iracundiae rogo ad mores humaniores rediret, admoto eius auribus capite tanquam ipsum deosculaturus "Auguste Caesar" inquit, "unum modo tibi deest. cave prius sententias tuleris, quam 24 literarum nomina tecum ipse recitaveris." tum ille gemitu ex imo corde ducto Athenodorum intuitus "adhuc" ait, "tuae praeclarae institutionis egeo. quapropter amplius apud me tibi vivendum Romaeque haerendum erit."

Hic Caesar eos profligans et eiiciens qui de rebus sublimibus et caelestibus arroganter nugantur, solos viros sapientes ac doctos honoribus afficiebat. tam carus autem subditis erat, ut Romanus quidam in fata concessurus liberis suis atque posteris mandaret ut gratiarum actionis ergo sacrificia diis offerrent, quod moriens Augustum incolumem post se relinqueret.

Caesar ipse de vita migraturus adstantibus sibi consulibus et plebeis

παραστησάμενος αὐτῷ δημότας σὺν ὑπάτοις
"πηλίνην" ἔφησεν "εὑρὼν τὴν τῶν Ῥωμαίων πόλιν
καλλίπυργον πεποίηκα λιθίνην στερεμνίαν.
ἐπεὶ δὲ καὶ μεθίσταμαι τῆς τύρβης τῶν πραγμάτων,
κρυτῆσαι βούλομαι πολλοὺς ἐπὶ τῇ τελευτῇ μου
καὶ χρήσασθαι γελοιασμοῖς καὶ κροταλίσαι χεῖρας
ὡς ἐπὶ μίμου τελευτῇ γελοιαστοῦ καὶ παίκτου."
P 40 καὶ ταῦτα διετάξατο τοῦ βίου καταπαίζων.
ἐφ' ὅλοις δὲ πεντήκοντα σὺν ἓξ κρατήσας χρόνοις
τὴν ὀφειλὴν ἀπέδοτο, κατέβαλε τὸ χρέος.
Τούτου τοῦ Καίσαρος ἀρχῆς τοῖς σκήπτροις ἐφεστῶτος
ἐν ἔτει τεσσαρακοστῷ καὶ μὴν πρὸς τῷ δευτέρῳ
ὁ συναΐδιος πατρὶ καὶ κοσμοκτίστωρ λόγος,
εἰσδὺς νηδὺν τὴν καθαρὰν νεάνιδος ἀφθόρου,
τὴν σάρκα συνεπήξατο ταύτης ἐκ τῶν αἱμάτων,
καὶ σὺν αὐτῇ καὶ μετ' αὐτῆς ἐπέφαινεν ἀνθρώποις,
θεότητι παντέλειος καὶ φύσει βροτησίᾳ.
Τοῦ σεβαστοῦ δὲ Καίσαρος τὸν βίον ἐκλιπόντος
B ἀρχηγετεῖ Τιβέριος, ὃς τὰ μὲν πρῶτα πρᾶος
ὑπῆρχε καὶ μειλίχιος καὶ τρόπου φιλοδώρου,
ἀλλ' ὕστερον ἐξώκειλεν εἰς ἦθος μιαιφόνον
καὶ γνώμην ὑπομόχθηρον καὶ ῥυπαροψυχίαν.
ἄρτι δὲ τέως παρελθὼν ἐπὶ τὴν βασιλείαν
οὕτως ὑπερπεφίλητο τοῖς ὑπὸ χεῖρα πᾶσιν

1919 τὴν πόλιν τῶν Ῥωμαίων R 1922 καλῆς vel καλῶς M 1923 χεῖρε M 1925 διετάττετο ARR vv. 1926-7 om RR v. 1929 om RR 1933 ἐπέφανεν ARR

"quam luteam" inquit "inveni Romanam urbem, eam pulchris exornatam turribus lapideam firmamque reddidi. et quoniam mihi nunc e turba rerum humanarum erit excedendum, multos in obitu meo plausum edere volo ac ludos facere tanquam in mimi et ludionis obitu." quae quidem proferebat tanquam vitae mortalium illudens. cum autem totos 56 annos imperasset, naturae debitum persolvit.

Eodem Caesare potiente rerum coaeternus ille patri sermo, conditor mundi, castam incorruptae iuvenculae alvum ingressus ex eius sanguine carnem sibi compegit, cum qua inter homines conspectus est, tam divinitate quam humana natura plane perfectus.

Posteaquam vero Caesar Augustus e vivis excessisset, Tiberius ad imperium pervenit; qui ab initio quidem mitis blandus liberalis erat, sed deinceps ad sanguinarios mores, improbitatem atque sordes exorbitavit. recens autem ad imperium evectus adeo subditis omnibus carus erat, ut absque satellitio custodiaque corporis tam noctu quam interdiu, quocunque vellet, iret. quos urbium praetores vel tributorum exactores con-

ὡς φυλακῆς τε καὶ φρουρᾶς καὶ δορυφόρων ἄτερ
βαδίζειν ὅπου δή ποτε νύκτωρ καὶ μεθ' ἡμέραν.
εἰ δέ τισιν ἐπέτρεψε πόλεως στρατηγίαν
ἢ τὴν τῶν φόρων εἴσπραξιν, οὐκ ἐν ὀλίγῳ χρόνῳ
ἐκ τῆς ἀρχῆς παρέλυε καὶ τῆς ἡγεμονίας,
ἐκεῖνο τὸ θρυλούμενον λέγων τοῖς ἐρωτῶσιν.
ἄνθρωπος ἦν κατάνοσος, τοὺς πόδας ἡλκωμένος·
ἰχώρων πέπλητο πολλῶν δυσόδμων δυσιάτων.
αἱ μυῖαι κατεχόρευον ἐκείνου τῶν τραυμάτων, C
τὰς σηπεδόνας ἔβδαλλον, ἐμύζων τοὺς ἰχῶρας.
ὀδύναις δὲ βαλλόμενος καὶ τληπαθῶν ὁ κάμνων
οὐκ ἀπεσόβει τὰς δεινὰς καὶ θρασυτάτας μυίας.
ὡς δέ τις κατῳκτείρησεν ἐπικαμφθεὶς τῷ πάθει
καὶ τὰς δὴ μυίας ἔμελλεν ἐκεῖθεν ἐκδιώκειν,
ὁ πάσχων ἀνεβόησεν "ἄνθρωπε, ταύτας ἄφες,
μή πως αὐτῶν διωχθεισῶν ἄλγος μοι προξενήσῃς·
αἱ μὲν γὰρ κορεσθεῖσαί μου μελῶν τῶν σεσηπότων
βραχέα με λυπήσουσιν, ἂν δ' ἐπιπτῶσιν ἄλλαι,
προσφῦσαι βιαιότερον εἰς πλέον πικρανοῦσι."
ταῦτ' ἔλεγε Τιβέριος περὶ τῶν φορολόγων,
χρονίζειν λέγων δεῖν αὐτούς, ὡς κόρον ἐσχηκότας D
πραότερον προσφέρεσθαι τοῖς φορολογουμένοις.
εἰ δέ τινα κατέμαθε τῶν εἰσπραττόντων φόρους
εἰς πλέον ἐκφερόμενον τοῦ διατεταγμένου
καὶ χρηματίζοντα βαρὺν καὶ πέρα τοῦ μετρίου,

1946 παρέληγε A 1959 βραχέως M λυπήσωσιν ARR ἐπιπταίεν M 1963 προσφέροιντο ARR 1965 πλεῖον M 1966 τοῦ μετρίου πέρα R

stituebat, ab iis officiis intra breve tempus non removebat, causam rei sciscitantibus notum illud ac pervulgatum respondens, hominem videlicet aegrotum fuisse, cui pedes exulcerati essent, multis humoribus foetidis et sanatu difficilibus referto. in eius ulcera muscas involare solitas, ac putredines illas exhaurire. quae res tametsi dolorem aegrotanti afferret, non tamen eum molestas illas et audaces admodum muscas abegisse. cum autem misericordia quidam motus ob viri calamitatem muscas abigere vellet, aegrotum exclamasse "missas illas fac quaeso, mi homo, ne abactis iis doloris mihi maioris auctor sis. nam istae de membris meis putribus satiatae parum mihi molestiae sunt amplius exhibiturae: sin autem aliae advolarint, violentius adhaerendo magis me cruciabunt." haec de publicanis dicere Tiberius solebat, monens ut diutius tolerentur, quo tandem satiati benignius illos tractant a quibus exigenda sint tributa. quodsi quem publicanum accepisset modum sibi praescriptum excessisse, ita ut gravis

κολάσεσιν ὑπέβαλεν αὐτὸν ἀλγεινοτέραις,
ἀναβοῶν καὶ κεκραγὼς ἑτέραν παροιμίαν
"τὸν πόκον περικείρεσθαι βούλομαι τῶν προβάτων,
ἀλλ' οὐ ξυρᾶσθαι δυσμενῶς μέχρις ἐπιδερμίδος."
τοιοῦτος ἦν ἐν ταῖς ἀρχαῖς, ἀλλ' οὐχὶ μέχρι τέλους·
καὶ γὰρ ἐκόλαζε πικρῶς πολλοὺς τῶν ἀναιτίων,
ἀσυμπαθῶς μιαιφονῶν, καὶ τόσον ἐμισήθη
ὡς ὀνομάζεσθαι πηλὸς αἵματι πεφυρμένος.
P 41 *ἄνδρα καὶ γὰρ ὑπατικὸν καὶ τῶν εὐγενεστέρων*
τὴν κεφαλὴν ἀφείλετο καὶ σὺν αὐτῇ τὸν πλοῦτον,
τοῦτο καὶ μόνον ἐπειπών, ὅτι τὸ νόμισμά μου
φέρων ἐπικολπίδιον καὶ ῥυπαροὺς εἰς τόπους
καὶ σκυβαλώδεις παρελθὼν βάρος γαστρὸς ἐκένου.
Τοῦ Τιβερίου τούτου δὲ κατάρχοντος Ῥωμαίων
τὸν Ἰησοῦν μου τὸν γλυκύν, τὸν τῆς ζωῆς ταμίαν,
ἐπὶ σταυροῦ καθήλωσαν Ἑβραῖοι καὶ Πιλᾶτος.
μετὰ δὲ τὴν καθαίρεσιν τοῦ στυγητοῦ θανάτου
καὶ τὴν ἀπὸ τοῦ μνήματος ἔξέγερσιν τοῦ κτίστου
καὶ μετὰ τὴν ἐνσώματον ἔπαρσιν ἐκ τῶν κάτω
μέχρι καὶ Ῥώμης ἔδραμε Μαγδαληνὴ Μαρία
B *τῇ γλώσσῃ κατατρέχουσα τῶν παρηνομηκότων,*
καὶ Τιβερίῳ τὸν θυμὸν τοσοῦτον ὑπανῆψεν
ὡς βαρυτάτῳ καὶ πικρῷ πάντας κολάσαι πότμῳ
τοὺς ἱερεῖς καὶ γραμματεῖς, ἀλλὰ καὶ τὸν Πιλᾶτον.

1970 *ἄχρις* AR 1972 *ἐναντίων* M 1980 *Ῥωμαίοις* A
1987 *καταλέγουσα* M 1988 *ἐπανῆψεν* R 1989 *δεινῷ* AR

esse subditis perhiberetur, suppliciis hominem multabat, tritum illud proverbium adiiciens "volo vos ovium lanas detondere, non eas ad cutem usque deglubere." talem igitur ab initio se gerebat, sed in eo proposito nequaquam perstitit. nam deinceps durior factus acerbe puniebat etiam insontes, citra commiserationem ullam se caedibus polluens. unde tantum contra se odium excitavit ut vulgo lutum sanguine mistum appellaretur. non dubitavit aliquando virum consularem et nobilem interficere ac facultates eius diripere, solam hanc causam afferens, quod Tiberii numisma in sinu gestans accessisset ad foeda stercoreaque loca ibique ventris onus evacuasset.

Hoc Tiberio Romanis imperante dulcem Iesum meum, vitae largitorem, Hebraei et Pilatus cruci affixerunt. post devictam vero mortem illam exsecrabilem, cum hic rerum opifex e sepulcro resurrexisset deque locis inferis corpore suo sublatus in caelum esset, Maria Magdalena Romam usque cucurrit, et sceleratis illis accusatis tantopere Tiberium ad iram commovit ut omnes gravi acerbaque morte multaret.

Ὡς δέ ποτε Τιβέριος ἡρπάγη τῷ θανάτῳ,
ἐν ἔτεσιν πρὸς τοῖς τρισὶν εἴκοσι βασιλεύσας,
εἰς Γάϊον μετέπεσε τὸ τῶν Ῥωμαίων κράτος,
θυγατριδοῦν ὑπάρχοντα Καίσαρος Τιβερίου·
ὃς ὢν καὶ ῥυπαρόβιος καὶ φονικὸς τὸν τρόπον
παρθένους διεκόρησε γνησίας αὐθομαίμους,
ἔπαιζε δὲ σὺν κυβευταῖς ἄχρι τοῦ περιόρθρου.
σὺν τοῖς συμπόταις δέ ποτε κυβεύων ἐν Γαλλίαις
καὶ δυσκληρῶν καὶ δυσπραγῶν ἐν τῷ παιγνίῳ τούτῳ,
καὶ τὸν θησαυροφύλακα βλέψας βαρυθυμοῦντα C
ὅτι τὸ πᾶν κεκένωτο τοῦ θησαυροῦ χρυσίον,
ἐξαναστὰς ἐκέλευσεν ἐκθερισθῆναι ξίφει
πολλοὺς χρυσίῳ βρίθοντας, εὐθηνουμένους πλούτῳ.
ἐκεῖθεν οὖν μετήντλησεν ὅλας χρυσίου λίμνας.
οὗτος ἰδών ποτε πηλὸν ἐν στενωπῷ τῆς Ῥώμης
κόλποις Οὐεσπασιανοῦ τοῦ στρατηγικωτάτου
βληθήσεσθαι προσέταξεν· ἦν γὰρ ἀγορανόμος.
Ὡς δ' ἀπεσφάγη Γάϊος ἐν μέσοις ἀνακτόροις,
ἰθύνας τὸ βασίλειον τέσσαρσι χρόνοις κράτος,
ὁ Κλαύδιος ἡγήσατο παραλαβὼν τὸ κράτος·
ὃς οὕτω δειλοκάρδιος καὶ τρομερὸς ὑπῆρχεν
ὡς τοὺς φοιτῶντας παρ' αὐτὸν ἀνερευνᾶν προστάττειν,
μήπως ἐπικολπίδιον τύχοι τις κρύπτων ξίφος. D
εἰ δέ ποτε συμπόσιον γηθόσυνον συνίστη,
περιεστήκεισαν αὐτὸν ὁπλῖται δορυφόροι.

2000 *βλέπων* RR 2005 *ῥύμης* MR v. 2008 om R, 2009 om RR. hunc vulgo post 2004 ponunt. 2012 *πρὸς* AR

Cum autem Tiberius in fata concessisset, imperio per 23 annos administrato, Gaius rerum potitus est, Tiberii Caesaris e filia nepos; qui cum foedam vitam ageret caedibusque gauderet, etiam germanis sororibus suis adhuc virginibus vitium obtulit. solebat et cum aleatoribus ad auroram usque ludere. cumque accideret aliquando in Galliis ut cum quibusdam convivis aleam exerceret infelici conatu, thesaurique praefectum eo nomine tristem videret, exhaustis omnibus in aerario pecuniis, de convivio surgens interfici quosdam opulentos iussit, eoque pacto tantum non stagna quaedam auri consecutus est. quodam tempore lutum Romae in angiporto conspicatus mandavit ut illud in Vespasiani, qui tum aedilis erat, sinum coniiceretur.

Interfecto autem in regia Gaio post annum regni quartum, Claudius sceptris in se translatis imperio potitus est. erat is adeo formidolosus atque trepidus, ut accedentes ad se perquiri vellet num quis forte gladium in sinu abditum gestaret. quodsi convivium celebrare sui exhilarandi causa vellet, armati milites et satellites circumstabant. cum autem

κρατήσας δὲ τρισκαίδεκα τῆς βασιλείας ἔτη
Κλαύδιος ὁ δειλότατος φαρμάκοις ἀναιρεῖται.
Κλαυδίου φαρμαχθέντος δὲ Νέρων ὁ μητροκτόνος
παρεισεφθάρη κάκιστα τοῖς τῶν Ῥωμαίων σκήπτροις.
ἦν δ᾽ ἀσελγὴς καὶ βδελυρὸς καὶ πλήρης ἀσωτείας,
ἥττων γαστρὸς καὶ τῶν γαστρός, φίλοινος, φιλοπότης.
οὗτος πολλοὺς ὑπήγαγε θανάτοις πικροτάτοις,
καὶ τὴν μητέρα σὺν αὐτοῖς, εἴποι τις ἂν δικαίως
ὅτι κακὸν εἰσήνεγκε τοιοῦτον τοῖς ἐν βίῳ.
ἐπικατέθυσε δ᾽ αὐτῇ καὶ τὴν ὁμοζυγοῦσαν.
P 42 *κακοῖς δ᾽ ἐπαύξων τὰ κακά, καὶ προστιθεὶς κακίω,*
εὐνούχῳ προσηρμόσατο πρὸς λέχους κοινωνίαν.
ἔχαιρε δὲ κιθαρῳδοῖς καὶ γυναιξὶ παιστρίαις,
καὶ πᾶν κακὸν καὶ πᾶν αἰσχρὸν ἀρρητουργῶν ἐπλήρου
σὺν ὀρχησταῖς, γελοιασταῖς, μίμοις, ἁρματοστρόφοις.
τότε καὶ Πάρθοι τὴν ἀρχὴν τῆς Περσικῆς ἰσχύος
εἰς ἑαυτοὺς παρέσπασαν, Πέρσας δεδουλωκότες.
ὡς δὲ πολλοὺς ὁ μυσαρὸς Νέρων ἐδίδου ξίφει,
ὡς ἀκροχάλιξ, ὡς ὑγρὸς χοῖρος ἀκρατοπότης,
ὑπὸ παντὸς μεμίσητο τοῦ πλήθους μῖσος ἄκρον,
B *καὶ πάντες ἀπεστρέφοντο καὶ τὴν ἐκείνου θέαν·*
αἰσχρὸν γὰρ σύμπαν ἔπραττεν ἐν μέσοις τοῖς θεάτροις.

v. 2016 om R *δισκαίδεκα* R v. 2017 om RR 2023 *τὴν αὐτοῦ* R 2025 *ἐπεὶ κατέθυσεν αὐτὴν* R 2027 *εὐνοῦχον* ARR *γάμον* R 2029 *ἐτέλει* ARR 2033 *ῥυπαρὸς* AR 2034 *ὡς χοῖρος ἀκροπότης* M 2037 *ἅπαν* R

annos tredecim exegisset in imperio, vir timidissimus veneno sublatus est.

Atque ita Claudio per veneficium interempto, Nero parricida nequissime Romanum imperium in se transtulit. erat ille lascivus, impurus, luxuriae plenus, gulae ventrique deditus, vinosus. multos acerbissimis suppliciis affecit, inter quos et mater ipsius fuit; quam fortasse quis non immerito caesam dixerit, quod tam improbum mortalibus principem enixa fuerit. parricidio autem coniugis quoque mactationem adiecit. cumque mala malis et quidem foedioribus cumularet, cubicularium quendam suum coniugio sibi copulavit. delectabatur et citharoedis, iisque mulierculis quae risum concitant, et cum saltatoribus ludionibus mimis cantoribus omne facinus improbum perpetrabat, nec ab ulla turpitudine abstinebat. id temporis etiam Parthi Persicum regnum ad se traduxerunt, Persis in servitutem redactis. cum autem impurus hic Nero multos gladio sustulisset, homo nimirum porco similis et merum intemperanter ingurgitans, acerrimum omnium ordinum odium contra se concitavit, adeo quidem ut eius conspectum quoque nemo non aversaretur. nam foedissima quaeque

μὴ τοίνυν ἀνεχόμενοι Ῥωμαῖοι ταῦτα βλέπειν,
μηδὲ δουλεύειν φέροντες ἡνιοστρόφῳ μίμῳ,
ἐπῆλθον ἀναιρήσοντες. τοῦτο δὲ γνοὺς ὁ Νέρων
αὐτὸν διεχειρίσατο, τοῦτ᾽ ἐπειπὼν ἐν τέλει
"οἷον, ὦ Ζεῦ, κιθαρῳδὸν ὁ βίος ζημιοῦται!"
ἔτη κρατήσας τέσσαρα πρὸς πληρεστάτοις δέκα.
Γάλβας κατῆρξε μετ᾽ αὐτόν, καὶ μετ᾽ ἐκεῖνον Ὄθων,
ὁ μὲν ἑπτὰ γευσάμενος μῆνας τοῦ κράτους μόνον,
ὁ δ᾽ οὐδὲ πλέον τῶν τριῶν μηνῶν σκηπτροκρατήσας.
καὶ μετ᾽ αὐτῶν Βιτέλλιος, ὃς τοῖς ἀστερολέσχαις
κηρύγματα προστέθεικε φεύγειν ἐξ Ἰταλίας·
οἱ δ᾽ ἀντιπροτεθείκασι "φεῦγε τοῦ βίου, Καῖσαρ,"
καὶ τὴν ἡμέραν γράψαντες καθ᾽ ἣν ἀποκτανθείη· C
μῆνας ὀκτὼ κρατήσας γὰρ ἔργον μαχαίρας ὤφθη.
Τούτων λιπόντων τὴν ἀρχὴν καὶ σὺν αὐτῇ τὸν βίον
στρατὸς Οὐεσπασιανῷ ψηφίζεται τὸ κράτος,
τὸ κάλλος περικείροντι τῆς Ἰουδαίας τότε.
κἀκεῖνος μὲν ἀπῴχετο ναυστοληθεὶς πρὸς Ῥώμην,
τὸν δὲ γενναιοκάρδιον υἱὸν αὐτοῦ τὸν Τῖτον
Ἱερουσαλὴμ πολιορκεῖν ἀφῆκε σὺν δυνάμει,
ἀναγορεύσας Καίσαρα διάδοχον τοῦ κράτους·
ὃς μετὰ μόχθους ἱκανοὺς καὶ τὰς ἀνδροκτασίας
καὶ τὰς θαλάσσας τῶν συχνῶν αἱμάτων καὶ τοὺς φόνους,
ὑφ᾽ ὧν κατηρυθρώθησαν Σιὼν αἱ πεδιάδες

2039 ἡνιοστροφουμένῳ M 2040 εἰσῆλθον M v. 2043 om. R
2047 αὐτοῦ RR, αὐτοὺς A v. 2051 om. RR 2053 στρατὸς τῷ Οὐεσπ. M

media in aula designabat. quapropter Romani, qui haec amplius intueri non possent nec aurigae ac mimo servire vellent, invadunt hominem tanquam interfecturi; quo ille cognito manus ipsemet sibi attulit, his ad extremum verbis pronuntiatis "qualem, o Iuppiter, citharoedum mortales amittunt."

Post Neronem Galba imperio potitus est, post Galbam Otho, post utrumque Vitellius; qui edictis propositis astrologos Italia iussit excedere. illi vero scriptis vicissim propositis responderunt "tu vita, Caesar, excedito." simul ipsum diem indicarunt quo interficiendus esset. itaque mensibus octo rerum potitus gladio caesus periit.

Posteaquam hi et imperandi et vivendi finem fecissent, exercitus Vespasianum imperatorem renuntiarunt, qui tum temporis Iudaeam exscindebat. itaque Romam ille cum classe profectus est, magnanimo filio suo Tito cum copiis ad expugnandam Hierosolymam relicto, cum Caesarem ac imperii successorem illum designasset. ab eo post magnos labores caedes quasique maris in morem effusos cruores, quibus campi Sio-

D *καὶ δόρατα γεγόνασι λυθρόφυρτα καὶ ξίφη,*
ἀσπίδες αἱμοφόρυκτοι, φονοσταγεῖς παλάμαι,
τέλος περιγενόμενος πόλεως τῆς ὀλβίας
τὰς ὀχυρὰς οἰκοδομὰς καὶ πύργους τοὺς εὐπύργους
πυριφλεγεῖς πεποίηκε καὶ τὸν ναὸν καθεῖλε,
πολλὰ πολλάκις ἐπ' αὐτῷ στενάξας καὶ δακρύσας,
καὶ πόλιν τὴν περικαλλῆ τὴν μυριανδρουμένην
ἠσβολωμένην τέθεικε, καπνῷ μεμορυγμένην,
ὡς περιστῆναι τὴν πολλὴν ἐκείνην εὐανδρίαν
εἰς ἄπορον καὶ Σκυθικήν, ὅ φασιν, ἐρημίαν.
παρέτου γενομένου δὲ τοῦ κράτορος ἐκ γήρους
καὶ νόσῳ καταλύσαντος τὸν βίον καὶ τὸ κράτος,
ἔτεσι βασιλεύσαντος οὐ πλείω τῶν ἐννέα,
P 43 *Τίτος παρῆλθεν εἰς αὐτό, θεῖος ἀνὴρ καὶ πρᾶος,*
ἀνὴρ φιλοδωρότατος, προετικὸς χρημάτων,
καὶ τῆς ἀρχῆς κατάξιος καὶ τῆς ἡγεμονίας,
κἂν ἦσαν ἄλλαι πλείονες ἀρχαὶ καὶ βασιλεῖαι,
καὶ ταύτας ὢν ἐπάξιος διέπειν καὶ συνέχειν.
τούτου τὸ περιλάλητον καὶ θαυμαστὸν ἐκεῖνο
"οὐκ ἐγενόμην βασιλεὺς τήμερον οὐδὲ κράτωρ·
οὐδένα γὰρ κατήντλησα ῥείθροις εὐεργεσίας."
τούτου τὸ πολυύμνητον ἐκεῖνο καὶ γενναῖον
"οὐ χρὴ τὸν θεασάμενον πρόσωπον βασιλέως
παλιννοστεῖν περίλυπον ἐν σκυθρωποῖς προσώποις."
ἀλλ' ἔφθη προαρπάσασα νόσος ἡ παλαμναία

2062 *λιθόστρακτα* R. an *λυθρόστακτα?* 2068 *τὴν μ.*] *καὶ μ.* AR v. 2076 om. M *παρεκτικὸς* R 2081 *σήμερον* R

nis rubefacti sunt, hastarum gladiorumque vibrationibus respersi, tandem urbs opulenta beataque in potestatem redacta est, munita aedificia, cum turribus egregiis igne concremata, templum ipsum deletum; cuius nomine saepenumero Titus ingemiscebat et illacrimabat. hoc modo urbem pulcherrimam et populosissimam in fumum atque cineres redegit, ita ut habitatoribus antea frequens deinceps in miseram tristemque solitudinem commutaretur. cum autem Vespasianus imperator senio morboque confectus e rebus humanis excessisset, annis in imperio non amplius novem exactis, successit ei Titus filius, vir plane divinus, mitis, liberalissimus, opum dissipator, imperio dignus, immo dignus qui plura etiam imperia, si quidem exstitissent, administraret ac tutaretur. eius est vox illa celebris et admiranda "imperator hodie non fui, quia neminem beneficio affeci." eiusdem et altera vox valde laudata viroque generoso digna, cum diceret eum qui faciem imperatoris intueatur, tristi vultu ab eo discedere non debere. sed enim morbus letalis ante hominem elegan-

πρὸ χρόνου τὸν πανδέξιον, κρατήσαντ' ἔτη δύο. B
τροχοῦ δ' ἡ ἄστατος φορὰ καὶ ὁ πεττὸς τῆς τύχης
κακῶς τῷ Δομετιανῷ τὸ κράτος ἐγχειρίζει,
φύντι μὲν ἐκ τῶν αὐτῶν σπερμάτων ἐξ ὧν Τίτος,
οὐδὲν δὲ φέροντι κοινὸν οὐδ' ἀδελφὸν πρὸς Τίτον,
ὡς εἶναι τὸ θρυλούμενον πανάληθες ἐκεῖνο
"ἀμὶς καὶ ποτιστήριον ἐκ τῆς αὐτῆς ὑέλου,
ποδονιπτὴρ καὶ κύπελλον ἐκ τῶν αὐτῶν χωμάτων."
ἦν γὰρ ἐρασιχρήματος, κάπηλος τῶν πραγμάτων,
διψῶν αἱμάτων καὶ σφαγῶν, μάγειρος τῶν ἀνθρώπων,
κρεανομῶν ἀσυμπαθῶς, βρυχώμενος ὡς λέων.
τούτῳ προεῖπέ τις σοφὸς ἀνὴρ ἀστερολέσχης C
πότε καὶ πῶς τεθνήξεται, τίς μετ' αὐτὸν κατάρξει·
ὁ δὲ παραστησάμενος ἐγγὺς τὸν ἀστρολόγον
"σοὶ δ'" "ἔφη πόσος, ἄνθρωπε, ζωῆς ἐστὶν ὁ χρόνος;
καὶ πῶς καὶ πότε τελευτᾷς, καὶ ποῖόν σοι τὸ τέλος;"
ἐκείνου δὲ λαλήσαντος τρανῶς καὶ φιλαλήθως
ἅπερ αὐτὸν ἐδίδασκεν ὁ τῶν ἀστέρων δρόμος,
ὁ βασιλεὺς φεναχιστὴν θέλων αὐτὸν ἐλέγξαι
πυρὰν κελεύει λιπαρᾶς ἐξ ὕλης ἀναφθῆναι,
καὶ πεδηθέντα κραταιῶς τὸν μετεωρολέσχην
ἀκοντισθῆναι κατ' αὐτῆς περιηγκωνισμένον.

2091 κοινὸν ἀδελφικὸν R vv. 2092-3 apud Michaelem Glycam legi (p. 445 20-1) monet Meursius. v. 2094 om. RR; cf. 6027. 2095 ἐρατοχρήματος R 2098 ἀνὴρ σοφὸς R 2099 κρατήσει M 2101 δ' ἄνθρωπέ φησι πόσος ἐστὶ ζωῆς R 2102 σου M 2104 ὁ δρόμος τῶν ἀστέρων R, ὁ χρόνος τῶν ἀστέρων AM 2106 λιπαρᾶν MRR

tissimum abripuit quam biennium imperasset; ac instabilis rotae cursus cum alea fortunae Domitiano imperium male detulit. erat is quidem natus iisdem parentibus quibus et Titus: sed nihil cum Tito commune ac germanum habebat. quo factum ut verbum illud vulgo tritum in his verum esset "matula et poculum ex eodem vitro." quippe Domitianus avarus erat et quasi caupo quidam pecuniarum sanguinis et caedium avidus, hominum coquus, citra commiserationem carnibus humanis dilaniandis deditus, leonis in morem rugiens. praedixit ei quidam vir doctus et cursus siderum peritus, quando et quo pacto periturus esset et quis ei successurus. ille vero arcessito ad se astrologo "at tibi," ait "quantum restare temporis ad vivendum existimas, homo? quove pacto, et quando morieris? quem habebis exitum vitae?" de quibus ille cum recte ac vere disseruisset ut ex astrorum motu edoctus erat, imperator hominem convincere volens tanquam impostorem, rogum ex materie pingui structum accendi iubet, astrologumque firmiter colligatum constrictis brachiis in

ἀνῆπτο μὲν ἡ κάμινος, ἤρετο μεταρσία
ἡ φλόξ, ἠπείλει φοβερόν, ἐφόβει καὶ μακρόθεν·
φρικῶδες ἔβρεμε τὸ πῦρ, ἀέρα περιήχει·
ὁ δ' ἀστρολόγος πεδηθεὶς ἔκειτο μηδὲν πτήξας.
τί μετὰ ταῦτα τὸ συμβάν; ἐπήρθη ποθὲν νέφος,
τὸν οὐρανὸν ἠμαύρωσεν, ἠχλύωσεν ἀέρα.
D *ζοφῶδες ἦν, μελάντερον, κάθυγρον, ὀμβροφόρον·*
εἴκασεν ἄν τις ποταμοὺς ἐγκυμονεῖν ὑδάτων.
ἐντεῦθεν ῥήγνυται βροντὴ καὶ μυκηθμὸς ἠχεῖται,
καὶ πάντες ἦσαν ἐκποδών, ἔφευγον ἀνὰ κράτος,
ὁ βασιλεύς, οἱ θεαταί, δημόται, δορυφόροι,
τὴν κάμινον οἱ τρέφοντες οἱ δήμιοι. καὶ τέλος
ὄμβρος πολὺς καταρραγεὶς τὸ πῦρ ἀποσβεννύει,
καὶ κύνες ἐπελάσαντες καὶ τοὺς δεσμοὺς φαγόντες
P 44 *τὸν ἀστρολέσχην λύουσι πολλὰ θεοκλυτοῦντα.*
καὶ ταῦτα μὲν τετέλεστο περὶ τὸν ἄνδρα τοῦτον·
αὐτὸς δὲ μέλλων τελευτᾶν ὁ θὴρ ὁ θυμολέων
ἐν ὕπνοις βλέπειν ἔδοξεν ὡς ἵππου μελαντέρου
βασιλικῶς ἐπέβαινε κατάφρακτος ὢν ὅπλοις,
ἀπορρυέντων δ' ἀπ' αὐτοῦ τῶν ὅπλων αὐτομάτως
εἰς χάσμα γῆς καὶ βόθυνον ἀθλίως κατηνέχθη
αὐτῷ σὺν ἵππῳ καὶ στολῇ, καὶ τέλος ἠφαντώθη.
Καὶ τοίνυν τούτου τὴν ψυχὴν ἐκρήξαντος βιαίως,

2112 **καταπτήξας** AMR 2116 **ποταμὸν** M 2127 **ὢν**] **τοῖς** M

illum abiici. posteaquam rogo subiectus fuisset ignis iamque sursum is se tolleret, terribile quiddam homini flamma minabatur ex longo etiam intervallo; formidabiliter ignis crepitabat, et aëra collustrabat undique, cum interim astrologus ita colligatus, ut diximus, in magna consternatione iaceret. quid quaeso deinceps accidit? nubes alicunde quaedam orta caelum obduxit et aëra totum obscuravit. erat enim illa caliginosa nigra humida, imbremque secum ferebat: existimasset aliquis eam quasi quaedam aquarum flumina parturire. secuta sunt tonitrua, et mugitus quidam auditus est. tum vero universi semet in fugam coniicere, imperator, spectatores, vulgus hominum, satellites, ii qui caminum materie suggesta inflammabant, ipsi denique carnifices. ad extremum imber maximus de caelo lapsus ignem exstinxit, canesque supervenientes arrosis vinculis astrologum opem divinam assiduo implorantem liberarunt. eiusmodi quiddam huic viro contigit. ipsa vero bellua, leonina ferocia praedita, cum vivendi finem factura esset, per quietem videre visa est se ornatu imperatorio vestitam ascendere nigrum in equum, armis undique munitam, quae cum casu quodam amisisset, in hiatu terrae praecipitari se misere putabat una cum equo et amictu, tandemque prorsus evanescere.

Posteaquam Domitianus morte violenta decessisset, exactis in impe-

ἐν ἔτεσι κρατήσαντος πέντε σὺν ἄλλοις δέκα,
Νερούας τὰ βασίλεια σκῆπτρα παραλαμβάνει,
χρηστὸς ἀνήρ, ἐπιεικής, κῆπος πολλῶν χαρίτων,
ὃς μυσαχθεὶς τὴν ἐκτομὴν τῶν ἀνδρικῶν κυλίνδρων B
οὐ συνεχώρει γίνεσθαι Ῥωμαίους ἐκτομίας,
ἀλλὰ καὶ τοὺς ἐκτέμνοντας ἀπήλαυνε κολάζων.
καὶ τοῖς ἐν τέλει συνεχῶς ἐδίδου γυμνὰ ξίφη,
τὸ μὲν δοκεῖν, ὡς βλέψαιεν εἰ τμητικὰ τὰ ξίφη,
τὸ δ' ἀληθές, μὴ δεδοικὼς ἂν παραυτίκα θάνῃ·
οὐδὲν γὰρ ἔλεγε κακὸν αὑτῷ συνεγνωκέναι.
Ἀλλὰ καὶ τοῦτον θάνατος ταχέως ἀφαρπάσας,
κρατήσαντα πρὸς τέσσαρσι μησὶ καὶ χρόνον ἕνα,
Τραϊανὸν κατέστησεν ἐν αὐτοκρατορίᾳ,
ἄνδρα στρατηγικώτατον, μυριονικηφόρον,
καρτερικόν, εὐκάρδιον, γενναῖον, μενεμάχον,
τὰς κρίσεις ἀρρεπέστατον ζυγὸν δικαιοσύνης. C
οὗτος Κελτῶν συνέκαμψε τοὺς ἀκαμπεῖς τραχήλους,
οὗτος ὁρμὰς ἀνέκοψε Πάρθων φιλοπολέμων.
τότε καὶ γὰρ εἰς πλατυσμὸν ἐληλακότες οὗτοι
πάντας κατενεμήσαντο τοὺς τῆς Ἀσίας ὅρους,
καὶ πάσης γῆς κατέδραμον κτείνοντες πυρπολοῦντες,
καὶ τὰς αὐλαίας ἔπηξαν ἕως Εὐφράτου ῥείθρων.
ταῦτα δὲ γνοὺς Τραϊανὸς ἄρτι τετολμημένα,

2133 ὁ *νέρβας* A 2139 *βλέψοιεν* R 2140 *θάνοι* R 2144 *τὸν τραϊανὸν* A 2146 *μονομάχον* MRR 2147 *τάς*] *εἰς* MR 2148 *Γετῶν* RR

rio 15 annis, Nerva sceptris potitus est, vir bonus, mitis, multarum gratiarum quasi quidam hortus. is cum vehementer odisset castrationes hominum, Romanis testes exscindi vetuit et exscindentes multatos in exsilium egit. saepenumero magistratibus enses nudos porrigebat, in speciem quidem ut explorarent eorum acumen, sed revera ut demonstraret nequaquam se formidare ne subito interficeretur, cum quidem diceret nullius se sibi facinoris esse conscium.

Ubi mors hunc quoque celeriter abripuisset post annum imperii primum et menses quattuor, Traianus eidem successit, vir rei militaris peritissimus, sexcentis potitus victoriis, fortis magnanimus generosus, duellis ausus cum hoste congredi, incorrupta in iudiciis statera iustitiae. hic cervices Celtarum, quae antea flecti non poterant, flexit: hic bellicosorum Parthorum impetus repressit, qui hoc tempore longe lateque diffusi universos Asiae fines populabantur, excurrebant undique, caedes perpetrabant, flammis absumebant omnia, castris ad ipsum Euphratem promotis. ea cum ab ipsis designata Traianus accepisset, quaeque foret

καὶ τῆς ὁρμῆς τῆς Παρθικῆς ἀναμαθὼν τὸ θράσος,
ἀπ᾽ ἄκρων γῆς εἰς ἄκρα γῆς ὀξέως μεταβαίνει,
καὶ συμπλακεὶς καὶ τὰς αὐτῶν ῥήξας φαλαγγαρχίας,
D *καὶ πεδιάδας τὰς ἐκεῖ δείξας σωματοστρώτους,*
τοῖς ὅροις κατηνάγκασεν ἐμμένειν τοῖς ἰδίοις,
καὶ Πάρθων τὰ σχοινίσματα συστείλας καὶ στενώσας
καλλίνικος ἀνέζευξε, τὴν νίκην ἑορτάζων.
οὗτος συνήλγει πάσχουσι, συνέκαμνε πονοῦσι,
τοῖς ξένοις ἐπεκάμπτετο, φίλους παρεμυθεῖτο,
ἀνεξικάκως ἔφερεν ἅπασαν λοιδορίαν,
δεῖν ἐξισοῦσθαι τῷ θεῷ λέγων τὸν βασιλέα
καὶ στόματος ἀνέχεσθαι λοιδόρου καὶ βλασφήμου.
παρούσης δὲ καὶ τῆς βουλῆς καὶ τῶν ἐν τέλει πάντων
ξίφος γυμνώσας δέδωκεν ἐπάρχῳ τῷ τῆς Ῥώμης,
"δέξαι τὸ ξίφος" ἐπειπών, "κἂν μὲν ἀδίκως ἄρχω,
P 45 *χρῆσαι τῷ ξίφει κατ᾽ ἐμοῦ, μὴ φείσῃ τῆς ζωῆς μου·*
εἰ δὲ νομίμως καὶ καλῶς καὶ μετ᾽ εὐθυδικίας,
ὑπὲρ ἐμοῦ γενέσθω σοι τὸ ξίφος ἐκδικοῦν με."
Ἀλλ᾽ οὗτος μὲν ἐξέλιπε πολλαῖς ἐμπρέψας νίκαις,
χρόνοις ἐννέα σὺν ἑπτὰ μησὶν ἡγεμονεύσας,
Ἀδριανῷ δὲ τῷ γαμβρῷ κατέλιπε τὸ κράτος.
οὗτος ταῖς βίβλοις ἔχαιρε καὶ λόγοις ἐνετρύφα,

2156 *ὀξέως*] *ὀτρύζει* M 2161 *ἀνέταξε* M 2162 *νοσοῦσι* ARR 2169 *κἂν μὴ νομίμως* AR 2174 *πρὸς* RR 2176 *τοῖς λόγοις ἔχαιρε καὶ βίβλοις* R

impetus Parthici audacia cognovisset, ab extremis terrae finibus ad extremitates eis oppositas celeriter sese contulit, manum cum hoste conseruit, phalanges adversas perrupit, planities eorum locorum cadaveribus constravit, Parthos intra limites suos manere coëgit, eisque non parum artatis ad triumphum parta insigni victoria domum reversus est. sic a natura comparatus erat ut afflictis condoleret, aegrotantium miseriis afficeretur, in extraneos benignus esset, amicos solaretur, toleranter quaevis convicia ferret, cum quidem diceret imperatorem deo similem esse debere atque oris maledici petulantiam commode perpeti. gladium evaginatum in senatus et magistratuum praesentia Romanae urbis praefecto cum verbis huiusmodi tradidit "accipe gladium hunc, et si quidem iniuste me in imperio gessero, contra me ipsum illo utere nec vitae meae parcito: sin legitime, recte iusteque imperavero, pro defensione mei traditum tibi putato."

Mortuus est Traianus multis ornatus victoriis, cum imperio per annos novem et septem menses praefuisset, Adriano genero successore designato. delectabatur ille libris, ac voluptatem ex doctrinarum studiis

καὶ πάντας οὓς ἐγίνωσκε θεραπευτὰς τοῦ λόγου
μεγαλοδώροις δωρεαῖς συχνῶς ἐδεξιοῦτο.
ἄνδρας δ' ἐπήγετο σοφοὺς αὐτῷ συνεπομένους
ἐν στρατοπέδοις, ἐν σχολαῖς, ἐν πάσαις ἐκδημίαις,
καὶ πᾶσαν γῆν ἐπίανεν ἀφθόνοις χορηγίαις.
πᾶσιν οὖν ἦν τρισέραστος, καὶ βουλευταῖς καὶ δήμῳ.
οὗτος τοὺς κακογνώμονας Ἑβραίους ἀποστάντας B
καὶ ζεύγλην ἐκλακτίσαντας Ῥωμαϊκῆς ἰσχύος
ἐπιστρατεύσας κατ' αὐτῶν ἀπώλεσεν εἰς τέλος,
λιμῷ καὶ ξίφει καὶ πυρὶ πάντας ἐκτρίψας ἄρδην.
καὶ πόλιν Ἱερουσαλὴμ ἐκ βάθρων ἀνασκάψας
Αἰλίαν μετωνόμασεν ὡς δυστυχῆ καὶ τοῦτο.
ἀλλὰ μεταπιπτέτω μοι πρὸς ἄλλους τὰ τοῦ λόγου.
Ὑδέρῳ καταλύσαντος Ἀδριανοῦ τὸν βίον,
εἴκοσι πρὸς τοῖς τέσσαρσι χρόνοις βασιλευκότος,
εἰς Ἀντωνῖνον μετ' αὐτὸν τὸ σκῆπτρον μεταβαίνει,
ὃς εὐσεβὴς ὠνόμαστο διὰ χρηστοτροπίαν,
τὰ σκῆπτρα διιθύνας τε ἐν ἔτεσι δὶς δέκα
πρὸς ἄλλοις δύο τῆς ζωῆς θανὼν ἀποστερεῖται. C
καὶ μετ' αὐτὸν ἐκράτησεν ὁ Μάρκος Ἀντωνῖνος.
οὗτος ἐν πάσῃ τέθραπτο σοφίᾳ καὶ παιδείᾳ,
καὶ χάρισι τῶν ἀρετῶν κατάκομος ὑπῆρχε,
καὶ πάσαις κατηγλάϊστο τῶν ἀρετῶν ἰδέαις·
διὸ καὶ προσεφέρετο πᾶσι σοφοῖς ἐντίμως,

2178 μεγαλοδώρως A   αὐτοὺς R   2183 κακοδαίμονας A   2186 ξίφει] ψύχει R   2191 κεκρατηκότος?   v. 2193 post 2195 AM   2197 παιδεύσει M

percipiebat, et quoscunque literatos esse cognovisset, magnificis muneribus saepenumero donabat. habebat etiam in comitatu suo viros doctos secum, tam in castris quam in otio et itineribus. eodem modo erga quosvis alios munificentiam exercebat. quapropter universo senatui et plebi carus erat. vesanos Hebraeos, qui defecerant et imperii Romani iugum excusserant, cum copiis adversus eos profectus ad internecionem cecidit, et cunctis fame gladio igne funditus deletis urbem Hierosolymam de fundamentis eversam deinceps Aeliam nuncupavit. sed enim ad alios oratio transeat.

Posteaquam Adrianus ex aqua intercute fuisset extinctus, anno imperii quarto et vigesimo, Antonino illud delatum est, cognomento Pio propter morum probitatem et indolis mansuetudinem. is cum annis 22 imperium administrasset, naturae debitum persolvit. successit M. Antoninus, qui educatus erat in omni liberali doctrina et sapientia, virtutum laudibus, et quidem omnigenarum, ornatus. quam ob causam quosvis sapientes ac doctos viros honorifice tractabat magnificisque muneribus af-

καὶ συνεχέσιν ἤρδευε ταῖς μεγαλοδωρίαις.
τοῦτόν φασιν οἱ παλαιὰν γράψαντες ἱστορίαν,
ἐπιτρεχόντων πολλαχοῦ μυρίων πολεμίων
καὶ πᾶσαν τὴν Ῥωμαϊκὴν πορθούντων καὶ κειρόντων,
χρημάτων ἀπορούμενον, σφιγγόμενον ἐνδείᾳ
καὶ μηδαμόθεν ἔχοντα στρατὸν ἀντεφοπλίσαι,
D *τὸν κόσμον τὸν βασίλειον ἐν ἀγορᾷ προθεῖναι,*
ἔπιπλον πᾶν χρυσοϋφές, περιπορφύρους κάνδυς
καὶ στέφη καταμάργαρα καὶ κλίνας λιθοστρώτους
αὐτήν τε πᾶσαν τὴν λαμπρὰν στολὴν τῆς βασιλείας,
καὶ πάντα τὸν βουλόμενον κηρῦξαι δημοσίᾳ
ὠνεῖσθαι τὰ προκείμενα μηδέν τι δειλιῶντα.
ὠνοῦντο μὲν οἱ θέλοντες, καὶ χρήματα συνῆκτο·
ὁ βασιλεὺς δὲ τῷ στρατῷ σκορπίσας τὸ χρυσίον
ἀντεπεξῆλθε τοῖς ἐχθροῖς, καὶ μάχην συγκροτήσας
κατὰ πολλὴν εὐχέρειαν τῶν δυσμενῶν ἐκράτει,
καὶ τρέψας πάντας εἰς φυγὴν καὶ κτείνας καὶ σκυλεύσας
P 46 *ὅλους ἐκεῖθεν θησαυροὺς ἐκτήσατο χρημάτων,*
καὶ πάλιν χρήματα προθεὶς τῆς ἀγορᾶς ἐν μέσῳ
ἐκήρυσσε τὸν θέλοντα λαμβάνειν τὸ χρυσίον
καὶ τὸ κτηθέν, εἰ βούλοιτο, πάλιν ἀποδιδόναι.
οὗτος καὶ Λεύκιον γαμβρὸν τὸν σὺν αὐτῷ κρατοῦντα
ἐκπέμπει πολεμήσοντα Πάρθοις τοῖς φιλομάχοις,

2202 παλαιοὶ R 2204 γῆν M κειρ.] κρατούντων AM 2208 κόσμους M 2209 στέφος καταμάργαρον R 2210 βασιλίδος M 2220 μέλλοντα M

ficiebat. prodiderunt de hoc memoriae scriptores historiarum prisci, variis bellis undique ingruentibus omnemque dicionem Romanam vastantibus eum pecuniae laborantem inopia, cum nullo pacto armare posset exercitum, ornatum imperatorium in foro vaenum exposuisse, nimirum supellectilem ex auro solido textam, amictus purpureis fimbriis redimitos, coronam unionibus ornatam, lectulos gemmis hinc inde distinctos, ipsam denique stolam imperatoriam splendidissimam: simul per publicum praeconem significasse licere cuivis haec vaenum exposita citra metum omnem periculi coëmere. hoc modo factum ut emerent ea qui vellent, pecuniamque conflatam fuisse. quam ubi distribuisset in milites, mox imperatorem copias in hostem movisse, et manu conserta citra negotium victoria potitum esse, adeoque coniectis in fugam omnibus, necatis, spoliatis, integros pecuniarum thesauros consecutum. has ubi rursus in forum rettulisset, indicari per praeconem iussisse ut qui vellet, auro recepto, quidquid prius imperatoria de supellectile coëmisset, si quidem ita placeret, restitueret. idem Lucium generum suum, imperii consortem, ad-

τῶν Παρθυαίων ἄρχοντος τότε τοῦ Βολογέσου.
ἦν δὲ καλὸς ὁ Λεύκιος τὸ σῶμα καὶ τὴν γνώμην,
εὐμήκης, εὔοπτος, ἡδύς, ξανθόκομος, ῥοδόχρους·
ὃς καὶ συμμίξας τοῖς ἐχθροῖς ὑπερωφρυωμένοις
ἐπί τε πλήθει καὶ στρατῷ καὶ φαρετροφορίᾳ,
τέλος κατηγωνίσατο τὸ τοξοφόρον ἔθνος.
Ἀλλὰ γὰρ ὧδε γεγονὼς τοῦ δρόμου καὶ τοῦ λόγου B
θαυμάζω τὸ παλίντοκον τοῦ τῶν ἀνθρώπων γένους,
καὶ πῶς οὐκ ἐξεικάζονται παῖδες τοῖς σφῶν πατράσιν.
ἀεὶ μὲν λεοντόθυμον σκυμνὸν ὁ λέων τίκτει
καὶ πάρδαλις ταυτόθυμον καὶ τίγρις αὐτοτίγριν·
παρὰ δ' ἀνθρώποις ἄνισοι παῖδες πρὸς τοὺς τοκέας.
καὶ δῆλον ὡς προαίρεσις τούτων ἡ παραιτία.
πρὸς τί μοι ταῦτα λέλεκται, καὶ τίς σκοπὸς τῷ λόγῳ;
ὁ Μάρκος μὲν τοῖς φυσικοῖς ὑπέκυψε νομίμοις
καὶ τὴν πηλὸν ἀπέδωκε τῇ δανεισάσῃ φύσει
δέκα κρατήσας ἔτεσι σὺν τοῖς λοιποῖς ἐννέα·
υἱὸς δ' ἐκείνου Κόμοδος παρῆλθεν εἰς τὸ κράτος,
μεῖραξ πατρῴζων κατ' οὐδέν, μηδ' ἐμφερές τι φέρων C
τῷ Μάρκῳ τῷ γεννήσαντι καὶ τῷ πεπαιδευκότι.
μίμοις γὰρ ἔχαιρεν ἀεὶ καὶ μονομάχων θέαις
καὶ γυναιξὶ καὶ φαυλουργοῖς ἀνδράσι καὶ μεθύσοις,
καὶ ξίφος εἶχεν ἐνεργὸν κρεανομοῦν καὶ θῦον

2224 *Βολογαίσου* A, *Βελεγαίσου* R 2233 *τρέφει* AR 2237 *καὶ τίς*] *τίς μοι* R 2239 *τὸν* M v. 2240 om. RR. eum vulgo post 2242 ponunt. 2244 *θέᾳ* A 2246 *ἐνεργῶν* AM, *ἐνεργοῦν* R

versus bellicosos pugnacesque Parthos misit, quorum id temporis rex erat Vologesus. praestabat autem Lucius tam animi quam corporis dotibus, vir procerus, facie pulchra, suavis, coma flava colore roseo. cumque pugnam cum hostibus conseruisset, qui ob copiarum multitudinem pharetrasque suas nimium quantum ferociebant, arte nationem arcus gestantem vicit ac debellavit.

Quia vero ad hunc locum orationis et instituti nostri pervenimus, generis humani vicissitudinem admirari subit, qui nimirum fiat ut filii parentibus suis similes non evadant. etenim leo semper catulum gignit, qui leonino sit animo praeditus; pardalis item sibi similem animo feram, tigris ipsissimam procreat tigridem: at hominibus liberi parentibus dissimiles nascuntur; quam rem ab electione voluntatis oriri manifestum est. at enim quo nobis haec dicta sunt? quemve sunt ad scopum relata? nimirum Marcus imperator naturae se legibus submisit lutumque naturae restituit, a qua mutuum acceperat, cum imperio 19 annis praefuisset. eius autem in locum filius Commodus successit, adolescens nulla in parte

τοὺς δυνατοὺς καὶ προύχοντας καὶ τοὺς εὐπορωτέρους.
ὅθεν καὶ τέλος εὕρατο κατάξιον τοῦ βίου·
φαρμάκοις γὰρ ἀπέρρηξε ψυχὴν τὴν μιαιφόνον
καὶ τὴν ζωὴν κατέστρεψεν ἀώρως καὶ πρὸ χρόνου,
δὶς ἓξ κρατήσας ἔτεσι τοῦ βασιλείου κράτους.
D Ῥωμαίων δ᾽ ἦρξε μετ᾽ αὐτὸν Περτίναξ ὁ τριγέρων,
ὃς μηδὲ φθάσας ἀγαγεῖν εἰς βασιλείους δόμους
τοὺς παῖδας ἢ τὴν γαμετὴν ἀνόμως ἀνῃρέθη.
Ἦν δέ τις Ἰουλιανὸς Δίδιος κεκλημένος·
οὗτος, ὡς λόγος, ὤνιον ἐκτήσατο τὸ στέφος,
τοὺς ταγματάρχας τοῦ στρατοῦ χρήμασιν ὑποφθείρας.
ἀλλὰ γὰρ οὐκ ἀπώνατο τῆς βασιλείου τύχης,
Σεβήρου δὲ τοῦ Λίβυος ἐπαναστάντος τούτῳ
μαχαίρας ἔργον γίνεται καὶ κακιγκάκως θνήσκει,
μηδὲ γευσάμενος σχεδὸν τοῦ μέλιτος τοῦ κράτους,
δύο καὶ μόνοις ἐντυχὼν μησὶ τῆς βασιλείας.
ἡ δὲ πολύζηλος αὐτὸν ἀπολιποῦσα τύχη
Σεβήρῳ προσεγέλασε καὶ χαροπὸν ἐνεῖδε.
P 47 Τοῦτον ἀκούω δείμασθαι λουτρὸν τὸ τοῦ Ζευξίππου,
τὸ μέγα καὶ περίπυστον τῆς Βυζαντίδος θαῦμα,
καὶ τοῦτο δὴ τὸ θέατρον τὸ τῆς ψυχαγωγίας,

2251 τῆς βασιλείας κράτος RR 2259 γὰρ RR 2260 κακὴν κακῶς M, παραυτίκα A v. 2262 om. RR, post 2256 ponunt AM

patrissans, nec quidquam habens simile Marco patri, a quo procreatus et institutus fuerat. quippe mimis semper delectabatur et gladiatorum spectaculis et mulierculis et viris nefaria perpetrantibus ac temulentis. caedibus etiam sese polluebat, homines potentes illustres et opulentos gladio perimens. quapropter exitum illa dignum vita reperit. nam haustis venenis inquinatam caedibus animam efflavit, ac vivendi finem ante tempus fecit, cum imperio 12 annis potitus fuisset.

Praefuit autem Romanis post ipsum maxima gravis senecta Pertinax, qui cum necdum in palatium suos liberos et uxorem deduxisset, nefarie fuit interemptus.

Erat dum Didius quidam Iulianus, quem pretio mercatum esse coronam imperialem, ducibus copiarum largitione corruptis, perhibent. sed fortunae regiae fructum nullum tulit: quippe Severo Afro seditionem adversus ipsum concitante gladio necatus est et malus male periit, cum mel imperii propemodum non degustasset. hoc modo fortuna invidiosa Iuliano deserto Severo arrisit, eumque vultu hilari respexit.

Hunc audio balneum Zeuxippi condidisse magnum illud et celeberrimum Byzantinae urbis miraculum, itemque plenum illud admirandae voluptatis ac delectationis opus, quod totis oppidis et nationibus recrean-

τὸ πόλεις ὅλας ἱκανὸν στέγειν καὶ γεναρχίας,
ἐν ᾧ πρὸς τέρψιν θέουσιν ἁμιλλητῆρες ἵπποι.
Ὁ δὲ Σεβῆρος ἱκανῶς ἐπιβιοὺς τῷ κράτει,
καὶ δέκα ὅλοις ἔτεσι προσδιαρκέσας τούτῳ
σὺν ἄλλοις ἓξ πρὸς τῷ ἑνί, νόσῳ δεινῇ ἐμπίπτει,
καὶ μέλλων θνήσκειν τοῖς παισὶ τὰ σκῆπτρα καταλείπει,
ὧν ὁ μὲν πρῶτος ἔλαχε τὴν Ἀντωνίνου κλῆσιν,
ὃν ἔλεγον Καράκαλλον, ὁ μετ' αὐτὸν δὲ Γέτας
ἀρχῆθεν κατωνόμαστο πρὸς τῶν γεγεννηκότων.
οὗτοι δ' εἰς ἓξ κρατήσαντες τῆς βασιλείας ἔτη B
καὶ μῆνας δύο τῆς ἀρχῆς καὶ τῆς ζωῆς στεροῦνται.
Τῶν σκήπτρων τοίνυν ὁ πεττὸς συχνάκις μεταπίπτων
σὺν ἄλλοις ἐχαρίσατο τὴν αὐτοκρατορίαν
καὶ τῷ Διοκλητιανῷ τῷ παρανομωτάτῳ,
ὃς προσεταιρισάμενος τὸν ταυτογνωμονοῦντα
Μαξιμιανὸν Ἑρκούλιον, τοῦ Σατανᾶ τὸν παῖδα,
τοῦ κράτους ἔσχε κοινωνόν. τῆς ἀνοχῆς σου, λόγε!
καὶ συνδραμόντων εἰς ταὐτὸ δύο κακῶν μεγάλων,
ποῖον δεινὸν οὐχὶ παρῆν, ποῖον δ' οὐκ ἐτολμᾶτο!
σφαγαὶ καὶ πόνοι πανταχοῦ, καὶ λιμνασμὸς αἱμάτων.
καὶ τὸ ζοφῶδες τῆς εἱρκτῆς εἶχε πολλοὺς ἐμφρούρους, C
καὶ μᾶλλον τοὺς ἀπὸ Χριστοῦ τὴν κλῆσιν ἐσχηκότας·
πνεύσαντες γὰρ σφοδρότερον ἀνέμων βαρυθρόων

2268 τὰς M στέργειν M 2271 ἔτεσιν ἐνδιακέρσας RR 2272 προσπίπτει RR 2274 Ἀντωνῖνος ARR 2276 τοῦ γεγεννηκότος ARR vv. 2276—7 om RR. in priore AM ἐκράτησαν. 2282 αὐτογνωμονοῦντα MR 2286 δ' om R 2287 λιμνασμοὶ M

dis sufficit; in quo scilicet equi certantes inter sese delectationis humanae decurrunt.

Ceterum Severus ubi satis vixisset in imperio, totosque in eo 17 annos exegisset, gravi oppressus morbo vitam cum morte commutavit. moriturus filiis suis sceptra reliquit, quorum natu maior Antonini nomen habebat, cognomentum Caracallae: alteri Getae nomen parentes indiderant. praefuerunt annos omnino sex et menses duos.

Cum autem alea imperii saepius ab uno ad alterum se convertisset, praeter alios Diocletiano quoque, viro sceleratissimo, summam potestatem tribuit. is adiuncto sibi Maximiano Herculio, Satanae filio, qui eadem erat cum ipso in sententia, consortem imperii fecit. o patientiam tuam, fili dei sermo. cum duo magna mala simul concurrerent, quid calamitatis non aderat? quid non designabatur? ubique caedes mactationes, sanguinis effusiones stagnorum in modum: obscuris in carceribus multi custodiebantur, praesertim a Christo denominati. quippe ventum

τῆς εὐσεβείας τὸ φυτὸν ἀρτίφυτον ὑπάρχον
ἐφιλονείκουν ἐκ ῥιζῶν πρεμνόθεν ἀνασπάσαι
ὡς κλάδον νεομόσχευτον, ὡς ἁπαλὸν δενδρίον.
ἐντεῦθεν στρέβλαι καὶ δεσμά, κατάθυσις ἀνθρώπων,
καὶ σάρκες μελιζόμεναι καθάπερ ἐν μακέλλῳ.
ἀλλὰ θυμομαχήσαντες ἀλόγιστα πρὸς τοῦτο,
καὶ μάτην ὑλακτήσαντες ὡς κύνες λυσσητῆρες,
ὄνομα δὲ τὸ τοῦ Χριστοῦ σβέσαι μὴ δυνηθέντες,
μανέντες οἱ τρισάθλιοι ῥιπτοῦσι μὲν τὸ στέφος,
εἰς τύχην δὲ κατάγουσιν αὐτοὺς ταπεινοτέραν,
καὶ κήπων ἐπιμεληταὶ καὶ φυτευταὶ δενδρέων
D *καὶ φυτοσκάφοι γίνονται, καὶ λαχανοκομοῦσιν.*
ἀναλαβέσθαι πάλιν δὲ θελήσαντες τὸ κράτος
καὶ τοῦ σκοποῦ διήμαρτον καὶ τοῦ καταθυμίου,
καὶ τὰς ψυχὰς ἀπέρρηξαν θανάτοις βαρυτάτοις,
τῆς βασιλείας ἄρξαντες εἴκοσι δύο ἔτη.
Οὗτοι λαμβάνουσι γαμβροὺς αὐτῶν ταῖς θυγατράσιν,
ἀναγορεύσαντες αὐτοὺς Καίσαρας οἷα τέκνα,
ὁ πρῶτος μὲν Γαλλέριον ἐπὶ τῇ Βαλερίᾳ,
Μαξιμιανὸς δὲ Κώνσταντα τὸν τοῦ Κλαυδίου παῖδα
τοῦ πρὸ μικροῦ τὸ τῆς ἀρχῆς ἀνεζωσμένου κράτος.
εἶχε δ' ὁ Κώνστας γαμετὴν Ἑλένην τὴν ὀλβίαν,
ἐξ ἧς ὁ μέγας νικητὴς προῆλθε Κωνσταντῖνος·

2292 **πρυμνόθεν** AMR 2300 **κατάγοντες** M v. 2306 om R **χρόνους εἴκοσι δύο** AM

quemvis gravissimum spirando superantes plantulam pietatis adhuc recentem radicitus evellere singulari studio conabantur, veluti ramum quendam non ita pridem insertum arboremve tenellam. hinc tormenta vincula mactationes hominum: hinc carnes membratim discerpebantur, tanquam in macello fieri consuevit. enimvero posteaquam ex animi lubitu satis hac in parte bruto impetu decertassent, frustraque cuncta furiosorum in morem latrassent, nec tamen Christi nomen abolere potuissent, ad insaniam redacti miserrimi homines abiecta corona semet ad fortunam et condicionem humiliorem demittunt, adeoque curatores hortorum, arborum plantatores, fossores stirpium olerumque nutritores fiunt. at ubi recuperare vellent imperium, gravissimo caedium genere vitam amiserunt.

Generos sibi delegerant, quibus filiae nuberent, eosque tanquam natos ex se filios Caesares designarant, primus quidem Galerium, Valeriae filiae maritum, alter vero, nimirum Maximianus, Constantem Claudii filium, qui non ita pridem imperaverat. habebat iam tum Constans Helenam uxorem, feminam beatissimam, e qua magnus ille triumphator

ἀλλὰ γὰρ δυσωπούμενος τὸ κῆδος τοῦ τυράννου P 48
αὐτὴν ἀποβαλλόμενος μίγνυται Θεοδώρᾳ,
Μαξιμιανοῦ τῇ θυγατρί, καὶ παῖδας ἀποτίκτει,
μεθ' ὧν καὶ τὸν Κωνστάντιον τοῦ Γάλλου τὸν πατέρα
καὶ τοῦ παρανομήσαντος καὶ δεδυσσεβηκότος
Ἰουλιανοῦ τοῦ μυσαροῦ καὶ καταρατοτάτου.
Ὁ Κωνσταντῖνος τοιγαροῦν τοῦ Κώνσταντος τὸ λάχος
ὡς πατρικὸν παραλαβών, καὶ βλέπων τὰ Ῥωμαίων
κακῶς περιστροβούμενα ζάλαις ἀλλεπαλλήλοις
ὡς τῆς ἀρχῆς εἰς πλείονας ἀρχὰς διῃρημένης
(ἦρχε καὶ γὰρ Μαξέντιος, καὶ μετ' αὐτοῦ Σεβῆρος,
καὶ Μαξιμῖνος σὺν αὐτῷ μετὰ τοῦ Γαλλερίου),
ἐγείρει μάχας κατ' αὐτῶν, κατατροποῦται πάντας, B
καὶ βασιλεὺς καθίσταται καὶ κράτωρ μονοκράτωρ,
καὶ θρέμμα γίνεται Χριστοῦ σεπτῆς ἀγελαρχίας,
πρῶτος ἀνάκτων τῷ Χριστῷ προσκολληθεὶς γνησίως.
οὗτος καθεῖλε τοὺς βωμούς, ἔκλεισε τὰ τεμένη
ἐν οἷς προσῆγον Ἕλληνες δαίμοσι τὰς θυσίας,
καὶ τῶν αἰσχρῶν ἐναγισμῶν καὶ ῥυπαρῶν ὀργίων
σχολὴν κατεψηφίσατο καὶ πάσης βδελυρίας.
καὶ γέγονε περίτρανος σάλπιγξ ἀργυροσάλπιγξ,
ἀπ' ἄκρων γῆς εἰς ἄκρα γῆς ἠχοῦσα καὶ βοῶσα,
καὶ πανταχῇ σαλπίζουσα τὴν εἰς τὸν κτίστην πίστιν.
πόλεως δὲ βουλόμενος δομήτωρ χρηματίσαι

2314 κῦδος vulgo   2324 αὐτὸν ARR   2325 μετ' αὐτὸν μ. A
2326 μάχην MR   2336 πανταχοῦ R   2337 χρηματίζειν A

Constantinus genitus fuit: verum tyranni gloriam reveritus, ea repudiata, Theodorae coniugium amplexus est, Maximiani filiae, de qua liberos etiam procreavit, quorum in numero fuit Constantius Galli pater itemque Iuliani praevaricatoris impii maximeque exsecrandi.

Secundum haec Constantinus eam imperii partem, quae Constanti sorte obvenerat, veluti paterno iure debitam consecutus, cum res Romanas misere cerneret continentibus agitari fluctibus, imperio multos in principatus diviso (nam una praeerant ei Maxentius, Severus, Maximinus, Galerius), bellum in eos movet, deque cunctis victoria potitus solus imperatoriam potestatem adipiscitur: simul venerandi gregis Christi fit ovicula, primus imperatorum Christo vere agglutinatus. hic et aras evertit et delubra clausit, in quibus ethnici malis geniis hostias offerebant; itemque promulgatis legibus turpes lustrationes, orgia foeda, cunctas abominationes denique cessare iussit. hoc modo factus est velut argentea quaedam tuba, quae clare ab extremis terrae partibus ad alias extremitates sonuit, ac fidem in creatorem clangore cunctis in locis pro-

C τὴν τῶν τυφλῶν κατέλαβε Χαλκηδονίων πόλιν.
καὶ κτίζειν ἀπαρξάμενος πρᾶγμα κατεῖδε ξένον·
καὶ γὰρ μεγαλοπτέρυγες ὄρνιθες ἐπιπτάντες
τοὺς λίθους ἁρπάσαντες μετήνεγκαν ἐκεῖθε
ἐπὶ τὴν πόλιν Βύζαντος τὴν περικαλλεστάτην.
ὁ τοίνυν θεοφρούρητος αὐτάναξ Κωνσταντῖνος
οὐκ ἀπὸ τύχης ἐγνωκὼς, ἀλλ' οὐδ' ἐκ ταὐτομάτου
συμβῆναι τὸ γενόμενον τοῦτο περὶ τοὺς λίθους,
ἐκεῖθεν μεταθέμενος στρέφει τὴν γνώμην ὅλην
ἐπὶ τὴν πανευδαίμονα πόλιν τῶν Βυζαντίων,
καὶ πόλιν ὀλβιόπολιν αὐτῇ προσανεγείρει,
πόλιν τὴν μεγαλόπολιν, πόλιν τὴν νέαν Ῥώμην,
Ῥώμην τὴν ἀρρυτίδωτον, τὴν μήποτε γηρῶσαν,
D Ῥώμην ἀεὶ νεάζουσαν, ἀεὶ καινιζομένην,
Ῥώμην ἀφ' ἧς προχέονται χαρίτων αἱ συρμάδες,
ἣν ἤπειρος προσπτύσσεται, θάλασσα δεξιοῦται,
ἠπίως ἀγκαλίζονται παλάμαι τῆς Εὐρώπης,
ἀντιφιλεῖ δ' ἑτέρωθεν τὸ τῆς Ἀσίας στόμα.
Ἀλλὰ τὰ μὲν αὐχήματα ταύτης τῆς βασιλίδος
ἑτέρου λόγου καὶ καιροῦ καταριθμεῖν καὶ γράφειν·
ἐπὶ δὲ τὴν διήγησιν πάλιν ἐπανιτέον.
ὁ γάρ τοι γαληνότατος καὶ μέγας Κωνσταντῖνος
ἔτεσι μὲν ἐκράτησε δέκα σὺν ἄλλοις δύο

2339 καταρξάμενος M 2340 ἐπιστάντες R 2341 ἀφαρπάζοντες A κατήνεγκαν R 2342 περικλεεστάτην R 2343 θεοφόρητος M 2345 γινόμενον M 2359 ὡς γὰρ ὁ γ. AR

pagavit. cum autem urbem condere vellet, caecorum Chalcedonensium civitatem exstruendam statuit; quod opus ubi coepisset inchoare, novum quoddam prodigium vidit. nam magnis alis praeditae volucres cum advolassent, abreptos lapides inde pulcherrimam ad urbem Byzantinam deportarunt. quapropter Constantinus imperator, qui divinitus gubernaretur ac regeretur, animadverso rem hanc quae acciderat non fortuito nec casu evenisse, averso inde animo totum consilium mutat, seque ad opulentum Byzantiorum oppidum confert, e quo beatissimam et fortunatam urbem excitat, urbem inquam magnam, Romam novam, Romam carentem rugis, nunquam senescentem, sed perpetuo iuvenescentem seque renovantem, Romam illam denique de qua gratiarum rivi profluunt; quam terra continens amplectitur, et mare vicissim excipit; quam iucunde ornant Europae manus, et ab altera parte os Asiae deosculatur.

Enimvero laudes, quibus haec urbs imperatrix sese iactat, alterius loci et temporis fuerit enumerare: nunc ad institutam mihi narrationem revertendum erit. cum ergo serenissimus ille Constantinus pulverem corporis depositurus ac tabernaculi figulinum vas terrae, quae mutuum

τῆς πρεσβυτέρας Ῥώμης καὶ δὶς δέκα Βυζαντίδος·
ὡς δ᾽ ἔμελλεν ὡς ἄνθρωπος ἐκ γῆς γεγεννημένος P 49
τὸν χοῦν ἀποφορτίζεσθαι καὶ τῷ πηλῷ διδόναι
τὴν δανεισθεῖσαν παρ᾽ αὐτῆς τοῦ σκήνους κεραμείαν,
Κωνστάντιον τὸν δεύτερον υἱὸν ἀναγορεύει
πάσης ἑῴας κράτορα, τοῖς δὲ παισὶ τοῖς ἄλλοις
(ἦσαν δ᾽ αὐτοῖς ὀνόματα Κώνστας καὶ Κωνσταντῖνος)
χειρίζει τὰ προσέσπερα καὶ Ῥώμην καὶ Γαλλίας.
ἀλλ᾽ οὗτοι μὲν ἀπέσβησαν τάχιον καὶ πρὸ χρόνου,
πόλεμον φεῦ εἰς ἔμφυλον ἀλλήλοις καταστάντες
καὶ τὰς ἀλλήλων θέλοντες ἁρπάσαι κρατορίας·
εἰς μόνον δὲ Κωνστάντιον τὸ πᾶν μετέβη κράτος,
ὃς τὰ μὲν πρῶτα Καίσαρα τετίμηκε τὸν Γάλλον,
τὸν αὐτανεψιὸν αὐτοῦ, τὸν Κωνσταντίου παῖδα,
βασιλειῶντα δὲ μαθὼν καὶ τυραννεῖν ὁρμῶντα B
καὶ πάντα μηχανώμενον ὥστε τυχεῖν τοῦ πόθου
τὴν κεφαλὴν ἀφείλετο, πᾶσαν ὁρμὴν προφθάσας.
τὸν ἀδελφὸν τοῦ Γάλλου δέ, τὸν χοῖρον τὸν δυσώδη,
Ἰουλιανὸν τῷ Καίσαρος ἐκόσμησε στεφάνῳ·
ἐφ᾽ οἷς ἀστεϊζόμενος δῆθεν ὁ παραβάτης,
καὶ τὴν ἐσθῆτα τὴν αὐτοῦ δεικνὺς τὴν ἐκ πορφύρας,
ἐκεῖνο τὸ θρυλούμενον ἐπίλεγε τοῖς πέλας
"πορφύρεός τε θάνατος κατέλαβε καὶ μοῖρα,"
ὡς ἐν χλαμύδι πορφυρᾷ καὶ Γάλλου τεθνηκότος.

2363 τῷ M vv. 2363—4 post v. 2359 ponunt AMR, addito post v. 2362 hoc: εἰς τὴν αὐτὴν εἰςδράμοι δὲ τὴν πάντας ἐκδαμάζων. 2368 χαρίζει RR 2369 κατέβησαν M 2371 ἁρπάζειν ARR 2383 ab Homero, Il. 5 83. pro τε malim με.

dederat, redditurus esset, postquam regnasset annos 12, alterum ex filiis Constantinum totius Orientis imperatorem designat, reliquis duobus, quorum erant nomina Constans et Constantinus, Romam Gallias ceterasque versus Occidentem sitas provincias tradit. atque hi quidem ante tempus decessere, bello civili contra se invicem excitato, cum alter imperium alterius rapere conaretur: ad solum autem Constantinum universa potestas devenit. is primo Caesaris dignitatem Gallo concessit, patrueli suo, Constantis filio. verum ubi comperisset hunc regnum affectare, ad tyrannidem proruere, nihil non moliri quo voti compos fieret, omni conatu eius antoverso caput ei praecidi curavit. deinde Galli fratrem, porcum illum foetidum, Iulianum corona Caesarea cohonestavit. quo factum est ut desertor ille fidei urbanum quiddam proferre volens, purpurea veste sua commonstrata, tritum illud vulgo verbum ad stantes enuntiaret, "purpurea mors et fatum occupavit," significare volens Gallum etiam in

μετὰ μικρὸν δ' ἀποστατεῖ θεοῦ καὶ βασιλέως,
ἐξόμνυται τὸν σεβασμὸν ὃν εἶχεν εἰς τὸν κτίστην,
καὶ προσκολλᾶται δαίμοσι τοῖς τρισαλιτηρίοις,
C *αἵμασιν ἀποπλύνει δὲ φεῦ τὸ λουτρὸν τὸ θεῖον,*
ὅπλα κινεῖ καὶ πόλεμον κατὰ τοῦ σεσωκότος,
καὶ περιτίθησιν αὐτῷ τὴν αὐτοκρατορίαν.
ὅπερ μαθὼν Κωνστάντιος, καὶ τῷ θυμῷ χαχλάσας,
νόσῳ πιέζεται δεινῇ, καὶ μετ' ὀλίγον θνήσκει,
κατάρξας τὸ βασίλειον εἴκοσι κράτος ἔτη,
ταῦτα τὰ τρία πονηρὰ τὰ παρ' αὐτοῦ πραχθέντα
ἀνακλαιόμενος πικρῶς καὶ φέρων ἐπὶ γλώττης,
τοῦ Γάλλου τὴν ἀναίρεσιν ἀδίκως γεγονυῖαν,
πίστεως τὴν παρατροπὴν καὶ τὴν καινοτομίαν,
καὶ τὴν ἀνάρρησιν αὐτοῦ τοῦ θεομισεστάτου.
Ἀλλὰ γὰρ οὐκ ἐνύσταξεν ἐπὶ μακρὸν ἡ δίκη,
D *οὐδ' ὁ παντόπτης ὀφθαλμὸς ἐκάμμυσεν εἰς πλέον,*
ἀλλ' ἤγειρε τὸ βλέφαρον, εἶδε τὸν ἀποστάτην,
κατεῖδε τοὺς ἐναγισμοὺς καὶ τὰς ζωοσφαγίας,
τοὺς τῶν αἱμάτων ποταμούς, τὰς ἀνθρωποκτονίας,
καὶ πᾶν αἰσχρὸν καὶ μυσαρὸν καὶ πλῆρες δυσσεβείας
τὸ παρ' αὐτοῦ τελούμενον, καὶ μυσαχθεὶς τὴν λύσσαν
τοῖς Πέρσαις παραδέδωκεν ὡς λέουσιν ἀγρίοις
τὸν χοῖρον τὸν πηλόφυρτον πικρῶς διασπαράξαι.

2386 *ἔσχεν* M *πρὸς* R 2395 *δεινῶς καὶ γλώσσης ἐπιφέρων* R 2396 *τοῦ γένους* AR *ἀνάρρησιν* A *ἀτίμως* M 2406 *παραδίδωσιν* R

veste purpurea extinctum fuisse. non autem multo post tam a deo quam imperatore deficit: eiurat religionem et cultum, quo creatorem suum affecerat; sceleratissimis se geniis agglutinat; sanguine (proh impium facinus!) lavacrum illud divinum eluit; bellum adversus eum concitat a quo servatus fuerat; imperium denique sibi usurpat. quo cognito Constantius excanduit, ac morbo gravi correptus paulo post rebus humanis excessit, cum quidem tria mala per se facta deploraret ac in lingua continenter haberet, primo, quod genere sibi propinquos iniuste sustulisset e medio, deinde quod fidem Christianam adulterasset ac in ea quaedam innovasset, tertio quod impiissimum hunc Iulianum Caesarem designasset.
Enimvero non longum ad tempus iustitia dormitavit, nec inspector ille cunctorum oculus diu connixit: sed palpebram sustulit, desertorem intuitus est, vidit piacula, mactationes victimarum, sanguinis rivos, hominum caedes, omnem denique turpitudinem abominationem, impietatis plena facinora, quae designabat; et furorem hominis exsecratus, Persis veluti saevis leonibus volutatum in luto suem immaniter dilacerandum

καὶ πίπτει μὲν ὁ δυσσεβὴς ἔργον φανεὶς ῥομφαίας,
μῆνας ἑπτὰ τὸ εὐκλεὲς κράτος τῆς βασιλείας
σὺν ἔτη δύο δυσσεβῶς ταράξας καὶ κυκήσας·
ἡ γῆ δ' οὐ παραδέχεται τὸ σκῆνος τοῦ βεβήλου,
ἀλλ' ἐν σεισμῷ καὶ τιναγμῷ κάτωθεν ἀποπτύει
τὸν ἀσεβείας συσσεισμῷ δονήσαντα τὴν κτίσιν.
καὶ πάλιν λάμπει φαιδρωπὸν τῆς πίστεως ἡ χάρις P 50
τὸ στέφος Ἰωβιανοῦ τοῦ κράτους δεξαμένου.
Ἀλλὰ καὶ τούτου πρὸς μικρὸν τῆς τύχης γευσαμένου
καὶ παρελθόντος τάχιον καὶ γῆθεν μεταστάντος
(μῆνας ὀκτὼ γὰρ τῆς ἀρχῆς ἐκράτησε Ῥωμαίων)
εἰς Οὐαλεντινιανὸν τὰ σκῆπτρα μεταβαίνει,
ὃς ἀδελφὸν Οὐάλεντα τὸ στέφος περιβάλλει
καὶ τῆς ἑῴας κράτορα τοῦτον ἀναδεικνύει,
τὸν δὲ καλὸν Γρατιανὸν τῆς πρεσβυτέρας Ῥώμης,
τὸν ἐκ Σεβήρας γαμετῆς αὐτῷ γεγεννημένον.
Οὐάλης μὲν οὖν ὁ δυσσεβὴς προσθέμενος Ἀρείῳ
τῷ κατὰ τοῦ δεσπότου μου κακῶς φρυαξαμένῳ, B
καὶ τὸν λαὸν τὸν εὐσεβῆ πικράνας καὶ συνθλίψας,
πυρὸς τροφὴ μετ' οὐ πολὺ γίνεται τοῦ παμφάγου,
ἀχυρμιὰν καθυποδὺς ἐν τῷ τοὺς Σκύθας φεύγειν,
δέκα πρὸς τέσσαρσιν ἀρχῆς κρατήσας τῆς ἑῴας.
ὁ δὲ καλὸς Γρατιανὸς Οὐάλεντος πεσόντος,
καὶ πάσης ἤδη τῆς ἀρχῆς εἰς τοῦτον μεταστάσης

2408 *μαχαίρας* M 2413 *δινήσαντα* A 2415 *Ἰοβιανοῦ τὸν στέφανον* ARR 2416 *τὸ στέφος* R 2418 *γὰρ τῆς*] *καὶ γὰρ* RR 2420 *ἀδελφὸς Οὐάλεντος* M 2424 *γοῦν* ARR 2425 *φρυαττομένῳ* R

tradidit. hoc modo cum vir impius gladio vulneratus occubuisset, ne ipsa quidem terra corpus hominis profani admittere voluit, sed succussione ac motu quodam exspuit eum qui concussione impietatis universam creaturam turbaverat. hinc iam rursus hilari vultu fidei gratia splenduit, posteaquam Iovianus imperator designatus fuisset.

At ubi etiam ille fortuna exiguum ad tempus degustata rebus terrenis excessisset, Valentiniano imperium delatum est. is Valentem fratrem imposita corona collegam adscivit, ac Orientis quidem illum imperatorem renuntiavit, egregium vero Gratianum veteri Romae praefecit, ex Severa coniuge natum. ex his Valens, vir impius, addictus Ario, qui contra dominum nostrum superbe insurrexit, populumque religiosae pietatis studiosum acerbe vexavit et afflixit, non longo post tempore ab edaci consumptus est igne, cum Scythas fugiens in tugurium paleis refertum se recepisset. at praeclarus ille Gratianus, Valente sublato iam

(καὶ γὰρ Οὐαλεντινιανὸς ἔφθη δοῦναι τὸ χρέος,
ὁ τῆς παρόδου τῆς εἰς φῶς αἴτιος φανεὶς τούτῳ,
χρηστὸς ἀνήρ, θεοσεβής, ἄλκιμος τὰ πρὸς μάχας,
δύο πρὸς δέκα τῆς ἀρχῆς κρατήσας τῶν Αὐσόνων),
τὸν πρῶτον Θεοδόσιον ἄρχειν τῆς ἕω πέμπει,
ἄνδρα βριθύν, ἀρεϊκόν, ἐξ Ἱσπανίας φύντα,
οὐ χαρισάμενος αὐτῷ τὸ κράτος ἀλογίστως,
δοὺς δὲ τῆς νίκης ἔπαθλον ἥνπερ κατὰ βαρβάρων
C ὑπερβαινόντων ψάμαθον τὴν παραιγιαλῖτιν
ὑπὸ θεοῦ φρουρούμενος ἤνυσεν ὁ γεννάδας.
ὁ κράτωρ οὖν Γρατιανὸς ἐκεῖνον βασιλεύσας
καὶ τοῖς ἑῴοις γένεσι μόναρχον ἐπιστήσας,
τὰ μέρη τὰ προσέσπερα καὶ Ῥώμην οἰκειοῦται.
Οὗτος, φασίν, ὁ βασιλεὺς γυναίου προσελθόντος
καὶ κατειπόντος πρὸς αὐτὸν τοῦ συνομοζυγοῦντος
ὅτι πληγὰς καὶ ῥαβδισμοὺς αὐτῇ συχνῶς ἐπάγει,
"οὐδέν, ὦ γύναι, πρὸς ἐμὲ τοῦτ'" ἔφησεν εὐστόχως.
ἐκείνης δὲ τῆς γυναικὸς αὖθις προσεπειπούσης
καὶ κατ' αὐτοῦ βουλεύεσθαι Γρατιανοῦ τὸν ἄνδρα,
πάλιν ἀνταπεκρίνατο "τί σοι πρὸς τοῦτο, γύναι;"
εὐστόχως δ' οὕτω τοι φασὶ Γρατιανὸν τοξεύειν
D ὡς φρένας ἔχειν λέγεσθαι Γρατιανοῦ τὰ βέλη.
Τούτου σφαγέντος οἴκτιστα παρά τινος τυράννου
ὁ κράτωρ Θεοδόσιος Ῥώμην καταλαμβάνει,

2433 τούτου R 2434 ἐπιεικής R v. 2435 om AM 2442 δὲ MRR ἐκεῖνος M 2450 βουλεύσασθαι R

consecutus universum imperium (quippe Valentinianus etiam naturae debitum persolverat, Gratiani pater, vir probus, religiosus erga deum, in praeliis animosus ac fortis, cum duodecim annos imperasset), Theodosium primum ad Orientis gubernationem ablegat, virum gravem, mavortium, ex Hispania oriundum, non abs re hoc ipsi largitus imperium. quippe debitum ei concessit victoriae praemium, quam de barbaris vir magnanimus, et qui divinitus defendebatur, adeptus fuerat. ipse autem Gratianus, hoc nationibus orientalibus praefecto, sibi provincias occidentales cum urbe Roma retinuit.

Memoriae proditum de Gratiano accepimus, eum muliere quadam accedente ac maritum deferente, quod frequenter eam plagis et verberibus multaret, apte respondisse "nihil hoc ad me, mulier." at cum illa subiecisset maritum suum ipsi quoque Gratiano insidiari, rursus illum respondisse "quid hoc ad te, mulier?" tradunt etiam Gratianum adeo peritum sagittandi fuisse, ut eius tela mentem habere perhiberentur.

Interfecto autem Gratiano miserabiliter admodum a quodam barbaro, Theodosius imperator Romam profectus est, ac parricidam ultus Romae

καὶ τὸν φονέα τίννυται, καὶ τὸ τῆς Ῥώμης κράτος
εἰς Οὐαλεντινιανὸν τὸν νέον μεταφέρει,
τὸν ἀδελφὸν Γρατιανοῦ τοῦ βεβασιλευκότος.
καὶ πάλιν ἄλλος τάραχος, πάλιν βαρύθρους κλύδων,
τὸ τῆς ἀρχῆς φιλονεικῶν καταποντίσαι σκάφος.
Εὐγένιός τις τυραννεῖ, καὶ βασιλεὺς ἀγχόνῃ
χρησάμενος ὀδυνηρῶς τὸν βίον καταστρέφει.
καὶ πάλιν Θεοδόσιος κατὰ τοῦ παλαμναίου.
ζωγρεῖται γοῦν ὁ τύραννος, δεσμεῖται χειροπέδαις,
τοῦ θράσους δίκας τίννυσι καὶ τῶν τετολμημένων, P 51
καὶ τῆς ζωῆς καὶ τῆς ἀρχῆς ἐλεεινῶς ἐκπίπτει.
καὶ βασιλεὺς Ὀνώριος τῆς πρεσβυτέρας Ῥώμης
καὶ κράτωρ ἀναδείκνυται πρὸς τοῦ πατρὸς αὐτάναξ,
ὃς ἐκ Πλακίλλης γέγονεν υἱὸς Θεοδοσίῳ.
Θεοδοσίου δὲ λοιπὸν τὸν βίον λελοιπότος,
ἐν ἔτεσιν ἰθύναντος δεκαεπτὰ τὸ κράτος,
Ἀρκάδιος χειρίζεται τοὺς οἴακας τῆς ἕω,
ἐκ τῶν αὐτῶν ἀναφυεὶς σπερμάτων Ὀνωρίῳ.
τότε καταφρονήσαντες ὡς μαλακοκαρδίου
τοῦ τῆς ἑσπέρας ἄρχοντος αἱματορρόφοι Γότθοι,
φίλοπλον ἔθνος, δύσμαχον, χαῖρον ἀνδροκτασίαις,
τῶν ὅρων κατατρέχουσι τῆς παλαιτέρας Ῥώμης, B
καὶ πλοῦτον τὸν βασίλειον Ἀλάριχος λαμβάνει

2458 *τοῦ προβεβασιλευκότος* R 2460 *καταποντῶσαι* R 2464 *μὲν* AR
2470 *ἐκλιπόντος* R 2474 *τούτου* R

imperium Valentiniano iuniori, Gratiani fratri, tradidit *). hinc rursus alia turba, rursus alia gravis et horrida tempestas imperium demergere conata est. quippe tyrannidem Eugenius quidam usurpavit, et Valentinianus imperator strangulatus misere vitam amisit. rursum ergo Theodosius militem adversus parricidam educit: tyrannus vivus in potestatem redigitur, compedibus ligatur, audaciae suae flagitiorumque designatorum poenas luit, simul denique vitam et imperium amittit. secundum haec Honorius a patre Romae veteris imperator renuntiatur, a Placilla Theodosii coniuge natus. cumque Theodosius etiam ipse vitam hanc reliquisset, Orientis imperium Arcadio cessit, ex iisdem cum Honorio parentibus orto. id temporis contempto principe Occidentis, tanquam effeminato, Gotthi sanguinolenti, natio bellicosa, superatu difficilis, caedibus gaudens, in Romae veteris limites excurrunt, eorumque rex Ala-

*) *addendum ex aliis:* qui tribus tantum annis Romae veteri praefuerat. LEUNCL.

καὶ Πλακιδίαν ἀδελφὴν οὖσαν τοῦ βασιλέως,
ἥτις φυγοῦσα παρευθὺ τὰς χεῖρας τῶν βαρβάρων
σπουδῇ πρὸς τὸν Ὁνώριον τὸν ἀδελφὸν ἐκτρέχει,
εἰς Ῥάβενναν στερρόπυργον πόλιν προσπεφευγότα,
καὶ Κωνσταντίῳ ζεύγνυται τῷ ταύτην σεσωκότι·
ἐξ ὧν Οὐαλεντινιανὸς ὁ νέος ἀπετέχθη,
ὁ μετὰ ταῦτα βασιλεὺς ἀναδειχθεὶς τῆς Ῥώμης.
ὡς δὲ τὸν χοῦν Ἀρκάδιος ἀπέθετο τοῦ σκήνους,
ἔτεσι δέκα πρὸς τρισὶν αἰσίως βασιλεύσας,
τῆς ἕω Θεοδόσιος ἐγκάθηται τοῖς θρόνοις,
ὃν βασιλεὺς Ἀρκάδιος ἐξ Εὐδοξίας ἔσχεν.
C Ὁ τοίνυν Θεοδόσιος ἰδίαν θυγατέρα
πέμπει Οὐαλεντινιανῷ πρὸς γάμου κοινωνίαν.
ἀλλὰ γὰρ τὸ φιλήδονον τούτου τοῦ νεανίου
καὶ λύττησις ἀκάθεκτος ἡ τῆς φιλοσαρκίας
ζωῆς αὐτὸν ἐστέρησε καὶ κράτους βασιλείου,
καὶ τὴν τοῦ λέχους κοινωνὸν κατήγαγεν εἰς ὕβριν.
ὅπως δὲ τοῦτο γέγονεν εἰρήσεται συντόμως.
Μάξιμος ἦν ὑπατικὸς ἐν Ῥώμῃ πρωτιστεύων.
τούτῳ συνῴκει γύναιον ἐπέραστον τὴν ὄψιν,
κάλλος ἀμήχανον αὐχοῦν, κῆπος ἄντικρυς κάλλους·
ἐκόσμει δὲ τὸ γύναιον ἡ σωφροσύνη πλέον.
ὅπερ ἰδὼν ὁ βασιλεὺς ἁλίσκεται τῷ κάλλει,
D καὶ πάντα κάλων συγκινεῖ πρὸς τὸ τυχεῖν τοῦ πόθου.

2483 ζεύγνυσι R v. 2487 om R 2489 ἔσχεν ἐξ Εὐδοξίας AMR
2490 οἰκείαν R 2492 τοῦδε AMR 2493 ἡ] ἐκ R 2502 συνωθεῖ M

ricus imperatoriis opibus potitur et ipsa imperatoris sorore Placidia, quae mox de barbarorum manibus elapsa celeriter ad Honorium fratrem se contulit, qui Ravennam, urbem munitam, profugerat. est autem in matrimonium collocata Constantio, per quem servata fuerat; deque his Valentinianus iunior procreatus est, qui secundum haec Romae imperium consecutus fuit. posteaquam Arcadius terrenam corporis molem deposuerat, Theodosius in orientalis imperii solium collocatur, quem Arcadius ex Eudoxia coniuge genuerat.

Is filiam suam Valentiniano ad coniugii societatem misit, quem iuvenem voluptatum amor et insanum studium explendi libidines carnis, quod nullis inhiberi vinculis poterat, non imperio tantum sed etiam vita spoliavit, ipsamque vitae sociam iniuriae alterius exposuit; quae res quo pacto gesta fuerit, breviter exponetur.

Erat in urbe Roma vir consularis Maximus, facile princeps inter ceteros. habebat is uxorem eleganti praeditam facie, quaeque propter venustatem formae quidam velut hortus pulchritudinis esse videretur; et ornabat eandem multo etiam magis castitas atque pudicitia. cum hanc

τῷ γοῦν ἀνδρὶ τῆς γυναικὸς Μαξίμῳ συγκυβεύων
καὶ καθυπέρτερος φανείς, μὴ φέροντος χρυσίον,
λαμβάνει τὸν δακτύλιον τὸν χρύσεον ἐκεῖνον,
φεγγίζον ἐσόμενον τῶν ἐποφειλομένων.
ἐκπέμπει τὸν δακτύλιον τῇ γυναικὶ σημεῖον,
τὴν ἄφιξιν ἐνδώσοντα τὴν πρὸς τὴν βασιλίδα.
πιστεύει τούτοις ἡ γυνή, γνωρίζει τὸ σημεῖον.
φθάνει πρὸς τὰ βασίλεια. τίνα τὰ μετὰ ταῦτα;
ὁ βασιλεὺς ἀπολαβὼν ταύτην αἰσχύνει βίᾳ.
μανθάνει ταῦτα Μάξιμος, πιμπρᾶται τὴν καρδίαν,
εἰς ἄμυναν ὁπλίζεται, δόλους παντοίους ῥάπτει,
καὶ τελευταῖον θανατοῖ ξίφει τὸν βασιλέα,
φρουρῶν ἀρίστων στρατηγῶν πρῶτον αὐτὸν στερήσας, P 52
αἰσχύνει καὶ τὴν γαμετὴν τούτου τὴν Εὐδοξίαν.
ἡ βασιλὶς δεινοπαθεῖ, τὴν ὕβριν ἀναστένει,
καὶ πέμπει πρὸς Γιζέριχον τῶν Οὐανδήλων ῥῆγα,
κατὰ τῆς Ῥώμης ἐπελθεῖν ἐκεῖνον παρορμῶσα.
ἐπῆλθεν ὁ Γιζέριχος, ἐκράτησε τῆς Ῥώμης,
ἠνδραποδίσατο πικρῶς, δορυαλώτους ἔσχεν
αὐτήν τε τὴν βασίλισσαν καὶ τὰς ἐκείνης κόρας.
Ἡ μὲν οὖν Ῥώμη πρὸς μικρὸν ἔτι βασιλευθεῖσα
τὸ κράτος τὸ βασίλειον εἰς τέλος ἀφῃρέθη,
καὶ τῶν βαρβάρων τοῖς ῥηξὶν εἶξε καὶ τοῖς ἐθνάρχαις,

2508 *ἐκδύσαντα* R, *ἐνδήσουσαν* R 2509 *γινώσκει* M
2512 *πίμπραται* ARR *τῇ καρδίᾳ* R 2515 *πάντων* R

vidisset imperator, amore captus est, omnesque nervos in id intendit ut voto potiri posset. igitur aliquando cum Maximo, marito mulieris, alea ludens, ubi vicisset nec aurum Maximus numeraret, aureum eius anulum accipit quasi pro debitis oppigneratum. hinc anulum ipsius uxori mittit signi loco, de quo illa intelligeret in aulam sibi eundem esse. mulier signo cognito fidem iis quae mandabantur habet, adeoque celeriter in regiam se confert. quid inde factum? imperator eam nactus vi stuprat. Maximus his cognitis ardere animo, ad ultionem se armare, fraudes omnis generis nectere, tandem gladio imperatorem occidere, spoliatum prius fidissimis satellitibus. hoc facto coniugem quoque Valentiniani Eudoxiam stuprat, quae iniuriam hanc aegerrimo ferens animo suos ad Gizerichum Vandalorum regem mittit, oratum ut Romam cum copiis invaderet. fecit hoc Gizerichus, Romam occupavit, eaque miserum in morem spoliata imperatricem cum filiabus captivas abduxit.

Ac Roma quidem exiguum ad tempus adhuc ab imperatoribus administrata tandem imperium omne prorsus amisit, in potestatem regum principumque barbarorum redacta, quorum manibus misere prostrata fuit.

καὶ ταῖς παλάμαις δυστυχῶς τούτων ἐταπεινώθη.
ἦρξε μὲν οὖν ὁ Μάξιμος ὁ τότε τυραννήσας,
B καὶ μετ' αὐτὸν Ἀνθέμιος, Ὀλύβριος ὁ πάνυ·
μετὰ δὲ τὸν Ὀλύβριον ἐκράτησε Μαΐωρ,
καὶ μετ' αὐτὸν Γλυκέριος, καὶ μετὰ τοῦτον πάλιν
Νεπωτιανὸς Ὀρέστης τε, καὶ μετὰ τὸν Ὀρέστην
ὁ παῖς Ῥωμύλου τῆς ἀρχῆς ἥψατο τελευταῖος.
καὶ πόλις μεγαλώνυμος, ἡ τῶν Ῥωμαίων πόλις,
Ῥωμύλον σχοῦσα κατ' ἀρχὰς ἔννομον βασιλέα,
καὶ πάλιν περιστήσασα τὸ κράτος εἰς Ῥωμύλον
οὐκέτι τὴν κυβέρνησιν ἔσχεν ἐκ βασιλέων,
βαρβάροις δ' ὑποκύψασα καὶ χωροβατηθεῖσα,
καὶ τούτοις δυστυχήσασα δορύληπτος γενέσθαι,
ῥῆγας κατεῖδεν ἄρχοντας, χωράρχας, σατραπάρχας.
C καὶ στερηθεῖσα δυσκλεῶς ὑπάτων καὶ κρατόρων
καὶ δικτατόρων καὶ βουλῆς, ἀλλὰ καὶ πατρικίων,
ἐπωμαδίαν ἤνεγκε τὴν ζεύγλην τῶν βαρβάρων.
καὶ πρώην χρηματίζουσα βοῦς ἀγελαῖος ἄζυξ
ὑπήκοος ἐγένετο δυνάσταις ἀροτρεῦσι,
καὶ γῆς τοῖς αὐλακίσμασι τρύχεσθαι κατεκρίθη.
Καὶ ταῦτα μὲν συμβέβηκε τῇ πρεσβυτέρᾳ Ῥώμῃ·
ἡ δ' ἡμετέρα τέθηλεν, αὔξει, κρατεῖ, νεάζει,
καὶ μέχρι τέλους αὔξοιτο, καὶ βασιλεῦ παντάναξ,
τοιοῦτον σχοῦσα τηλαυγῆ φωσφόρον βασιλέα,

2527 γὰρ RR 2530 καὶ μετὰ] μετὰ δὲ R 2532 τελευταῖον AR
2536 εἶχεν R 2539 κατῆγεν R 2546 παλαιτέρᾳ R

tunc temporis autem Maximus occupata tyrannide regnavit, quem secuti sunt Anthemius, Olybrius vir praestantissimus, Maior, Glycerius, Nepotianus, Orestes, post quem Orestem puer Romulus omnium postremus imperium usurpavit. hoc modo celeberrima Romanorum urbs, cum ab initio Romulum legitimum habuisset, ac vicissim eius imperium ad Romulum pervenisset, deinceps ab imperatoribus gubernari desiit. barbaris autem sese submittens ab iisque calcata, perque summam infelicitatem capta, regibus eorum nationumque principibus et satrapis paruit; planeque spoliata consulibus imperatoribus dictatoribus senatu patriciis, iugum barbarorum suis humeris tulit; quae denique prius erat indomita et expers iugi vacca, principibus aratoribus obediens facta est, et condemnata ut eius solum aratro inverteretur.

Et haec quidem Romae veteri acciderunt. at illa nostra floret, augescit, imperio fruitur, iuvenescit; utque perpetuum augescat, te, rex omnium, maxime precor, praesertim cum modo talem ac tantum imperatorem habeat, Luciferum late radiis suis splendentem, regem Ausonum

μέγιστον Αὐσονάνακτα, μυριονικηφόρον,
Κομνηνιάδην Μανουήλ, πορφύρας χρυσοῦν ῥόδον,
οὗπερ τὸ κράτος ἥλιοι μετρήσαιεν μυρίοι. D
Ἀλλὰ γὰρ πάλιν εἰς ὁδὸν ὁ λόγος ἀναγέσθω,
καὶ τερματούτω τὸν λοιπὸν δρόμον τῆς ἱστορίας.
Τὸν νέον Θεοδόσιον ἔτι παιδίσκον ὄντα
ἄγοντά τε τὴν ἁπαλὴν καὶ πρώτην ἡλικίαν
Ἀρκάδιος ἐνίδρυσε τοῖς βασιλείοις θρόνοις,
καὶ φύλακας ἐπέστησεν αὐτῷ τῆς βασιλείας
τοὺς τῆς συγκλήτου προύχοντας καὶ τοὺς ἀγχινουστέρους,
καὶ σὺν αὐτοῖς τὸν ἄρχοντα Περσίδος Ἰσδιγέρδην·
ὃς καὶ μαθὼν ἐπιβουλὴν κατὰ Θεοδοσίου
τυρευομένην ἔκ τινων ἀνδρῶν φιλοτυράννων
ἠπείλησεν ἐπιδραμεῖν ἄχρι καὶ Βυζαντίου
σὺν μυριάσι μαχητῶν ἀλκίμων ὁπλοφόρων. P 53
οἱ τοίνυν βουλευσάμενοι κατὰ τοῦ βασιλέως,
κατασεισθέντες τὰς ψυχὰς τῷ φόβῳ τοῦ Περσάρχου,
τὸ δύσνουν ἀπεβάλοντο καὶ τὴν κακοτροπίαν,
καὶ τῆς βουλῆς ἀπέσχοντο καὶ τῶν ἐγχειρημάτων.
ὡς ἄρα τὸ χρηστότροπον ἔστι κἂν τοῖς βαρβάροις,
καὶ τὴν φιλίαν ἄτρωτον καὶ τὴν φιλαλληλίαν
οἶδεν ἀνὴρ ἀλλόγλωσσος ἀδόλωτον φυλάσσειν·
τὸ γὰρ καλὸν ἐκ φύσεως ἅπασιν ἐνεσπάρη.

2552 κάλλος A 2558 συνέστησεν R 2563 ἐπιδρομὴν M Βυζαντίδος R 2566 βαρβάρου ARR 2571 φυλάττειν R

maximum, victoriis sexcentis potitum, Manuelem Comneniadem, auream purpurae rosam, cuius imperium infiniti soles metiantur.

Sed enim oratio nostra in viam revocetur, et historiae cursus ad finem perducatur.

Iuniorem Theodosium, cum adhuc puer esset ac teneram primamque aetatem ageret, Arcadius pater in thronum imperatorium collocavit, simulque constituit ei custodes imperii principes quosdam senatus, itemque genere proximos, una cum Isdigerde Persarum rege; qui deinceps, ubi de insidiis accepisset quas Theodosio quidam tyrannidis usurpandae cupidi struerent, suos ablegavit, ut ad ipsum usque Byzantium cum infinitis prope pugnatorum copiis excurrerent. hoc modo perculsis insidiatorum animis formidine barbari, omni odio malevolentiaque deposita consilium prius intermissum cum ipsis conatibus fuit. de quo intelligere licet in ipsis etiam barbaris virtutem ac indolem bonam existere, hominesque linguis diversos nihilominus amicitiam et amorem mutuum illaesum conservare candide posse: nam virtus et honestum a natura cunctis insitum est.

Ἦν δ' ἀδελφὴ τῷ βασιλεῖ τούτῳ Θεοδοσίῳ
σεμνότροπος, σεμνόβιος, τὴν κλῆσιν Πουλχερία,
καὶ κάλλει διαλάμπουσα σώματος εὐπροσώπου,
καὶ στίλβουσα ταῖς χάρισι τῆς ἔνδον εὐπρεπείας·
B ἥτις παρθένον συντηρεῖν αὐτὴν προελομένη
καὶ τῆς ἁγνείας ἄσυλον φυλάττειν τὸν λειμῶνα,
ἀρρένων μὲν ἀπέσχετο καθάπαξ ὁμιλίας,
τῷ καθαρῷ δ' ἐπέχαιρε καὶ τῷ κοσμίῳ βίῳ,
καὶ ζέσιν ἐπεδείκνυτο πρὸς πᾶσαν χρηστουργίαν.
οὐ μόνον δὲ τὸν ἑαυτῆς οὕτως ἐκόσμει βίον,
ἀλλά γε καὶ τὸν ἀδελφὸν παντοίαις ἐπινοίαις
εἰς ἀρετὴν ἐρύθμιζεν καὶ τρόπους φιλοκάλους.
ἣ καὶ συνῴκισεν αὐτῷ πρὸς γάμου κοινωνίαν
τὴν κάλλεσιν ἀστράπτουσαν παντοίοις Εὐδοκίαν,
ἥτις λειμῶνα φέρουσα κάλλους ἐν τῷ προσώπῳ
ὡρμᾶτο μὲν ἐξ Ἀθηνῶν τῶν περιλαλουμένων,
πρὸς δὲ τὴν Βύζαντος λαμπρὰν ἀφικομένη πόλιν,
C ἐφ' ᾧ κατηγορήσειεν ἰδίων ὁμογνίων
ὡς τῆς οὐσίας τοῦ πατρὸς αὐτῇ μὴ μεταδόντων,
πολλῷ κερδαλεώτερον τὸ πάρεργον εὑρίσκει.
τὸ δ' ὅπως τοῦτο γέγονε λόγῳ συντόμῳ φράσω.
Ἦν ἐν Ἀθήναις τις ἀνήρ, Λεόντιος τὴν κλῆσιν,
εἰς ἄκρον ἀφικόμενος πάσης φιλοσοφίας,
καὶ λογικῆς καὶ φυσικῆς καὶ τῆς ἀστεροσκόπου.

2573 τούτῳ τῷ βασιλεῖ κυρῷ Θ. R 2587 τοῖς προσώποις AR
2589 ἀφικνουμένη AR 2593 λόγοις συντόμοις AR

Ceterum imperatori Theodosio soror erat, castis praedita moribus, vitae gravis ac pudicae, nomine Pulcheria. fulgebat ea venusti corporis elegantia, simulque dotibus internae pulchritudinis relucebat. cumque virginitatem suam retinere et castitatis campum illibatum tueri decrevisset, prorsus a virorum consuetudine semet abstinebat, ac purae modestaeque vitae studio dedita fervorem animi erga quaevis facta praeclara insignem demonstrabat. neque tantum exornandae vitae suae intenta erat, verum etiam fratrem omnigenis rationibus, iisque solerter excogitatis, ad virtutem probosque mores informabat. coniunxit et fratri matrimonio Eudociam, omni venustatis genere splendentem. ea cum esset vultu praedita formosissimo, Athenis illis celeberrimis, ubi nata fuerat, Byzantium profecta, suos ut fratres accusaret, qui paternarum facultatum partem ei se daturos pernegarent, obiter quiddam longe fructuosius reperit. libet autem breviter exponere, quo pacto haec evenerint.

Fuit Athenis quidam Leontius, vir accurate peritus omnis philosophiae ac logicarum naturalium astronomicarum disciplinarum. huic ex

τούτῳ μιᾶς ἐκ γαμετῆς ἐτέχθησαν τρεῖς παῖδες·
δύο μὲν ἦσαν ἄρρενες, τριτάτη δὲ θυγάτηρ,
θυγάτηρ ἀγλαόμορφος ἐπιχαριτωτάτη.
Ἀθηναῒς ὠνόμαστο πρὸς τοῦ πατρὸς ἡ κόρη.
ὡς οὖν τὸν βίον ἔμελλε λιπεῖν ὁ ταύτην σπείρας,
ἐπιθανάτιον συνθεὶς καὶ τελευταῖον γράμμα
τοῖς μὲν παισὶ κατέλιπε τοῖς ἄρρεσι τὸν βίον, D
ὁπόσος ἐν ἱματισμοῖς, ὁπόσος ἐν χρυσίῳ,
ἐν οἴκοις, ἐν βοσκήμασιν, ἐν σκεύεσιν, ἐν δούλοις
(ἦν γάρ τοι μεγαλόπλουτος καὶ τῶν βαθυκτημόνων)·
τῇ θυγατρὶ δ' ἐκέλευσε, καὶ ταῦτα φιλουμένῃ,
μόνους χρυσίνους ἑκατὸν παρασχεθῆναι κλῆρον,
τὴν τύχην τὴν περίλαμπρον ἀρκεῖν ἐκείνῃ φήσας,
ἁπάσης ὑπερφέρουσαν γυναίων εὐποτμίας.
ὁ μὲν εἰπὼν ἐξέπιε τὸν τοῦ θανάτου σκύφον,
οἱ δὲ τῆς κόρης ἀδελφοὶ φαυλότροποι φανέντες
πᾶσαν ἐσφετερίσαντο τὴν πατρικὴν οὐσίαν
καὶ παντελῶς ἀπόκληρον ἔθεντο τὴν νεᾶνιν. P 54
ἐφ' οἷς ὑπερπαθήσασα καὶ τὴν ψυχὴν πληγεῖσα
τῇ μητραδέλφῃ πρόσεισιν Ἀθηναῒς ἡ κόρη,
κοινοῦται τὰ καθ' ἑαυτήν, τὴν συμφορὰν δακρύει,
περιπαθέσι στεναγμοῖς ἐκτραγῳδεῖ τὸ πάθος.
οἰκτείρει τὸ κοράσιον πενθοῦν ἡ μητραδέλφη,
ὑπὲρ τῆς ἀδελφόπαιδος πιμπρᾶται τὴν καρδίαν,

2597 γυναικὸς R   τρεῖς ἐτέχθησαν AMR   2601 λείπειν MR
2606 πολυκτημόνων MRR   2607 ταύτῃ R   2609 φράσας M
2610 γυναίας A   2617 δεικνύει M   2619 θρηνοῦν M
2620 πίμπραται ARR

una coniuge tres erant nati liberi, duo mares, una filia, formae puella praestantis, et ceteroquin etiam elegantissima, cui pater Athenaidis nomen dederat. cum autem rebus humanis iamiam excessurus esset, testamento de voluntate sua postrema condito filiis quidem maribus facultates omnes legavit, quicquid nimirum habebat vestium auri aedium pecoris, instrumenti ac supellectilis, mancipiorum (quippe locuples et opulentus erat): filiam vero, quam etiam unice diligebat, sola centum aureorum sorte contentam esse iussit, quod hanc fortunam sufficere diceret, qua cunctas mulieres felicitate superaret. his ille verbis prolatis naturae debitum persolvit. puellae fratres, qui homines essent improbi, paternas facultates universas sibi vindicabant, sorore prorsus ab aditione hereditatis exclusa. quam rem Athenais aegerrimo ferens animo materteram adit, casus ei suos exponit, calamitatem deplorat et multis cum gemitibus dolenter amplificat. illa puellae commiseratione tangi, ac neptis nomine commota Cpolin cum ea proficisci, urbem urbium principem et imperii

καὶ σὺν αὐτῇ καὶ μετ' αὐτῆς ὡς εἶχεν ἀφικνεῖται
πρὸς πόλιν τὴν πρωτόπολιν, πρὸς πόλιν τὴν τοῦ κράτους.
τῇ Πουλχερίᾳ πρόσεισι τῇ χαριτοκοσμήτῳ,
ἐπικουρίαν ἐξαιτεῖ, δεῖται βοηθηθῆναι
B τὴν κόρην τὴν τῶν ἑαυτῆς ἀδίκως στερουμένην.
θαυμάζει τῆς νεάνιδος ἡ βασιλὶς τὸ κάλλος,
ἐκπλήττεται τὰς φεραυγεῖς χάριτας τοῦ προσώπου,
θαυμάζει τὴν εὐσύνετον μεγαλογνωμοσύνην.
πυνθάνεται εἰ τὴν αὐτῆς ἔφθαρται παρθενίαν,
καὶ γνοῦσα κοίτης ἄπειρον τὴν κόρην χρηματίζειν
καὶ τὸ καλὸν ἀκίβδηλον φυλάττειν τῆς ἁγνείας
λουτρῷ καθαίρει τῷ σεπτῷ, τὴν κλῆσιν μεταμείβει,
μετονομάζει τὴν καλὴν νεᾶνιν Εὐδοκίαν,
συνάπτει τε τῷ βασιλεῖ καὶ ζεύγνυσιν εἰς λέχος,
συναραμένου τὰ πολλὰ πρὸς τοῦτο καὶ Παυλίνου,
ὃς ἐν τοῖς πρώτοις τέτακτο τῶν βασιλέως φίλων.
ἐκ ταύτης Θεοδόσιος ἔτεκεν Εὐδοξίαν,
C ἣν Οὐαλεντινιανῷ σκηπτροκρατοῦντι Ῥώμης
τῆς πρεσβυτέρας ἔπεμψεν εἰς γάμου κοινωνίαν.
Ἀλλ' ἦν οὐδέν, ὡς ἔοικεν, εὐτύχημα τοῦ βίου
ζάλης καὶ λύπης ἀμιγές, οὐδέ τις εὐποτμία
μὴ συναναφυόμενον ἔχουσα καὶ τὸ κνίζον·
καὶ γὰρ καὶ ῥόδον εὔοσμον φρίσσει πυκναῖς ἀκάνθαις,
ἡλίου τε τὸ βλέφαρον σκοτίζουσι νεφέλαι,

2622 τὴν pro altera **πρὸς RR** **2629 μὴ A** **2632 μεταβάλλει ARR** **2634 μίγνυσιν AR** **2639 βίου AR** **συνοικίαν R** **2643 πυκνὰς ἀκάνθας M**

sedem. hinc Pulcheriam multis ornatam dotibus convenire, opem et auxilium eius implorare, rogare denique subveniret puellae suis rebus per iniuriam spoliatae. Pulcheria iuvenculae formam admirari, ad radiantes vultus dotes obstupescere, magnanimitatem plane conspicuam plurimi facere; simul interrogare num florem virginitatis adhuc illibatum haberet. intellecto puellam adhuc expertem esse coniugii castitatisque bonum hactenus integrum servasse, religioso eam lavacro curat ablui, nomen immutat, Eudociam appellat, fratri matrimonio copulat, non parum adiuvante Paulino, viro inter amicos imperatoris principem locum obtinente. procreavit autem ex hac Theodosius Eudoxiam, quam Valentiniano in urbe Roma vetere imperanti ad vitae societatem misit.

Sed enim nulla vitae felicitas tempestatis ac doloris expers est, nec prosperitas esse potest ulla cum qua non existat etiam aliquid quod hominem mordeat. etenim ipsa quoque rosa, licet fragrans sit, crebris tamen spinis horret; itemque vultum solis nubes interdum caligine quadam obvelant. consimili modo invidia comitatur et insectatur eos qui

καὶ φθόνος ἐπιφύεται τοῖς τὸ καλὸν ἀσκοῦσι,
καὶ πᾶν εὐτύχημα λαμπρὸν καὶ πᾶν σεμνὸν τοῦ βίου
φέρει καὶ τὸ δυστύχημα συνανακεκραμένον.
Ἀλλὰ γὰρ τί μοι βούλεται τὸ πρόασμα τοῦ λόγου;
ἡ βασιλὶς ἐπέπλει τὴν ἅλμην τὴν τοῦ βίου
εὐδιεινοῖς καὶ γαληνοῖς πνεύμασι φερομένη·
ἀτάραχον διήνυε τὸν πλοῦν τῆς εὐποτμίας, D
ὡσπερεὶ πλοῖον φορτηγὸν ὡς ἐξ οὐρίας πλέον.
ἀλλ' αἴφνης ἐξεφύσησεν ὡς καταιγὶς ὁ φθόνος,
καὶ λαῖλαψ συνετάραξε τὴν θάλασσαν καὶ κλύδων·
νέφος ἐρράγη θολερόν, κατήγαγε χειμῶνα,
συνέσεισεν ἐδόνησε τὴν σκάφην ὡς φυλλάδα,
καὶ φλοίσβους ἤγειρε δεινοὺς καὶ τάραχον βαρύθρουν,
καὶ τὴν μὲν ναῦν συνέτριψε, τῇ δὲ ναυστολουμένῃ
στόμα δεινὸν ὑπήνοιξε χάσματος δυσαλύκτου.
ἐντεῦθεν ἡ βασίλισσα πικρίας ἐνεπλήσθη
καὶ πειρασμοῖς ἐπάλαισε βαρυσυμφορωτάτοις.
τί δ' ἦν αὐτῇ τὸ συμπεσὸν ὁ λόγος ἱστορήσει.
Θεοδοσίῳ βασιλεῖ τῷ συζυγοῦντι ταύτῃ P 55
μῆλον καλὸν εὐμέγεθες πένης προσήνεγκέ τις.
ὁ δὲ τὸ καλλιπρόσωπον θαυμάσας τῆς ὀπώρας,
καὶ τῆς εὐχροίας ἀγασθεὶς ἀλλὰ καὶ τοῦ μεγέθους,
ὥς τι καινὸν τὸ δώρημα τῇ βασιλίδι πέμπει·

2646 σεμνὸν καὶ πᾶν λαμπρὸν A, σεμνὸν πᾶν τὸ λαμπρὸν R 2648 πρόγραμμα R 2652 πλέει AM 2658 δέ γε ναυστολούσῃ A 2663 συνοικοῦντι ARR 2664 προσήγαγέ R

virtutem colunt; omnisque sancta prosperitas et vita splendens in hominum oculis admistam quandam infelicitatem secum trahit. quid autem hoc sibi vult orationis praeludium? nimirum et haec imperatrix in huius vitae mari navigabat, et serenis placidisque ventis acta felicitatis cursum absque perturbatione conficiebat, non aliter atque si navis oneraria vento secundo feratur: verum invidia subito tempestatis cuiusdam instar flare coepit; turbo cum procella mare commovit; nubes impetuosa exorta tempestatem excitavit, adeoque succussit et agitavit scapham instar folii, commoto ingenti strepitu gravique turba, ut navem confringeret, ac ipsi naufragium facienti terribiliter ore adaperto minaretur, quasi vellet ei plane dehiscere. ab eo tempore casus acerbos imperatrix complures experta fuit et aerumnosissimis cum tentationibus colluctata. lubet autem commemorare quid illi acciderit.

Quidam fortunae tenuis imperatori Theodosio, Eudociae marito, pomum eximiae tam pulchritudinis quam magnitudinis obtulerat. eius ille speciem longe venustissimam, colorem, magnitudinem admiratus, pomum ipsum inusitati cuiusdam muneris loco imperatrici miserat; quae sane

ὅπερ μεγάλων γέγονεν ἀρχὴ πειρατηρίων,
οὐχ ἧττον ἢ τῆς Ἔριδος τῆς φθονερᾶς τὸ μῆλον,
ὅπερ ἐπεισεκώμασεν ἐπὶ κακῷ τοῖς τότε
θύουσι γαμοδαίσια Θέτιδος καὶ Πηλέως.
οἷα καὶ γὰρ συμβέβηκε διὰ τὸ μῆλον τοῦτο!
ἐθαύμασεν ἡ βασιλὶς τὴν ὥραν τῆς ὀπώρας,
B *ὑπερφυὲς ἡγήσατο τὸ χρῆμα τὸ τοῦ μήλου,*
καὶ φιλοτίμως ἔχουσα πρὸς τὸν καλὸν Παυλῖνον
ὡς συναράμενον αὐτῇ πρὸς ὕψος βασιλείας,
τῷ μήλῳ τῷ πικροποιῷ τὸν ἄνδρα δεξιοῦται.
ἐκεῖνος δὲ τῷ βασιλεῖ τὸ δῶρον ἀντιπέμπει,
μὴ κατειδώς, ὡς ἔοικεν, ὅθεν παρεισεφθάρη·
ἔτυχε γὰρ τῷ βασιλεῖ μὴ συμπαρὼν ὁ τάλας
ἡνίκα Θεοδόσιος ἐδέχετο τὸ μῆλον,
Ἅιδου πικράν, ἂν εἴποι τις, ὀπώραν θανασίμην,
ἧς κηπευτὴς ὁ θάνατος καὶ φυτηκόμος Ἅιδης.
ὁρᾷ τὸ μῆλον ὁ κρατῶν, γνωρίζει τὴν ὀπώραν,
κρύπτει τὸ μῆλον παρ' αὐτῷ, σιγῇ παρακατέχει,
C *πυνθάνεται τῆς γαμετῆς ὅπῃ τὸ μῆλον εἴη,*
εἰποῦσαν ὅτι βέβρωκεν ὅρκοις καταλαμβάνει.
ἡ δέ, τῆς τύχης τῆς πικρᾶς, ὡς ἔοικε, σφαλλούσης
ἀντόμνυσι καταφαγεῖν. τίνα τὰ μετὰ ταῦτα;
εἰς ὑπονοίας ὁ κρατῶν οὐκ ἀγαθὰς ἐμπίπτει,
δείκνυσι τὸ κρυπτόμενον, ἐλέγχει ψευδομένην,

2668 **ῥίζα** R 2670 **ἐπεισεκόμισεν** R 2675 **λαμπρὸν** AR
2680 **γὰρ μὴ συμπαρὼν τῷ παλατίῳ τότε** R

res non minus maximorum incommodorum origo exstitit, atque olim pomum illud Eridis invidiae, quod nocendi causa iis obtulit qui Thetidis atque Pelei nuptiis intererant. nam qualia, quaeso, consecuta sunt? imperatrix pulchritudinem fructus admirari, eumque arbitrari naturae modum excedere. et quoniam Paulinum propterea venerabatur quod valde eam iuvisset in consequenda dignitate imperatoria, virum hoc infelici pomo donat. is vero vicissim munus imperatori mittit, ignorans, uti quidem videtur, unde profectus fuisset: non enim affuerat id temporis imperatori miser, quo pomum acceperat, quod nuncupare quis possit letalem Orci fructum, ab ipsa morte Plutoneque consitum. imperator oblatum intueri, mox agnoscere, clam apud se occultare ac retinere, coniugem interrogare ubinam pomum ab se datum haberet: illa respondere manducatum ab se esse. rursus imperator ei deferre iusiurandum: illa per summam infelicitatem sacramento confirmare pomum ab se manducatum esse. quid hinc factum? imperator suspicionibus malis indulgere, pomum absconditum proferre, coniugem mendacii convincere, excande-

θυμοῦται, μαίνεται, μισεῖ στυγεῖ τὴν βασιλίδα.
ἐντεῦθεν ἐπεμόρμυρε τῶν πειρασμῶν τὸ κῦμα
καὶ συμφορᾶς ἡ θάλασσα καὶ τῶν κακῶν ὁ κλύδων·
ἐντεῦθεν ἀνυπόφορον, ἥλιε, πάθος εἶδες.
ὁ μὲν Παυλῖνος θάνατον ἐτρύγησεν ἐκεῖθεν,
καὶ ξίφος αἱματόχαρτον ἐμέθυσε τῷ φόνῳ·
ἡ βασιλὶς τὸ μῖσος δὲ γνοῦσα τοῦ βασιλέως
εἰς πόλιν Ἱερουσαλὴμ ὡς τάχος ἀφικνεῖται,
κἀκεῖσε τὸ λειπόμενον ἀνύσασα τοῦ βίου
τῆς φύσεως τῆς γεηρᾶς ἐκτίννυσι τὸ χρέος. D
Οὗτος ὁ Θεοδόσιος τἄλλα μὲν ἦν ἀστεῖος,
χαρίεις, μεγαλόδωρος, βίβλοις ἀεὶ σχολάζων,
ἀλλὰ τοῖς προτερήμασιν εἶχε συναναβαῖνον
καί τι κακὸν ζιζάνιον οἷα τοῦ βίου κῆρα.
ἂν γάρ τις οἷον δήποτε τούτῳ προσῆξε χάρτην,
ἐν ἐρυθρῴοις γράμμασιν αὐτὸν ἐσημειοῦτο,
μὴ συσκοπήσας μὴ μαθὼν οἷα τὰ γεγραμμένα.
οὕτως οὐδὲν ἀκέραιον ἐν ἀνθρωπίνῃ φύσει,
οὐδὲν τῆς λώβης ἀμιγὲς τῆς τῶν ἀποπτωμάτων.
ἡ τοίνυν χαριτόστεπτος καὶ θεία Πουλχερία
πολλὴν ἐδείκνυ τὴν σπουδὴν περὶ τὸν βασιλέα,
ἀπαλλαγῆναι θέλουσα τοῦτον τῆς ἁμαρτάδος·
ὡς δὲ πολλὰς καὶ συνεχεῖς πλέξασα παραινέσεις P 56
καὶ λόγοις συνετίσασα τοῖς σωφρονιστηρίοις

2699 ὡς] τὸ RR 2704 τοῖς] γὰρ A 2707 ἐρυθρόοις βάμμασιν R 2710 τῆς ἀπὸ συμπτωμάτων R 2713 ἁμαρτίας R 2715 συνετίζουσα R

scere, furere, imperatricem odio persequi. atque hinc iam fluctus ille tentationum, mare calamitatum, tempestas malorum exundavit; hinc facinus indignum, sol, conspexisti. nam Paulinus ob hanc causam interfectus est, et imperatrix odio mariti perspecto celeriter Hierosolymam proficiscitur, atque ibi exacto reliquo vitae tempore tandem naturae debitum persolvit.

Erat ceteroqui Theodosius comis, facetus, liberalis, semper lectitandis libris occupatus: verum inter has virtutes etiam mala quaedam herba succrescebat, ut sunt res humanae. nam si quis ei chartam offerret, rubris in ea literis nomen imperatorium subscribebat, non inspectis prius iis quae essent in ea perscripta. nimirum in humana natura nihil est quod omnino sit labis expers et ab omni absurditate alienum. quamobrem divinis exornata dotibus Pulcheria, fratrem ab hoc vitio revocare studens, singulari diligentia imperatorem monebat. postea vero quam variis et continuis admonitionibus usa prudentibusque verbis castigato

πλέον ἐπέραινεν οὐδέν, τεχνᾶταί τι τοιοῦτον,
θηρεύει τε τὸν ἀδελφὸν ἀστείαις ἐπινοίαις.
πλάττεται χάρτην ὡς αὐτοῦ δῆθεν τοῦ βασιλέως
οἰκέτιν χαριζόμενον αὐτῇ τὴν βασιλίδα.
δίδωσι τοῦτον τἀδελφῷ, δεῖται τοῦ βασιλέως
ἐνσημανθῆναι τὴν γραφὴν γράμμασι βασιλείοις.
ὁ μὲν ἐπένευσεν αὐτῇ ταῦτα λιταζομένῃ,
καὶ καλαμὶς ἐν ταῖς χερσὶν εὐθὺς τοῦ βασιλέως,
B καὶ πορφυρόβαπτος γραφὶς τὸν χάρτην ἐπιστοῦτο·
ἡ δὲ τὸ γράμμα σημανθὲν ὡς ἕρμαιον λαβοῦσα,
ὡς δούλην ἀργυρώνητον εἷλκε τὴν βασιλίδα.
τοῦ δὲ περιυβρίζεσθαι φήσαντος ἐπὶ τούτῳ,
ἐκείνη τὸ βασίλειον προὔφερε γραμματεῖον,
κἀκεῖθεν ἔλεγεν αὐτὴν εἰς τοῦτο δικαιοῦσθαι.
συνῆκεν οὖν ὁ βασιλεύς, ᾐδέσθη, κατῃσχύνθη,
ἀπέσχετό τε τοῦ λοιποῦ ταύτης τῆς ἀφροσύνης.
καὶ τοῦτο μὲν εἰς ἀγαθὸν κατέληξε τὸ τέλος,
ὡς ἄρα γε τρισεύδαιμον καὶ μέρος εὐποτμίας
εὔνοις ἀνθρώποις συνοικεῖν καὶ καθαρῶς φιλοῦσι
καὶ μὴ καταρυπαίνουσι τὰ τῆς φιλαλληλίας.
Ἔτι σκηπτροκρατοῦντος δὲ τούτου τοῦ βασιλέως,
C ἀφυπνισθέντες ὤφθησαν ἐξ ὕπνου μακρολέκτρου
ἑπτὰ καρτερικώτατοι μάρτυρες νεανίαι.

2720 τούτῳ A 2721 τῇ γραφῇ R 2722 ταῦτα] δῆθεν M
2730 συνῆκε γοῦν AMR

fratre nihil se proficere cerneret, huiusmodi quiddam instituit ac molita est. excogitatis ingeniose rationibus fratrem circumvenit, literas fingit, in quibus perscriptum foret imperatorem Pulcheriae sorori coniugem suam veluti mancipium quoddam donasse. hanc chartam fratri offert, rogat hanc scripturam literis imperatoriis munire ac subsignare velit. imperator precibus sororis annuit, mox calamum prehendit manu, et exaratis purpurei coloris literis chartam confirmat. Pulcheria literas manu fratris subscriptas insignis lucri loco accipit, et imperatricem instar coëmpti pretio mancipii secum abducit. cum Theodosius a sorore iniuria se diceret affici gravissima, literas imperatoris illa vicissim proferre, seque dicere fretam his optimo iure quod faceret facere. tum vero rem imperator intelligere, pudore suffundi, ab eiusmodi stultitia deinceps sibi cavere, factum ipsum denique praeclarum ad finem tendere. nimirum in magna felicitatis parte collocandum est, si quis inter homines benevolos, vitae purae studiosos, amorem mutuum labe nulla contaminantes degat.

Ceterum imperatore Theodosio rerum potiente septem illi iuvenes, martyres tolerantissimi, de somno longissimo experrecti ac vulgo con-

τὴν λύσσαν γὰρ ἐκφεύγοντες τοῦ δυσσεβοῦς Δεκίου,
εἰς σπήλαιον αὐτόροφον ὁμοῦ συνεισελθόντες
τοῖς ὄροις παρακείμενον πόλεως Ἐφεσίων,
βαθὺν καὶ μακροκοίμητον ἦσαν ὑπνοῦντες ὕπνον.
ἀφυπνισθέντες τότε δὲ καὶ τοῖς πιστοῖς γνωσθέντες
καὶ τιμηθέντες παρ' αὐτῶν καὶ παρὰ βασιλέως
τὸν νήγρετον κατέδαρθον καὶ τελευταῖον ὕπνον.

Σεισμῶν ἀλλεπαλλήλων δὲ γῆν κινούντων ῥιζόθεν
καὶ συσσειόντων τὰς ψυχὰς ἀνθρώπων καὶ δονούντων,
καὶ πλήθους τοῦ φιλευσεβοῦς θεὸν ἱλεουμένου, D
αἴφνης παιδίον ἁρπαγὲν μέχρις αἰθέρος ἄνω
τὸν ὕμνον τὸν τρισάγιον ἤκουσεν ὑπ' ἀγγέλων.
ἔμπαλιν δὲ κατενεχθέν, βαβαὶ φρικτῆς ἰσχύος!
ἐν μέσοις ἐξεβόησε πῶς χρὴ τὸν ὕμνον πλέκειν·
ἦσαν καὶ γὰρ οὐ πρὸ πολλοῦ πρὸς τοῦτον ἐσφαλμένοι.

Οὗτος ὁ Θεοδόσιος παρὰ τοῦ Χρυσαφίου
ἀπατηθεὶς καὶ πικρανθεὶς κατὰ τῆς Πουλχερίας
πολλαῖς πολλάκις πειρασμῶν κατέκνισεν ἀκάνθαις
τὴν πάσαις κατακόσμητον τῶν ἀρετῶν ἰδέαις.
εὐνοῦχος δ' ἦν Χρυσάφιος, ἀλάστωρ, κακοήθης,
ἐξάγιστος καὶ φόνιος καὶ βδελυρὸς τοὺς τρόπους·
οὗ τὴν κακίαν ὁ κρατῶν ὡς ὕστερον ἐπέγνω, P 57
δημεύσας τὸν κατάρατον καὶ πένητα ποιήσας

2749 ἁρπαχθὲν R 2752 λέγειν R 2755 μετὰ A 2759 φθόνιος R

specti sunt. nam ut Decii furorem evitarent, in nativam specum haud procul ab Ephesina urbe sitam sese contulerant, ibique gravi et prolixo somno consopiti quieverant. hoc autem excitati tempore ac fidelibus agniti, simulque tam ab ipsis quam imperatore magno in honore habiti, rursus inexcitabili postremoque sopore correpti fuerunt.

Eodem imperante cum continui terrae motus omnia passim funditus succuterent unaque mortalium animos percellerent, accidit ut religiosa multitudine precibus deum placante puer quidam subito ad ipsum usque caelum abreptus hymnum illum sanctissimum ab angelis concini audiret. deinde relatus in terram (proh vim roburque stupendum) in medio mortalium coetu clarissima voce docuit quo pacto hymnum illum cani oporteat. quippe non ita pridem in ea peccatum fuerat.

Hic Theodosius a Chrysaphio deceptus et adversus Pulcheriam exacerbatus saepenumero multis tentationum spinis ornatam omni virtutis genere mulierem pungebat. erat autem ille Chrysaphius eunuchus, communis hominum pernicies, improbus, impuris sanguinariis exsecrandis moribus; cuius nequitiam ubi deinceps imperator cognovisset, publicatis bonis hominem ad paupertatem redactum aequissima lata sententia solum

ὑπερορίᾳ χαλεπῇ παρέπεμψεν ἐνδίκως.
ἤδη δὲ χρέος τὸ κοινὸν τοῦ Θεοδοσίου δόντος
καὶ τὴν τοῦ σώματος πηλὸν εἰς γῆν ἀποθεμένου,
κρατήσαντος ἐν ἔτεσι τριάκοντα τρισί τε,
εἰς Πουλχερίαν τὴν καλὴν τὸ κράτος μεταβαίνει,
ἥ τις σοφῶς καὶ συνετῶς ἄγαν βουλευσαμένη
ὡς βασιλέως χρῄζουσι τὰ πράγματα Ῥωμαίων,
μετακαλεῖται τὸν χρηστὸν Μαρκιανὸν αὐτίκα,
ἄνδρα σεμνοῖς ἐμπρέποντα καὶ φιλοθέοις τρόποις,
καὶ καταδήσασα φρικτοῖς καὶ βαρυτάτοις ὅρκοις
B ἀδιαλώβητον αὐτῆς τηρῆσαι τὴν ἁγνείαν,
καὶ συγκατατιθέμενον εὑροῦσα καὶ τὸν ἄνδρα,
τὸ στέφος περιτίθησιν αὐτῷ τῆς βασιλείας,
τὸν δὲ Χρυσάφιον πικρῷ θανάτῳ καθυπάγει.
Πάντως δ' οὐκ ἄκαιρόν ἐστιν, οὐδὲ τῆς τέχνης πόρρω,
εἰπεῖν περὶ Μαρκιανοῦ πόθεν καὶ τίς ὑπῆρχε.
πένης μὲν ἦν καὶ ταπεινός, ἀλλὰ χρηστὸς τοὺς τρόπους·
οὐκ ὢν δὲ γένους εὐκλεοῦς, οὐδὲ τῶν ἐπισήμων,
ταῖς τάξεσι συνείλεκτο ταῖς τῶν στρατευομένων.
ἄρτι δὲ νέφους ἰσχυρᾶς μάχης ἀναρραγέντος
καὶ Πέρσαις τοῖς ὑπέρφροσιν ἐπάγοντος Ῥωμαίους,
νόσῳ ληφθεὶς Μαρκιανὸς θάνατον ἀπειλούσῃ
ἔν τινι κώμῃ τῆς λαμπρᾶς Λυκίων ἐπαρχίας
C κατέμεινε σωματικῆς χάριν νοσοκομίας,
ἔνθα φιλίαν ἐσχηκὼς πρός τινας αὐθομαίμους

2780 συνείλκετο A

vertere iussit. cum autem communo debitum naturae Theodosius persolvisset, iamque pulverem corporis in terram deposuisset, ad egregiam illam Pulcheriam imperium pervenit. ea vero sapienter admodum re deliberata, et animadverso rem Romanam imperatoris egere, mox bonum illum Marcianum arcessit, virum gravibus ac religiosis moribus illustrem, eumque sacramentis horrendis obstrictum, quibus se castitatem Pulcheriae minime contaminaturum polliceretur (in quo sane Marcianum promptum et assentientem repperit), imperatoria corona exornat. Chrysaphium vero peracerba morte de medio tollit.

Atque hoc loco non intempestive fecerimus, si de Marciano memoriae prodiderimus, unde prognatus et quis fuerit. nimirum pauper erat et humili quidem ortus loco, sed indole moribusque bonis praeditus. et quanquam ex celebri et illustri familia non esset, tamen consecutus fuerat ut militum ordinibus adscriberetur. forte accidit ut bello inter Romanos et superbos Persas exorto Marcianus gravi correptus morbo, qui mortem ei minitaretur, quadam in urbe illustris Lyciorum provinciae propter debilitatem corporis subsisteret. ibi amicitia cum fratribus qui-

συνῆν καὶ συνδιέτριβεν ὡς φίλος παρὰ φίλοις,
καὶ τῆς δεούσης παρ' αὐτῶν προνοίας ἠξιοῦτο.
τούτοις πρὸς κυνηγέσιον ποτὲ πορευομένοις
Μαρκιανὸς συνείπετο τῆς θήρας κοινωνήσων·
ὡς οὖν διάβροχοι πολλοῖς γεγόνασιν ἱδρῶσι,
πρὸς λόφους ἀνατρέχοντες δυσβάτους θηροτρόφους
καὶ λόχμας ὑποτρέχοντες καὶ πολυπραγμονοῦντες,
κατακλιθέντες ἐπὶ γῆς νήδυμον ὕπνον ὕπνουν.
ἅτερος δὲ τῶν ἀδελφῶν ἀφυπνισθεὶς ταχέως
ὁρᾷ καταδαρθάνοντα Μαρκιανὸν εἰσέτι
καὶ φέροντα βαθύτατον ὕπνον ἐν τοῖς βλεφάροις,
ὄρνιν δὲ τανυσίπτερον, ὀρνεοκράτην ὄρνιν, D
ἀεροπόρους πτέρυγας ἰδίας ἡπλωκότα
καὶ χαριζόμενον σκιᾶς αὐτῷ ψυχαγωγίαν.
οὕτω τι μέγα καὶ σεπτὸν ἡ βασιλεία χρῆμα,
αὐτοῖς ἀξιοτίμητον τοῖς ζῴοις τοῖς ἀλόγοις·
οὕτως αἰδεσιμώτατος ὀρνέοις σαρκοβόροις
ὁ ταύτην ἀναζώσασθαι θεῷ προωρισμένος.
βλέπει, θαυμάζει τὸ συμβάν, τὸν ἀδελφὸν ἐγείρει,
δεικνῦσι τὸ τεράστιον, ἀμφότεροι θαμβοῦνται,
καὶ νήψαντι Μαρκιανῷ μετὰ μικρὸν ἐξ ὕπνου
τὸ σκῆπτρον προαγγέλλουσι τῆς αὐτοκρατορίας,
καὶ σφῶν ἐπιμνησθήσεσθαι λιτάζονται τὸν ἄνδρα.
ὁ δ' ἐπινεύει καὶ χρηστὰ καθυπισχνεῖται τούτοις.
καὶ δὴ χρυσίον ἱκανὸν ἐκείνων δεδωκότων P 58

2804 ἀναζώσεσθαι M   2808 σκηπτροκρατορίας M   2809 λιτάζουσι R

busdam inita familiariter apud eos vivebat, suppeditantes ipsi quae ad vitam sustinendam pertinerent. cum autem aliquando venatum exirent, eisque Marcianus se comitem venationis adiungeret, ac iam propter sudores maderent, dum hinc inde cursu conscendunt difficiles aditu colles, ferarumque lustra curiose pervestigant, evenit tandem ut in terram reclinatis corporibus cum voluptate somnum caperent. tum fratrum alter citius experrectus Marcianum quidem adhuc dormientem conspicit, volucrum vero reginam explicatis alis umbram ei praebentem. adeo magnum et augustum quiddam est imperium, ut ipsa quoque bruta honorem ei deferant: adeo volucres etiam crudivorae venerantur hominem, cui divinitus est concessum ut imperio potiatur. cernens igitur ille quid accideret, obstupescit, fratrem excitat, prodigium ei monstrat: utrique res admirationi est. neque multo post experrecto Marciano imperium pollicentur, simul orantes ut ipsorum aliquando recordaretur. annuit ille precibus, ac vicissim utrique se benefacturum promittit. tandem auro, quan-

ἀπάρας πρὸς τὴν Βύζαντος εὐκλεεστάτην πόλιν
Ἀρδαβουρίῳ πρόσεισι τῷ πολυχρυσοτάτῳ.
ἦν δ' ἄρχων Ἀρδαβούριος ἁπάντων τῶν ταγμάτων,
συστράτηγον τὸν Ἄσπαρα καὶ συστρατάρχην ἔχων,
μεθ' οὗ καὶ συναπέπλευσε κατὰ τοῦ Γιζερίχου.
ἦν δ' ἄρχων ὁ Γιζέριχος Λιβύων Οὐανδήλων,
ᾧ πολεμοῦντος Ἄσπαρος ἐκ γῆς ἀπὸ θαλάττης,
ἐξ ἱπποτιῶν ἀπὸ πεζῶν, ἀπὸ θαλασσοπλόων,
καὶ καρτερᾶς τῆς προσβολῆς Λιβύων γενομένης,
καὶ τῆς Ῥωμαίων φάλαγγος ἐπὶ φυγὴν βλεψάσης,
ζωγρεῖται καὶ Μαρκιανὸς σὺν ἄλλοις οὐκ ὀλίγοις,
B καθείργνυταί τε σὺν αὐτοῖς ἐν δόμοις Γιζερίχου.
θελήσας οὖν Γιζέριχος ἰδεῖν τοὺς δορυκτήτους
ἄνωθεν στὰς ἐφ' ὑψηλοῦ τοὺς ἄνδρας ἐπεσκόπει,
καὶ βλέπει πρᾶγμα δύσπιστον, Μαρκιανὸν ὑπνοῦντα
καὶ δυσμηχάνητον αὐτῷ σκιὰν σκευαζομένην
ὑπὸ πτερύγων ἀετοῦ. τοῦτο θαμβεῖται βλέψας,
θεῖόν τινα λογίζεται τὸν ἄνδρα χρηματίζειν
καὶ τῆς ἀρχῆς κατάξιον Ῥωμαίων καὶ τοῦ κράτους.
κτεῖναι μὲν οὖν ἀπάνθρωπον ἄνδρα τοιοῦτον κρίνει,
προβεβλημένον ἄνωθεν εἰς βασιλείας ὕψος
(τὸν γὰρ θεοῦ ταῖς κραταιαῖς φρουρούμενον παλάμαις
τίς ἂν ἰσχύσειε θνητῶν ὀλέσαι πρὸ τῆς ὥρας;
ἂν ἡ θεοῦ μεγαλαλκὴς χείρ σε περιφρουροίη,

2817 Οὐανδάλων AM 2820 κρατερῶς A, κρατερᾶς M συμπλοκῆς R 2825 ἀφ' R 2827 σκιαζομένην R 2834 βροτῶν R

tum satis esset ab eis accepto, Byzantium proficiscitur, atque ibi Ardaburium, hominem longe opulentissimum, accedit. erat autem hic Ardaburius omnium copiarum imperator, et in eo munere collegam Asparem habebat; quocum Marcianus militatum abiit adversus Gizerichum Africanorum Vandilorum regem. eum cum Aspar oppugnaret terra et mari peditum equitumque copiis, et accideret quodam tempore ut Afri gravissimo cum impetu hostem invaderent ac Romana phalanx fugae se mandaret, forte Marcianus cum multis aliis vivus in hostium potestatem venit. itaque cum commilitonibus in Gizerichi domum perductus carceri mancipatur. cum autem Gizerichus aliquando captivos spectare vellet, eaque de causa in sublimi regiae parte consisteret, incredibile quiddam cernit, dormientem scilicet Marcianum, cui suis alis umbram aquila suppeditaret. ad eam rem obstupescit, divinum hominem esse Marcianum colligit imperioque Romano dignum. quamobrem immaniter se facturum statuit, si virum talem occideret, cui caelitus imperium destinaretur. nimirum hominem quem robustae dei manus custodiunt, quis mortalium possit ante diem e medio tollere? si fortissima dei manus te protegat, ferrum non

οὐ δειλιάσῃς σίδηρον, οὐ ξίφος ὑποτρέσῃς, C
οὐ πῦρ, οὐ θυμοβάρβαρον, οὐ μιαιφόνον ἦθος)·
μεταστειλάμενος δ' αὐτὸν ὅρκοις καταλαμβάνει,
ἂν τῶν Ῥωμαίων ἄρξειεν, ἂν τεύξοιτο τοῦ κράτους,
μὴ πολεμῆσαι Λίβυσι, μὴ μάχην συγκροτῆσαι.
οὕτω καὶ βάρβαρος ἀνὴρ αἰδεῖται βασιλείαν,
καὶ τοὺς θεόθεν τιμητοὺς καὶ θηριῶδες ἦθος
σεβάζεται, φιλάνθρωπον αὐτοῖς ἐπεντρανίζων.
ἐκεῖθεν οὖν ἀπολυθεὶς ἀπὸ τοῦ Γιζερίχου
πρὸς τὴν Κωνσταντινούπολιν αὖθις ἐπανατρέχει,
καὶ γῆθεν μεταλλάξαντος ἤδη Θεοδοσίου
ἄναξ ἀναγορεύεται κρίσει τῆς Πουλχερίας
καὶ τῶν Ῥωμαίων ἀρχηγὸς καὶ κράτωρ αὐτοκράτωρ.
ἦν δ' ἀγαθὸς καὶ συνετός, ἀστεῖος, φιλοσώφρων,
δένδρον χαριτοφύτευτον, ἄλσος χρηστοτροπίας. D
ἓξ δὲ καλῶς ἐν ἔτεσι τὰ σκῆπτρα διιθύνας,
χοῒ τὸν χοῦν παρέδωκε, τὸ πνεῦμα τῷ κυρίῳ.
Ὡς δὴ τὸν χοῦν ἀπήτησεν ἡ φύσις ἀπὸ τούτου
καὶ μνήματι κατέκλεισε τὸ γηγενὲς σαρκίον,
ἡ σύγκλητος σὺν Ἄσπαρι τῷ τότε πατρικίῳ
εἰς Λέοντα μετάγουσι τὴν σκηπτροκρατορίαν,
τὸν φροντιστὴν καὶ λογιστὴν τῶν Ἄσπαρος πραγμάτων,
καθυποσχόμενον αὐτῷ θατέρου τῶν υἱέων
τῷ στέφει τῷ τοῦ Καίσαρος τὴν κεφαλὴν κοσμῆσαι·

2836 περιτρέσῃς R 2839 τεύξηται R, τεύξεται AM v. 2840 om M 2841 βασιλέα R 2846 καταλλάξαντος R 2848 τῆς A, γῆς RR 2852 παρέθετο RR 2853 δὲ RR, γοῦν A 2858 θάτερον MRR

metues, gladium non formidabis, non ignem, non barbaros et sanguinarios animos. itaque Gizerichus arcessitum ad se Marcianum sacramentis obstringit, quibus se polliceretur, si quidem aliquando Romanum ad imperium perveniret, Afros bello nequaquam vexaturum. sic et barbarus imperium reveretur, indolesque ferina colit homines divinitus ornatos, eosque perhumaniter intuetur. hoc modo dimissus a Gizericho Cpolin revertitur; cumque terras Theodosius reliquisset, de iudicio et sententia Pulcheriae imperator renuntiatur. erat autem vir bonus prudens civilis modestus; adeoque velut arbor ab ipsis Gratiis consita, et virtutum probitatisque quoddam quasi nemus. ubi praeclare sex annos potitus sceptris fuisset, terram terrae, animam domino reddidit.

Posteaquam vivendi finem fecisset, senatus una cum Aspare patricio Leoni tradit imperium, qui Asparis rationes atque negotia procurabat, cum quidem promisisset Aspari se utrumque filium eius Caesaris digni-

οὐδὲ γὰρ ἦν τὸν Ἄσπαρα κράτους ἐπιλαβέσθαι
τῇ λύσσῃ κατεχόμενον Ἀρείου τοῦ βεβήλου.
P 59 οὕτω πολλάκις ταπεινοὺς ἐργάζεται τὸ κέρδος,
οὕτως ἐλπίδες πλάζουσι τὰς τῶν ἀνθρώπων φρένας.
τούτῳ ποτὲ τῷ Λέοντι καλῶς φιλευσεβοῦντι
ἀνὴρ σοφίας θησαυρὸς ὡς Ἕλλην διεβλήθη,
τὴν κλῆσιν Ἰσοκάσιος, κοιαίστωρ τὴν ἀξίαν·
κἀντεῦθεν ἀπογυμνωθεὶς τιμῆς τε καὶ χρημάτων
ἐπάρχῳ τῷ τῆς πόλεως ἐκδίδοται πρὸς κρίσιν.
ὡς οὖν εἰσήγετο γυμνὸς ὡς δοῦλος μαστιγίας,
ὡς χειροδέσμητος λῃστὴς περιηγκωνισμένος,
ὁ δικαστὴς ἀνέκραγεν, ἐπεγγελῶν τῷ πάθει,
"γινώσκεις, Ἰσοκάσιε, πόθεν ἐξεκυλίσθης,
καὶ ποῦ σε νῦν κατήγαγεν ὁ κύβος ὁ τῆς τύχης;"
B ὁ δὲ σὺν παραστήματι καρδίας ἐλευθέρῳ
εὐθήκτους ἐποιήσατο τούτῳ τὰς ἀποκρίσεις.
"οἶδα τὸ πολυπλάνητον τῆς τύχης τῆς ἀστάτου,
καὶ σύνοιδα μηδέν τί με καινὸν καθυποστῆναι·
θνητὴν γὰρ περικείμενος καὶ γεηρὰν οὐσίαν
ὑπέπεσον καὶ πάθεσι φύσεως ἀνθρωπίνης.
σὺ δ' ἐπιγνοὺς τὸν κύλινδρον καὶ τὸν τροχὸν τοῦ βίου
ἐξένεγκε τὴν δίκην μοι τοιαύτην κρινομένῳ,
ὁποίαν κρίνων σὺν ἐμοὶ τὴν ψῆφον ἀπεφαίνου."
ὄχλος οὐκοῦν ὁ παρεστὼς θαυμάσαντες τὸν ἄνδρα,

2860 κράτος R 2864 καλῷ A 2873 κατέστησεν R
2877 μηκέτι με AR 2879 ὑπέπεσα R 2882 ἀπεφήνω A

tate cohonestaturum. quippe fieri nullo modo poterat ut Aspar imperio potiretur, quod exsecrabilis Arii furori addictus esset. sic lucrum nonnunquam homines submissos efficit; sic spes mortalium animos fingunt. apud hunc Leonem, qui de varietate religionis recte sentiebat, quidam aliquando delatus per calumniam fuit quasi ethnicis superstitionibus addictus esset, cum reapse foret doctrinae ac sapientiae quidam quasi thesaurus. erat ei nomen Isocasius, et iam ad honorem quaesturae pervenerat. igitur reus dignitate ac facultatibus spoliatus coram urbano praetore iudicio sistitur; cumque nudus ad illum deduceretur, instar servi verberonis aut latronis colligati, iudex calamitati eius insultans exclamat in haec verba: "iamne agnoscis, Isocasi, unde excideris, et quo te alea fortunae deiecerit?" ad quae ille generoso ac libero prorsus animo respondit "equidem fortunae vagam inconstantiam agnosco, nec mihi quidquam accidere novi fateor. quippe cum mortalis sim, humanae naturae calamitates experior. tu vero defixis in vitae rotam oculis talem fac de me sententiam feras, qualem me collega ferre consuevisti." ad tam sa-

καὶ τὴν σοφὴν ἀπόκρισιν αὐτοῦ καταπλαγέντες
ὡς φιλελεύθερον ὁμοῦ καὶ πλήρη παρρησίας, C
ἐκεῖθεν ἀφαρπάσαντες αὐταῖς σὺν χειροπέδαις
εἰς τὸν ναὸν τὸν ἱερὸν μετὰ κραυγῆς εὐφήμου
ἀπάγουσιν καὶ τῷ λουτρῷ τῷ θείῳ τελειοῦσιν.
ὡς ἄρα πᾶς τῆς ἀρετῆς τὸ χρῆμα δυσωπεῖται,
ἀλλογενής, ἰθαγενής, Ἕλλην, ἀλλόθρους, Σκύθης·
μόνη γὰρ δύναται κοσμεῖν τοὺς ἐραστὰς καὶ σώζειν.
Ὁ μὲν οὖν Ἰσοκάσιος οὕτω κακῶν ἐρρύσθη
ὁ δ᾽ Ἄσπαρ ἐφαπτόμενος χλαμύδος βασιλείου
"ὦ βασιλεῦ" ἐπέλεγε μεθ᾽ ὅσης ἀναιδείας,
"οὐ χρὴ τὸν περικείμενον τὴν πορφυρᾶν χλαμύδα
ψευδηγορεῖν καὶ πλάττεσθαι ματαιοκρότους λόγους.
πλήρου μοι τὴν ὑπόσχεσιν ἣν πάλαι καθυπέσχου,
συνθέμενος ἀναγαγεῖν τὸν ἕνα μοι τῶν παίδων
εἰς ὕψος τὸ τοῦ Καίσαρος καὶ τὴν ἐντεῦθεν δόξαν."
πρὸς ὃν ἀνθυπεκρούετο σοφῶς ὁ βασιλεύων
"οὐ χρὴ τὸν περικείμενον τὴν πορφυρᾶν χλαμύδα
παρά τινος κατάρχεσθαι καὶ δοῦλον χρηματίζειν."
Οὗτος ὁ κράτωρ θησαυροὺς εὑρὼν πολυταλάντους,
ὅλας θαλάσσας εἴπῃ τις καὶ ποταμοὺς χρημάτων,
πόλεμον ἀντεπάγγελτον καὶ μάχην φρικαλέαν D
καὶ στόλον μυριόστολον καὶ ποντοπόρον ὄχλον
καὶ σμῆνος ὑγροκέλευθον καὶ πλῆθος θαλασσόπλουν

2886 αὐτὸν MR 2894 ὅλης M vv. 2896-2901 om M
2897 προϋπέσχου R 2904 ἣ AR 2905 δ᾽ ἀντεπάγγελτον A

piens viri responsum, quod ingenuitatis ac libertatis plenum esset, plebs urbana perculsa et stupefacta vinctum adhuc pedicis hominem inde abripiunt, fausta cum acclamatione sacram ad aedem deducunt, divino lavacro initiari curant. nimirum nemini non virtus est venerabilis, sive sit peregrinus sive incola, sive Graecus sive diversae a Graecis linguae, sive Scytha. nam haec sola sui studiosos ornare servareque potest.

Atque hoc modo Isocasius suae saluti consuluit. caeterum Aspar aliquando chlamyde imperatoris prehensa singulari cum impudentia dixit "non decet, imperator, purpura vestitum mentiri ac vana proferre. quamobrem sta promissis, et quod dudum mihi pollicitus es praesta, cum diceres te alterum e filiis meis ad Caesaream dignitatem atque gloriam provecturum." ad quae verba sapienter admodum imperator "non decet" inquit "purpura vestitum cuiusquam imperio servilem in modum subiectum esse."

Cum autem maximos imperator Leo thesauros nactus esset, bellum Africanis indixit, tantumque non infinitam classem adversus eos et Gize-

κατὰ Λιβύων συγκροτεῖ καὶ κατὰ Γιζερίχου,
καὶ στρατηγὸν ἐφίστησι κράτορα τοῦ πολέμου
τὸν ἀδελφὸν τῆς γαμετῆς Βερίνης Βασιλίσκον.
ἡ στολαρχία τοιγαροῦν ἐφόβει καὶ τοὺς πόρρω,
ἐκάλυπτε τὴν θάλασσαν τοῖς λαίφεσι τῶν πλοίων,
ἐστενοχώρει τὴν ὑγρὰν σκάφεσιν ἁλιπλόοις.
ἦσαν τοξόται, πελτασταί, ναυμάχοι, πεζομάχοι,
ὑπὲρ τὴν ἄμμον εἰς πληθύν, τὸ θράσος ὑπὲρ θῆρα.
P 60 ἀλλὰ τυραννικώτατον τὸ σθένος τοῦ χρυσίου,
ἀλλὰ δυναμικώτερον μυρίων στρατευμάτων.
τοῦτο καὶ πόλιν εὔπυργον ἐκ βάθρων ἀνασκάπτει,
τοῦτο καὶ δόμους ὄλλυσι, τοῦτο κἂν τοῖς πολέμοις
ὅλων ἐθνῶν ἀφανισμὸν καινοτομεῖν ἰσχύει,
καὶ πάντα δύναται κυκᾶν καὶ στρέφειν καὶ συγχέειν.
ἄφυκτόν ἐστι βέλεμνον, βάλλει κατὰ καρδίας,
καὶ χειροδέσμη δύσλυτος, ἄρρηκτος ποδακάκη.
δύναται γλῶσσαν ἄφωνον τιθέναι λαλιστάτην
καὶ στόμα τὸ περίτρανον εἰς ἀφωνίαν τρέπειν.
τούτῳ συμμάχῳ χρώμενος Γιζέριχος ὁ Λίβυς
τὸν τηλικοῦτον ἴσχυσε καταποντῶσαι στόλον.
B ὁ Βασιλίσκος γὰρ πολλῷ φαρμακευθεὶς χρυσίῳ
ἔβλεψε πρῶτος εἰς φυγὴν κατὰ τὰς ὑποσχέσεις,
κἀντεῦθεν ἀνετράπησαν τὰ πράγματα Ῥωμαίοις,
καὶ τὸν Ἰνδοὺς φοβήσαντα καὶ τοὺς ἐν Βρεττανίᾳ
καὶ πᾶν ἔθνος καὶ πᾶσαν γῆν στόλον τὸν φρικαλέον

2915 ἡ πληθὺς M 2919 δήμους RR 2930 ἀνετράπετο M 2931 τὸν RR

richum regem misit, praefecto copiis imperatore Basilisco, Verinae coniugis fratre. haec classis etiam longissime dissitis terrori erat, quippe quae navigiis ipsum mare cooperiret artumque redderet. et continebat sagittarios cetratos classiarios milites, pedites arenam multitudine superantes, audacia belluas. verum enimvero violentissima vis auri est, et sexcentis exercitibus potior. aurum enim potest urbem turribus egregie munitam de fundamentis evertere: aurum in bellis nationes integras delere potest et omne malum inferre conturbare subvertere confundere. telum est inevitabile, quod corda petit; indissolubilis est manica, et cippus qui frangi nequit. linguam mutam maxime garrulam efficere potest, ac vicissim os clare loquens mutum reddere. huius ope Gizerichus Libyae rex utens tantam classem demergere ac abolere potuit. quippe multo Basiliscus auro corruptus primus uti convenerat, fugam arripuit; unde factum ut res Romana subverteretur. nimirum classem illam, quae pariter Indos atque Britannos formidine perculerat omnibusque per or-

μόνη χρυσίου στιλβηδὼν ἴσχυσεν ἀφανίσαι
ἄνευ χειρῶν, ἄνευ βελῶν, ἄτερ ὁπλοφορίας.
Καὶ ταῦτα μὲν συνέβησαν Ῥωμαίοις ἐν Λιβύῃ·
ὁ δὲ Ῥωμαίων βασιλεύς, οὗτος αὐτὸς ὁ Λέων,
οὐκ εὐτυχήσας ἄρρενος γόνου πατὴρ γενέσθαι,
τὴν θυγατέρα ζεύγνυσι Ζήνωνι πατρικίῳ,
ἐξ Ἰσαυρίας ἕλκοντι τὰς ῥίζας τὰς τοῦ γένους.
τῇ δὲ παιδὶ τοῦ Λέοντος κλῆσις ἦν Ἀριάδνη.
ἐκ ταύτης δὲ τῷ Ζήνωνι παῖς ἄρρην ἐκυήθη C
Λέων ὀνομαζόμενος, ὁμώνυμος τῷ πάππῳ·
ὅνπερ καὶ προσλαβόμενος ὁ βασιλεὺς καὶ πάππος,
καὶ παριδὼν τὸν Ζήνωνα καὶ φίλτρον θυγατρίον,
χειρίζει τῷ θυγατριδῷ τῆς βασιλείας σκῆπτρα.
δυσεντερίᾳ γὰρ ληφθεὶς οἴχεται σὺν τῇ νόσῳ,
ἔτεσι δέκα πρὸς ὀκτὼ Ῥωμαίων βασιλεύσας.
ἀλλὰ γὰρ οὗτος πρὸς μικρὸν γευσάμενος τοῦ κράτους
γῆθεν ἀπῆλθε τάχιον, Ζήνωνα τὸν πατέρα
καταλιπὼν διάδοχον τῆς αὐτοκρατορίας.
Οὗτος ὁ Ζήνων οὐ καλῶς εἶχε περὶ τὸ σέβας,
καὶ γοῦν πολλὰς καὶ χαλεπὰς ἐπήγαγε κακώσεις
ἅπαντι τῷ πληρώματι τῆς εὐσεβοῦς ἀγέλης.
Τότε πολλὰ ταυτοπαθῆ τόποις ἐν διαφόροις D
συνέπεσε παθήματα πολλοῖς τῶν βασιλέων.
Καβάδης μὲν ἐν Περσικῇ, Νέπως δ' ἐν ἑσπερίοις,
ὁ Ζήνων ἐν Ῥωμαίοις τε πεπτώκασι τοῦ κράτους.

2937 γονῆς M 2945 τῆς] τά?

bem terrarum nationibus terrori fuerat, solus auri splendor disperdere et abolere potuit absque manibus absque telis absque armis.

Haec in Libya Romanis accidere. caeterum hic ipse Romanorum imperator Leo, cum tantum felicitatis non fuisset adeptus ut masculae sobolis pater esset, filiam suam, cui nomen erat Adriana, Zenoni patricio, qui generis originem ex Isauria ducebat, in matrimonium collocavit. ex ea Zenoni natus est filius Leo, cognominis avo imperatori. huic nepoti suo, Zenone filiaque praeteritis, avus imperium tradidit. atque inde correptus intestinorum morbo vitam amisit, imperio Romanorum duobus de viginti annis administrato. verum ille perexiguum ad tempus imperio degustato rebus terrenis excessit, et Zenonem patrem in imperio successorem reliquit.

Erat Zenonis in religione parum recta sententia; quamobrem saepe ac graviter universum gregem piorum vexabat.

Id temporis variae calamitates diversis in locis aliquot regibus accidere. Cabades in Persia, Nepos in Occidente, Zeno apud Romanos

ἀλλ᾽ ὁ μὲν Ζήνων ἴσχυσε πάλιν ἐπιλαβέσθαι
τῆς ὑψιβάμονος ἀρχῆς, ἀλλά γε καὶ Καβάδης·
τὸν Νέπωτα δ᾽ οὐκ ἔβλεψεν ἡμέροις ἐν βλεφάροις
τῆς τύχης τὸ παλίντροπον τῆς ἐπιβουλευσάσης.
ὁ γοῦν φιλοχρυσότατος ἐκεῖνος Βασιλίσκος
καὶ κατὰ Ζήνωνος ἰὸν ἐξέχει κακίας,
καὶ βασιλίσκου γέγονε πικρότερος ἐν ἔργοις,
καὶ προσεταιρισάμενος συμμάχους καὶ προμάχους
ἐπήρχετο τῷ Ζήνωνι πυρὶ θυμοῦ καχλάζων.
P 61 Ζήνων δὲ φόβῳ συσχεθεὶς καὶ σαλευθεὶς τὰς φρένας
σὺν Ἀριάδνῃ γαμετῇ φεύγει πρὸς Ἰσαυρίαν·
περὶ ψυχῆς γὰρ ἔτρεχεν, ἀλλ᾽ οὐ περὶ χρημάτων.
ὡς ἄρα τιμιώτερον ψυχῆς οὐδὲν ἀνθρώποις,
οὐ κράτος τὸ βασίλειον, οὐ θάλασσαι χρημάτων.
ἀπονητὶ γοῦν εἰσελθὼν (οὐδεὶς γὰρ ἦν κωλύων)
τὸ στέφος περιτίθεται καὶ κράτωρ χρηματίζει.
ἀλλὰ γὰρ οὐκ ἀνέχονται τὰ πράγματα πολλάκις
συμπαραμένειν εἰς πολὺ τοῖς θέλουσιν ἁρπάζειν,
ἀλλὰ μεθίστανται ταχὺ καὶ φεύγουσιν ἐκ τούτων,
B ὥσπερ ἀναγνωρίζοντα σὺν χρόνῳ τοὺς δεσπότας.
ἐπὶ δυσὶ γὰρ ἔτεσι καὶ μόνοις αὐταρχήσας
ὁ Βασιλίσκος ὁ δεινός, Ζήνωνος ἐπελθόντος
καὶ πάντας δελεάσαντος ἐλπίσι φιλοτίμοις,
καὶ σὺν αὐτοῖς τὸν στρατηγὸν (Ἁρμάτιος ἦν οὗτος,

2965 ὑπερμάχους AR 2969 ἔτρεμεν AR 2970 οὐδὲν ψυχῆς R 2971 θάλασσα M 2974 ἀνέχεται R 2981 δ᾽ ἦν R

imperiis spoliati deiectique sunt. ac Zeno quidem recuperare potuit amissum imperium, similiterque Cabades: verum insidiatricis fortunae vicissitudo Nepotem benignis oculis non respexit. igitur opulentissimus ille Basiliscus contra Zenonem venenum improbitatis evomuit, ac reapse basilisco se acerbiorem declaravit. quippe adiunctis sibi pugnacibus sociis, magno cum animi furore Zenonem invasit. ille vero metu correptus et mente perturbata cum Ariadna coniuge in Isauriam fugit. etenim de vita, non opibus laborandum sibi putabat. nimirum nihil est maioris apud homines pretii quam vita: non regia potestas, non maria quaedam divitiarum et opum. hoc modo citra laborem Basiliscus urbem ingressus, quod esset nemo qui vetaret, imposita capiti corona imperator renuntiatur. enimvero accidere plerumque solet ut imperia non diu maneant apud illos qui ea rapuerunt, sed avolent cito quasique aufugiant, tanquam si paulatim dominos incipiant agnoscere. sic ubi solum biennium rebus praefuisset atrox ille Basiliscus, Zenone revertente grataque spe cunctos inescante, praesertim ducem copiarum Basilisci Harmatium, cuius filium

οὗ τὸν υἱὸν ἐπάμοσε Καίσαρος στέφει στέψαι),
πάντοθεν ἀπορούμενος, οὐκ ἔχων ὅτι δράσει,
σὺν Ζηνωνίδι γυναικὶ θείῳ ναῷ προστρέχει.
οὗπερ ἐκεῖθεν ἐξελὼν ὁ βασιλεὺς ὁ Ζήνων,
προκαταδήσας ἑαυτὸν ὅρκοις φρικωδεστάτοις
ὡς οὐκ ἐπάξει φόνιον ξίφος τοῖς σφῶν τραχήλοις,
ὑπερορίους τίθησιν ἐν ὀχυρῷ φρουρίῳ, C
ἔνθα συγκλείσας ἔν τινι πυργίσκῳ στερεμνίῳ,
καὶ λίθοις εὐμεγέθεσι τὴν εἴσοδον προσχώσας,
λιμῷ καὶ δίψει τοὺς κακοὺς κακῶς ἐξαφανίζει.
καλῶς δὲ κρατυνόμενος αὐτῷ τὴν βασιλείαν
τὸν μὲν Ἁρμάτιον οἰκτρῷ θανάτῳ παραπέμπει,
προδότην δολομήχανον φανέντα τῷ δεσπότῃ,
πληροῖ δὲ τὴν ὑπόσχεσιν, καὶ τὸν ἐκείνου παῖδα
κατακοσμεῖ τῷ Καίσαρος ὀλβιωτάτῳ στέφει.
μετ᾽ οὐ πολὺ κἀκείνου δὲ τὰς τρίχας ἀποκείρας
ἐφίστησι Κυζικηνοῖς ἀρχιερέα βίᾳ.
Τούτῳ ποτὲ τῷ βασιλεῖ προεῖπεν ἀστρολέσχης
ὡς τελευτᾷς μετὰ βραχύ, καί σου τὴν βασιλείαν
λήψεται καὶ τὴν σύνοικον ἀνὴρ ἐκ τῆς συγκλήτου. D
τοῦτο μαθὼν ὁ βασιλεὺς ἀπώλεσε τοὺς πλείους
τῶν τῆς συγκλήτου, τοὺς λαμπροὺς καὶ τοὺς εὐτυχεστέρους.
ἀλλὰ τὴν ἄμαχον ἰσχὺν τῆς τοῦ θεοῦ προνοίας
οὐδεὶς ἰσχύσει γηγενὴς ἄπρακτον ἀπελέγξαι.

2983 δρᾶσαι R 2986 καὶ καταδήσας A 2987 τοῖς σφῶν] ἑοῖς A 2993 οἰκτρῶς θανάτῳ καθυπάγει A 3004 τὴν οὖν ἀμήχανον R 3005 γηγενῶν RR

se corona Caesarea velle redimere iurabat, undique destitutus et quid ageret ignorans, una cum uxore Zenonide divinam ad aedem confugit. inde avulsi a Zenone, qui maxime horribilibus sacramentis se obstrinxerat, et pollicitus fuerat nequaquam se gladio cervices eorum recisurum, in munitum quoddam castellum relegantur. deinde firmam in turrim occlusi, aditque saxis ingentibus obsepto, fame ac siti homines mali male pereunt. secundum haec Zeno praeclare confirmato imperio morte quidem multat Harmatium, qui fraudulentum se proditorem heri sui declarasset: simul autem promisso satisfacit, eiusque filium Caesarem renuntiat. verum non multo post resectis eius crinibus illum per vim Cyzicenorum pontificem facit.

Huic imperatori praedixit aliquando quidam astrologus futurum ut ipse paulo post vita decederet, et coniugem eius una cum imperio vir quidam senatorii ordinis acciperet. hoc intellecto complures imperator senatores, praesertim illustres et opulentos, e medio sustulit. verum inexpugnabilem divinae providentiae vim nemo mortalium unquam coar-

Ζήνων μὲν γὰρ ἐν ἔτεσι δέκα τῆς βασιλείας
πρὸς ἄλλοις ἓξ ἐκράτησεν, εἶθ' ἡρπάγη θανάτῳ.
ὡς γὰρ ὁ Ζήνων ἔλιπε τὸν βίον καὶ τὸ στέφος,
εἰς Ἀναστάσιον φοιτᾷ τὸ τῶν Ῥωμαίων κράτος,
ὃς δίκορος ἐλέγετο· τὴν γὰρ ἑτέραν κόρην
ἔτυχεν ἔχων μέλαιναν, γλαυκόχροον δὲ τὴν ἄλλην.
P 62 ὃς Ἀριάδνῃ συζυγεὶς τῇ πρώην βασιλίδι,
καὶ δόξας ἐννομώτατος εἶναι περὶ τὸ σέβας,
μετὰ μικρὸν ἀνέρρηξε τὸν τῆς κακίας τόκον
καὶ πᾶσαν κακοήθειαν ἐξήνεγκεν εἰς μέσον·
ἦν γὰρ ἀρχῆθεν σπέρματα κατὰ καρδίας ἔχων
τῆς Εὐτύχους αἱρέσεως τοῦ τρισαλιτηρίου.
ἐντεῦθεν λαῖλαψ ζοφερὰ καὶ καταιγὶς ἀγρία
καὶ κλύδωνες βαρύθροοι καὶ ζάλαι καὶ χειμῶνες
τὸ σκάφος συνεδόνησαν τὸ τῆς ὀρθοδοξίας.
ἐντεῦθεν οἱ φιλευσεβεῖς ἀρχιερεῖς ἐκ θρόνων
ἰδίων ἀπηλαύνοντο δίκην λῃστῶν κακούργων.
ἐντεῦθεν ἦσαν συνεχεῖς ὀλολυγμοὶ καὶ θρῆνοι,
πάντῃ βοαὶ καὶ στεναγμοί, πάντῃ στερνοκτυπίαι.
B τὸ πλῆθος δὲ τῶν εὐσεβῶν τόσην κακίαν βλέπον
ἐνύβριζον τῷ κράτορι καὶ διελοιδοροῦντο.
οὕτως οὐκ οἶδεν εὐσεβὴς αἰδεῖσθαι βασιλέας,
ὅτε πρὸς τὴν εὐσέβειαν κίνδυνος ἀνατρέχει,
οὐδὲ λαμβάνει πρόσωπον, οὐδὲ δυνάστας τρέμει.
ὁ τοίνυν Ἀναστάσιος προθυμηθεὶς προσθεῖναι

3008 γοῦν? 3015 ἐξήγαγεν R 3026 Καίσαρι R

guere ceu vanam et inefficacem poterit. quippe cum Zeno sedecim annos regnasset, moritur. cum autem vitam cum corona reliquisset, imperium Romanum ad Anastasium pervenit, cognomento dicorum: nam e pupulis oculorum unam quidem nigram, alteram vero albam habebat. hic cum Ariadna nuper imperatrice matrimonium contraxit, et visus initio rectam de veritate religionis sententiam fovere, non multo post improbitatis fetum in lucem edidit, omnemque nequitiam suam in medium protulit. quippe latebant in eius animo semina sectae Eutychis illius perniciosissimi. hinc ergo caliginosa tempestas et immanis procella rectae doctrinae navim succussit; hinc pii pontifices suis ex thronis instar maleficorum latronum expellebantur; hinc secuti ululatus et continuae lamentationes: ubique quiritationes, gemitus, planctus. piorum vero coetus cum tantam improbitatem cerneret, imperatorem contumeliis affectum insectabatur. nequit enim vir pius imperatorem revereri, cum ipsa religionis pietas in discrimen adducitur: personas non respicit, nec potentia subnixos formidat. igitur Anastasius venenum impietatis apponere

τῆς δυσσεβείας τὸν ἰὸν ὕμνῳ τῷ τρισαγίῳ,
καὶ πᾶν τὸ πλῆθος κατιδὼν εὐθὺς ἀφηνιάσαν
καὶ λιθασμοῖς ἐκ τοῦ ναοῦ τὸν ἔπαρχον ἐλάσαν
καὶ πυρπολῆσαν δυσσεβῶν οἰκίας μεγιστάνων
καὶ κατασφάξαν τοὺς πολλοὺς ὑπασπιστὰς τῆς πλάνης,
ἑκὼν ἀέκων ἔληξε τῆς ῥύμης καὶ τῆς τόλμης,
ὡς ἵππος τις σκληρόστομος ἀσθμαίνων ὑπὸ θράσους
καὶ δαμασθείς, ἂν χαλινοῦ γεύσηται βαρυτέρου. C
Οὗτος καθεύδων ἔδοξεν ἰδεῖν κατὰ τοὺς ὕπνους
ἄνδρα φρικώδη φέροντα χάρτην ἐν ταῖς παλάμαις,
καὶ τοῦτον ἀναπτύξαντα καὶ τὴν Ἀναστασίου
κλῆσιν εὑρόντα πρὸς αὐτὸν φάναι σὺν αὐστηρίᾳ
"τὴν μὲν εὐσέβειαν θεὸς ἰδὼν τὴν Ἐζεκίου
ἐπεφιλοτιμήσατο ζωὴν χρονιωτέραν
καὶ λύτρωσιν ἐκ τῶν ἐχθρῶν καὶ πλατυσμὸν τοῦ βίου·
σὴν δὲ κακίαν μυσαχθεὶς καὶ βεβηλοτροπίαν,
ἐκκόπτων ὑπεξέκοψε τὸν δρόμον τῆς ζωῆς σου,
καὶ χρόνους ἐκολόβωσε τέσσαρας πρὸς τοῖς δέκα."
καὶ ταῦτ' εἰπὼν ἀπήλειψε τούτους ἀπὸ τοῦ χάρτου.
μάστιγι γοῦν ὁ βασιλεὺς βληθεὶς ὀλεθροφόρῳ D
καὶ κεραυνόβλητος φανεὶς μετήλλαξε τὸν βίον,
ἔτεσι πρὸς τοῖς εἴκοσιν ἑπτὰ σκηπτροκρατήσας.
τῷ τάφῳ δὲ κατακλεισθεὶς μετὰ τινὰς ἡμέρας
ὀλολυγὴν ἀνέπεμψεν κάτωθεν ἐκ τοῦ τάφου
καὶ στεναγμὸν περίπικρον ἐκ συνοχῆς καρδίας,

3047 χρόνον RR 3054 ἀνέπεμπε M 3055 ἐκ μέσης τῆς R

volens hymno sanctissimo, posteaquam vidit universam multitudinem mox imperium detrectare, cum quidem lapidibus e templo praetorem exegisset, impiorum procerum aedibus ignem iniecisset, complures erroris propugnatores interfecisset, volens nolens de impetu audaciaque remisit, non aliter atque duri oris equus, anhelans prae ferocia, si frenum durius sentiat, perdomatur.

Visus est autem aliquando per quietem videre virum aspectu perquam horribili, qui chartam manibus teneret, eaque aperta et Anastasii nomine invento severe ipsum verbis huiusmodi compellaret: "deus Ezeciae quidem pietate conspecta, vitam ei longiorem concessit, promissa insuper ex hostibus liberatione: tuam vero nequitiam et profanitatem abominatus, certo vitae tuae tempus praecidit, quattuordecim annos sustulit." his dictis annos illos quattuordecim ex charta delevit. quapropter exitiali plaga percussus imperator et fulmine tactus vivendi finem fecit, annis in imperio 27 exactis. cumque iam conclusus esset in sepulcro, post dies aliquot de ipsa terra et sepulcro eiulatum et lamentationes acerbas ex anxietate cordis emittebat, quibus commiserationem

ἔλεον ἐκκαλούμενος ἀπὸ τῶν φυλασσόντων,
καὶ λιταζόμενος αὐτοὺς ἐκεῖθεν ἀναχθῆναι.
τῶν δὲ φησάντων ἕτερον κράτορα χρηματίζειν,
ἐκεῖνος ἀνθυπήνεγκεν "οὐδείς μοι τούτου λόγος·
μόνον ἐξανοιγήτω μοι τὸ κατηφὲς μνημεῖον,
ὡς τὴν γλυκεῖαν ἴδοιμι λαμπάδα τοῦ φωσφόρου."
P 63 ἀλλ' ἦν οὐδεὶς ὁ συμπαθῶν οὐδ' ἐποικτείρων τοῦτον·
τοῖς γὰρ κακοῖς κἂν τελευτῇ πάντες ἐπεγκοτοῦσι.
συνέβη δὲ μετ' οὐ πολὺ τὸν τάφον ἀνοιγῆναι
καὶ τὸν νεκρὸν τὸν δυστυχῆ πᾶσιν ἐκκαλυφθῆναι,
ἐλεεινόν τι θέαμα, κατάξιον δακρύων·
εὑρέθη γὰρ καταφαγὼν τοὺς τῶν ποδῶν σανδάλους
καὶ τοὺς βραχίονας αὐτοῦ καθάπερ ἀλλοτρίους.
τινὲς δὲ Ζήνωνί φασι συμβῆναι τὰ τοιαῦτα·
πολλάκις γὰρ νοσήματι συνείχετο κατόχῳ,
καὶ θνήσκειν νομιζόμενος αὖθις ἦν ἐν τοῖς ζῶσιν.
'Αλλ' οὐ γὰρ πάντα τὰ κακὰ πρόσεστι τοῖς ἀνθρώποις,
ἀλλὰ συγκίρναταί ποτε καὶ βέλτιστα κακίστοις.
B βέβηλος γὰρ καὶ δυσσεβὴς οὗτος φανεὶς ὁ κράτωρ
ὅμως ἐξώρυξε φυτὸν γῆς πάσης 'Ρωμαΐδος,
οὗ καὶ καρποὶ πικράζοντες καὶ θάνατος ἡ ῥίζα·
ὡς εἴγε μὴ τὸ πρόσκομμα τὸ περὶ τὴν θρησκείαν
ὥσπερ παχὺ καὶ θολερὸν ἀντεπεσκότει νέφος,
τοῦτο καὶ μόνον τὸ καλὸν ἴσχυσεν ἂν συγκρύψαι
τὰς ὅλας ῥυπαρότητας καὶ τὰς ἀκαθαρσίας

3057 ἐξαχθῆναι ARR 3059 ἀντεπήνεγκεν R 3062 τούτοις A
3073 συγκρίνονται M βέλτιστα τοῖς A 3075 τῆς A 3080 ἄγαν R

custodum implorabat, utque se de sepulcro educerent obsecrabat. illis respondentibus alium nunc imperatorem rerum potiri, vicissim subiiciebat "nihil hoc ad me pertinet, modo mihi triste sepulcrum hoc aperiatur, ut dulcem solis luciferi lampadem aspiciam." verum nullus erat qui eius commiseratione tangeretur. quippe malis etiam in morte homines universi succensent. non multo post accidit ut sepulcrum aperiretur et infelix cadaver omnibus ostenderetur, spectaculum sane miserum et lacrimis dignum: inventus est enim pedum suorum digitos una cum lacertis devorasse. sunt tamen nonnulli qui haec Zenoni accidisse tradant: nam illum aiunt frequenter morbo comitiali laborasse, ac mortuum aliquoties creditum rursus revixisse.

At enim non omnia in hominibus mala sunt, sed pessimis interdum optima quaedam miscentur. quippe tametsi Anastasius imperator se profanum et impium hominem declaraverit, tamen plantam quandam ex universa dicione Romana exstirpavit, cuius tam amari fructus erant et radix letifera, ut si quidem religionis offendiculum instar crassae nubis eius

καὶ πάντας τοὺς τραυματισμοὺς τοὺς ἰχωρωδεστάτους
καθάπερ ἀλεξίκακον φάρμακον ὑγιάσαι.
ἦν δὲ τὸ περικόσμημα τοῦ παρανομωτάτου
ἡ πρόρριζος ἀναίρεσις εἰσπράξεως κιβδήλου,
ἣ λέγεται χρυσάργυρον ἀνδράσι φορολόγοις.
τί δὲ καὶ ποῖον τὸ λεχθέν, ὁ λόγος ἱστορήσει.
ἅπας ἀνήρ τε καὶ γυνή, παῖς κόρη τε καὶ βρέφος, C
προσαίτης, ἀπελεύθερος, οἰκέτης, οὐκ οἰκέτης,
ὑπὲρ σκυβάλου κοπρηροῦ καὶ δυσοσμίας οὔρου
ἓν ἐξ ἀργύρου νόμισμα παρεῖχε τῷ ταμείῳ.
τουτὶ δὲ καὶ τοῖς κτήνεσιν ἐπέκειτο τὸ βάρος·
βουσὶ γὰρ ἡμιόνοις τε, καὶ μέντοι καὶ τοῖς ἵπποις.
ὑπὲρ ἑκάστου δὲ κυνός, ὑπὲρ τῶν ὀναρίων
ἓξ φόλλεις κατεβάλλετο τοῦ κτήνους ὁ δεσπόζων.
ὁ τοίνυν Ἀναστάσιος δυσωπηθεὶς ἐντεύξεις
ἀνδρῶν μονήρη καὶ σεμνὸν μετερχομένων βίον,
τοσοῦτον ἄχθος ἤλασε καὶ τηλικοῦτον μύσος,
προθέλυμνον τὸ βλάστημα τὸ τῆς αἰσχροκερδείας
ἐξανασπάσας καὶ πυρὶ δοὺς ἀφανιστηρίῳ.
Ἐπεὶ γοῦν Ἀναστάσιος ᾤχετο κακιγκάκως, D
ἀναιμωτὶ χειρίζεται τοὺς οἴακας τοῦ κράτους
καὶ σκῆπτρον τὸ βασίλειον ὁ πρῶτος Ἰουστῖνος·
λαβὼν γάρ, ὥς φασι, πολὺν χρυσὸν ἐξ Ἀμαντίου
(ὑπῆρχε δὲ πραιπόσιτος Ἀμάντιος ἐκεῖνος)

3081 ἰχωροδεστέρους R 3082 ἡμερῶσαι M, θεραπεῦσαι R 3092 γὰρ] τοῖς MRR 3093 καὶ ὑπὲρ ὀναρίων AR 3097 μίσος RR 3102 ὁ νέος ὁ Ἰουστῖνος M

luminibus non offecisset, hoc unum facinus praeclarum omnes ipsius sordes et impuritates abolere potuerit, omniaque viri saniosa vulnera tanquam praesens remedium sanare. nimirum ornabat improbissimum hominem abolitio perpetua cuiusdam exactionis fraudulentae, quam publicani chrysargyrum (quasi dicas aurargentum) nuncupabant. quid autem et quale fuerit illud, lubet exponere. omnes viri, mulieres, puellae, pueri, infantes, mendici, liberti, servi, liberi, nomine stercoris et urinae fisco nummum argenteum pendebant. idem onus etiam iumentis impositum erat, bobus scilicet, mulis et equis. pro quolibet autem cane ac asino sex folles numerabat is qui canis asinive dominus esset. Anastasius ergo reveritus intercessiones atque preces nonnullorum solitariam religiosamque vitam agentium tantum onus et piaculum abolevit, germine turpis lucri radicitus evulso et igni tradito.

Postea vero quam malus Anastasius mala morte periisset, citra sanguinem potitus imperio primus huiusce nominis Iustinus. quippe cum ab Amantio praeposito magnas pecuniae summas accepisset, easque iussus

καὶ κελευσθεὶς τοῖς τάγμασι τοῦτον κατακενῶσαι,
ὡς ἂν περιποιήσαιντο τὸ κράτος Θεοκρίτῳ
τῷ κοινωνοῦντι τῶν αὐτῶν αἱμάτων Ἀμαντίῳ,
ἐκ τῶν ὀθνείων ἑαυτῷ κτᾶται τὴν βασιλείαν,
πριάμενος, τὸ κέρδιστον, χρήμασιν ἀλλοτρίοις.
οὕτω πᾶσιν ἐπέραστος ἡ σκηπτροκρατορία,
κἀνταῦθα μόνον ἀδικεῖν οὐκ ἄν τις κατοκνήσει,
κἂν ἐν τοῖς ἄλλοις δίκαιος εὑρίσκοιτο καὶ σώφρων.
P 64 *ἦν δ' εὐσεβὴς καὶ νουνεχὴς ὁ γέρων Ἰουστῖνος,*
τῷ ζήλῳ δὲ πυρούμενος τῆς εὐσεβοῦς θρησκείας
τοῖς Μανιχαίοις ἄσπονδον πόλεμον ἐξανῆψε
καὶ διωγμὸν βαρύτερον τῶν μνημονευομένων
τοῖς συντηροῦσι τοὺς σαθροὺς λήρους τοῦ Νεστορίου.
τῆς βασιλείας τοιγαροῦν κρατεῖ χρόνους ἐννέα.
Ὡς δὲ καὶ τοῦτον φέροντα πάχος θνητοῦ σαρκίου
ἐχρῆν τὸ χρέος τῆς θνητῆς φύσεως ἀποδοῦναι,
πρὸς τὸν Ἰουστινιανὸν τὸ κράτος μεταβαίνει,
τὸν τοῦ ναοῦ δομήτορα τούτου τοῦ τρισμεγίστου,
τὸν μεγαλοπρεπέστερον ἀνάκτων τῶν προτέρων,
ὃς ἀδελφόπαις γνήσιος ὑπῆρχεν Ἰουστίνου.
B *οὗτος δ' εὐθὺς ἐν ταῖς ἀρχαῖς τῆς αὐτοκρατορίας*
πόλεμον συνεκρότησε κατὰ τῶν Οὐανδήλων
καὶ τοῦ ῥηγὸς Γελίμερος ὡς τυραννικωτάτου.
φιλίαν γάρ τοι καθαρὰν καὶ πρὸ τῆς βασιλείας

3109 **ποιούμενος** R **πράγμασιν** A 3111 **οὐδείς τι** M 3112 **εὑρίσκεται** R, **εὑρίσκετο** M 3114 **εὐσεβῶν** A 3116 **βαρύτατον** A 3117 **σεβομένοις** A **σαπροὺς** RR, **λυπροὺς** M 3121 **καὶ πρὸς** M 3126 3129 3147 **Βανδήλων** RR

esset in militum ordines erogare, ut Theocrito imperium occuparent, qui Amantii consanguineus erat, alienis opibus sibimet imperium acquisivit, rem longe fructuosissimam aere alieno mercatus. sic nimirum omnes imperium affectant, nec quisquam est qui hic iniustus esse vereatur, quamvis in rebus aliis se iustum ac moderatum declaret. erat autem Iustinus hic senior tum pius tum prudens; et religiosae pietatis zelo flagrans perpetuum cum Manichaeis bellum gerebat. idem gravissimam omnium, quae literarum quidem monumentis proditae sint, persecutionem adversus illos instituit qui putida Nestorii deliria sectabantur. hoc modo novem annis imperio potitur.

Cum autem et ipsi debitum naturae persolvendum esset, ad Iustinianum, supra imperatores priores magnificum, imperium pervenit; qui templum illud longe maximum condidit. natus erat ex Iustini sorore, statimque sub initium imperii bellum adversus Vandilos et regem eorum Gelimerem, longe crudelissimum, movit. nam cum magno, eoque can-

πρὸς τὸν Ἰνδέριχον πλουτῶν τῶν Οὐανδήλων ῥῆγα,
καὶ γράμματα δεξάμενος ὡς ὁ σκαιὸς Γελίμερ
ἐπαναστωίη κατ᾽ αὐτοῦ καὶ κατακλείσας ἔχοι
αὐτόν τε τὸν Ἰνδέριχον καὶ γαμετὴν καὶ τέκνα,
καὶ τὴν ἀρχὴν ἀφέλοιτο σύμπασαν Ἰνδερίχου,
ταῦτα μαθὼν ὁ βασιλεύς, πληγείς τε τὴν καρδίαν
καὶ μέγα παθηνάμενος ὑπὲρ τοῦ δυσπραγοῦντος,
στόλον κατὰ Γελίμερος μυρίανδρον ἐκπέμπει,
στολάρχην δὲ καθίστησι καὶ στρατηγὸν τῆς μάχης C
τὸν μέγαν Βελισάριον, τὴν τῶν Ῥωμαίων χεῖρα,
τὸν πάντας ἀποκρύψαντα στρατάρχας φαλαγγάρχας
ἐπὶ στεῤῥότητι φρενῶν, ἐπ᾽ ἀριστοβουλίαις·
ὃς συλλεξάμενος πληθὺν ναυμάχων πεζομάχων,
ψιλούς, ἐνόπλους, πελταστάς, ἱππότας, σφενδονήτας,
ἐθέλοντας καὶ σπεύδοντας αὐτοῦ προκινδυνεύειν,
καὶ βίας ἀπεχόμενος ἀδίκων ἁρπαγμάτων,
καὶ πάντας ἔχεσθαι ποιῶν τῆς δικαιοπραγίας,
πᾶσαν κατετροπώσατο Λιβύων φυλαρχίαν,
καὶ τράχηλον τὸν ἄκαμπτον ἔκλινεν Οὐανδήλων,
αὐτῶν αὐτῷ τῶν δυσμενῶν Λιβύων προσχωρούντων
καὶ σπουδαζόντων ἄρχεσθαι παρὰ Βελιζαρίου. D
οὕτω τοι πρᾶγμα δύσμαχον ἡ δικαιοπραγία,
καὶ φίλους οἶδε καθιστᾶν τοὺς πρώην μισουμένους,
ἐφέλκεταί τε τοὺς ἐχθροὺς ὡς σίδηρον μαγνῆτις.

3131 **ἐπαναστήσας** AM **καταστήσας** RR 3135 **παθαινόμενος** R 3137 **τε** ARR 3150 **τι** AR **σύμμαχον** R **ἡ δυσπραγία πέλει** M

dido, amore Vandilorum regem Hinderichum etiam antea complecteretur, cum imperium nactus fuisset, ac iam literis certior factus esset improbum Gelimerem seditione mota Hinderichum cum uxore ac liberis inclusum loco quodam habere ac regnum ei totum ademisse, perturbatus animo, vehementerque casu amici adverso commotus, classem infinitis instructam copiis contra Gelimerem misit, eique ceu belli ducem praefecit magnum illum Belisarium, ipsam Romanorum manum; qui omnes imperatores copiarumque duces animi constantia et praeclarissimis consiliis superavit. Belisarius accepto imperio cum classiarios, pedites levis et gravis armaturae milites, cetratos, equites, funditores, qui pro eo lubenter se periclitaturos profiterentur, collegisset, simul ab iniustarum direptionum vi prorsus abstineret, omnesque consuefecisset ut aequi observantes essent, Libyam universam occupavit, et cervices Vandilorum, quae hactenus flecti nequiverant, inflexit, ipsismet Afris ad eum deficientibus, et operam dantibus ut a Belisario regerentur. nimirum invicta res est iustitia, quae prius infestos potest amicos reddere, ac ho-

δεῖγμα χρηστότητος αὐτοῦ καὶ τρόπου φιλανθρώπου.
ἥρπασέ τις τῶν τοῦ στρατοῦ κατοικιδίαν ὄρνιν·
ἤγειρε θροῦν ὁ μὴ καλῶς ἀφαιρεθεὶς τὴν ὄρνιν.
ἤκουσε Βελισάριος, ἠχθέσθη τῷ συμβάντι,
ἀνεῦρε τὸν φιλάρπαγα. τῷ ζήλῳ δ' ὑπερζέσας
δεινὸν εἰσπράττεται ποινὴν ὑπὲρ μικροῦ μεγάλην·
κελεύει γὰρ τὸν ἄθλιον ἀνασκολοπισθῆναι
καὶ ταύτην δίκην ὑποσχεῖν τῆς φιλαδίκου γνώμης.
P 65 εἰ γὰρ καὶ προσεφέρετο τοῖς ὄχλοις φιλανθρώπως
καὶ μέλιτι γλυκάζοντι τοὺς λόγους συνεκίρνα,
ἀλλ' ᾔδει καὶ πικράζοντα ποτὲ παραμιγνύειν
κατὰ δοκίμους ἰατροὺς καὶ πολυπειροτέρους.
ἐντεῦθεν τῇ μὲν στρατιᾷ φόβος ἐπῆλθε μέγας,
καὶ δέος ἐκρυστάλλωσε τοῦ πλήθους τὰς καρδίας·
ἐκ δὲ Λιβύων τῶν ἐχθρῶν ἀγάπη προσετέθη,
καὶ πάντες ἴσα καὶ θεὸν τὸν στρατηγὸν εὐφήμουν.
ἐντεῦθεν ὑπερίσχυσε τῶν ἐρυμνῶν φρουρίων
καὶ πάσης πόλεως λαμπρᾶς εὐπύργου στερροτείχου.
αὐτό τε τὸ τρισεύδαιμον Καρχηδονίων ἄστυ
τὰς πύλας ἀνεπέτασεν· ἅπαντες γὰρ ἐκθύμως
ἐφίλουν Βελισάριον οἷα πατέρα παῖδες.
B εὑρὼν δὲ τὰ βασίλεια Γελίμερος ἐκεῖσε
πλούτου θαλάσσας ἤντλησε καὶ ποταμοὺς χρημάτων,

3154 ἐξήρπασε R 3158 δεινὴν AMR 3163 εἶδε R 3166 τὴν καρδίαν R 3168 θεῷ AM 3170 στερροπύργου AR

stes perinde attrahit ut magnes ferrum. exemplum bonitatis et humanitatis eius erga subditos hoc esse potest. quidam miles avem domesticam rapuerat. ea qui per iniuriam spoliatus erat, clamorem tumultuarium tollit. quo quidem Belisarius audito factum illud molesto tulit animo: militem rapinis deditum perquirendo repperit; ardentius excandescens poenam pro delicto non magno atrocem et gravem in eum statuit: quippe miserum in crucem agi iussit, atque hoc supplicii genus propter animum iniuriae cupidum perpeti. quamvis enim a natura sic comparatus erat ut perhumaniter cum hominibus ageret dulcique melle verba sua temperaret, tamen idem norat experientes et claros in arte sua medicos solere nonnunquam amara miscere. atque hoc facto consecutus est ut ingens quidam pavor exercitum invaderet militumque corda metus constringeret: Libyca vero natio, Romanis infesta, Belisarium amare occiperet, ac ducem hunc instar alicuius dei laudibus vulgo prosequeretur. hinc castellis munitissimis et omnibus claris urbibus potitus est. tunc et urbs opulenta Carthaginiensium portas aperuit: omnes enim toto pectore Belisarium, ceu patrem liberi, diligebant. cum autem in regia Gelimeris Carthaginiensi maximas opes atque pecunias repperisset, haec ipsa

καὶ τῷ στρατῷ διένειμε τὰ σκῦλα φιλοτίμως.
αὐτῷ δὲ τῷ Γελίμερι συμμίξας πλεονάκις,
καὶ λυθροφύρτους θέμενος Λιβύης πεδιάδας,
καὶ πᾶσαν αἱματόβαπτον ῥομφαίαν ἀναδείξας,
καὶ τῶν βαρβάρων τοῖς νεκροῖς τὴν γῆν κατακαλύψας,
φανεῖσαν σωματόστρωτον ἐκ τῶν ἀναιρουμένων,
μετὰ πολλὰς τὰς συμβολὰς καὶ τὰς ἀνδροκτασίας,
μετὰ πολλὰς τὰς συμπλοκὰς καὶ τὰς ἱππομαχίας
καὶ τῶν δοράτων τὸν θραυσμὸν καὶ συντριβὴν ἀσπίδων,
τέλος αὐτὸν Γελίμερα καὶ γαμετὴν καὶ παῖδας
ἐλεεινοῖς ἐν σχήμασι λαβὼν δορυαλώτους
ἐκεῖθεν μυριόνικος ἀνέζευξε στρατάρχης, C
στρατάρχης ἀριστόνικος, νίκαις πολλαῖς ἐμπρέπων·
ὃν ἀμειβόμενος καλῶς Αὐσονοκράτωρ κράτωρ
ἰδίοις ἐν νομίσμασι χρυσέοις ἀργυρέοις
ὁπλίτην ἐνεχάραξε ῥομφαίαν ἐσπασμένον,
καὶ θρίαμβον ἡτοίμασε τῷ τρισαριστεργάτῃ,
ἐν ᾧ προπορευόμενος ἦν αὐτοῦ καὶ Γελίμερ.
ἔφριξε τοῦτον τὴν αἰχμὴν Χοσρόης ὁ Περσάρχης
καὶ τὸ μεγαλεπήβολον καὶ τὰς ἀνδρώδεις φρένας·
καὶ τούτῳ γὰρ συνέμιξεν ἰσχυρομάχους μάχας,
καὶ τόσον κατεπτόησεν ὡς θέλειν τὸν Χοσρόην
εἰρήνην ἀνταλλάξασθαι πολέμων ἀνδροφθόρων.
καὶ Ῥώμην τὴν πρωτόπολιν, τὴν παλαιτέραν Ῥώμην, D
Ῥωμαίοις ἀνεσώσατο Γότθων χερσὶν ἁλοῦσαν·

3179 αἵματι βαπτὴν R 3181 πτωματόστρωτον RR 3185 τέκνα R 3187 ἀνέταξε M 3189 κράτους ARR 3194 ἰσχὺν R 3197 ὅσον θέλειν Χοσρόην M 3198 ἀνδροφόνων A 3199 παλαιτάτην M

spolia perquam liberaliter in militem distribuit. cumque saepius acie congressus esset adversus Gelimerem, Libyae campos sanguine tinxisset, gladios suorum cruentasset, hostium cadaveribus terram cooperuisset, tandem post multa praelia, caedes, invasiones hostiles, pugnas equestres, hastarum infractiones, scutorum collisiones, ipso Gelimere cum uxore ac liberis habitu miserabili captis, ex Africa victoriis infinitis potitus dux optimus solvit. Iustinianus autem Romanorum imperator vicem ei rerum praeclare gestarum referens, tam aureis quam argenteis in numis armatum cum gladio evaginato sculpi curavit, et triumphum decrevit, in quo Gelimer ante ipsum incedebat. eiusdem impetum virilesque animos Chosroes quoque Persarum princeps extimuit. nam cum hoc etiam praeliis acerrimis congressus tantopere terruit hostem, ut Chosroes pacem quam bellum mallet. idem Romam urbium principem, Romam dico veterem, Romanis recuperavit, cum a Gotthis capta foret: quorum etiam

ὃν καὶ τὸν ῥῆγα τὸν πολύν, τὸν μέγαν, τὸν φρικώδη,
ζωγρήσας σιδηρόδετον ἔσχεν ἐν χειροπέδαις.
αὐτὸν δὲ τὸν αὐτάνακτα μέλλοντα κινδυνεύειν
καὶ τὴν ζωὴν καὶ τὴν ἀρχὴν ἀθλίως ζημιοῦσθαι
μέσων ἀφήρπασε χειρῶν τοῦ στασιώδους ὄχλου.
τὸ γὰρ δημοτικώτερον τοῦ πλήθους στασιάσαν,
ἡνίκα συζευγνύουσιν ἵππους ἁρματοστρόφοι
καὶ δρόμους ἐρεθίζουσι πρὸς ἁμιλλητηρίους,
βοὰς ἀφῆκε κατ' αὐτοῦ δυσφήμους τοῦ κρατοῦντος
καὶ φλήναφον ἀπέπτυσεν ἀπεραντολεσχίαν.
κακοῖς κακὰ δὲ προστιθὲν ἐλάττοσι τὰ μείζω
P 66 *καὶ κράτορα προβάλλεται, δείκνυσιν αὐσονάρχην*
πατρίκιον Ὑπάτιον, ἄνδρα τῶν ἐπισήμων,
Ἀναστασίῳ προσγενῆ τῷ βεβασιλευκότι.
ἐνταῦθα Βελισάριος πιμπρᾶται τὴν καρδίαν
ἀνδρίζεταί τε κραταιῶς καὶ σπᾶται τὴν ῥομφαίαν,
καὶ δορυφόροις σὺν πολλοῖς ἀλκίμοις ὑπερθύμοις
καὶ τῷ Ναρσῇ τῷ δεξιῷ καὶ στρατηγικωτάτῳ
ὡς λέων θρασυκάρδιος εἰσέπεσεν εἰς μέσους,
καὶ τοῦ μωραίνοντος λαοῦ συνέκοψε τὸ σμῆνος
ὡς Μωϋσῆς τὸν Μαδιάμ, ὡς Ἰησοῦς Χετταίους.
ἐμέθυσε τοῖς αἵμασι τὴν ἑαυτοῦ ῥομφαίαν,
καὶ μετετράπη τὸ τερπνὸν εἰς λύπης ἀμετρίαν,
B *ἡμέρα πανηγύρεως ἡμέραν εἰς πενθίμην·*

3201 ὅς RR 3202 *εἶχεν* R 3205 *μέσον* MRR 3209 *ἀφῆκαν* R 3210 *ὁ δῆμος τὸν κρατοῦντα* R 3214 *τῷ προβεβασιλευκότι* R 3215 *πίμπραται* ARR 3218 *καὶ*] *τῷ* R 3219 *ἐπέπεσεν εἰς μέσον* A 3220 *συνέτριψε* M 3221 *ὡς ὁ Μωσῆς* AM

regem potentissimum maximeque terribilem vivum in potestatem redegit ac pedicis constrinxit. ipsum imperatorem denique, de vita et imperio misere periclitantem, de seditiosae plebis manibus eripuit. quippe faex plebis curulium ludorum certaminumque tempore vocibus indignis imperatorem exagitabat, et immoderata garrulitate nugas ei quasdam obiiciebat. tandem minora mala maioribus cumulans Hypatium patricium, virum illustrem, eius Anastasii propinquum qui non ita pridem regnaverat, imperatorem salutabat. hic vero Belisarius excandescere, se ipse cohortari ad fortitudinem, nudato gladio, cum satellitibus et eximio viro Narse leonis in morem proruere mediam in hominum turbam, stultique populi examen non aliter dissipare ac Moses Madianitas, Chettaeos Iesus prostravit. cum denique gladium sanguine satis inebriasset, deprehensum est hominum ad triginta milia cecidisse; quo facto iucunda hilaritas in

τῶν γὰρ πεσόντων ἡ πληθὺς εὑρέθη ποσουμένη
εἰς πέντε πρὸς τριάκοντα χιλιανδρίας ὅλας.
τὸ μὲν οὖν πλῆθος σταλὲν ἀπέστη τῆς μανίας,
ὁ δὲ κρατῶν ἐξέφυγε τοὺς ἐν ποσὶ κινδύνους.
Ἦν τοῦτο τὸ στρατήγημα λαμπρότερον τῶν πρώην,
καὶ μέγας Βελισάριος ἦν ἐπὶ στρατηγίαις·
ἀλλὰ γὰρ ταῦτ' οὐκ ἤρεσκε τῷ φθόνῳ τῷ κακίστῳ.
ἔνθεν πικρὸν ἐνέβλεψε τοῦ στρατηγοῦ τῷ κλέει,
καὶ πάσαις ἤλασεν ὁρμαῖς κατὰ τῆς τούτου δόξης·
ὁ φθόνος γάρ, ὥς λέγουσιν, οὐκ οἶδε τὸ συμφέρον.
ἐντεῦθεν ὁ πολύολβος, ὁ μέγας, ὁ στρατάρχης
ὁ τὸν Χοσρόην ἐκφοβῶν τὸν φοβερὸν Περσάρχην, C
ὁ βασιλεῖς ὑπαγαγὼν ὑπὸ ζυγὸν δουλείας,
ὁ σπάθῃ χειρωσάμενος τόσα Λιβύων ἔθνη,
ὁ πολεμόκλονος, ὁ πρὶν ἐν μάχαις θυμολέων,
φθόνῳ καταστρατηγηθεὶς τῷ χαλεπῷ θηρίῳ
ἄτερ στρατοῦ καὶ μαχητῶν καὶ φαρετροφορίας,
πέπτωκε πτῶμα δύστλητον, ἐπάξιον δακρύων.
γέγονε φεῦ ἐλεεινός, γυμνότερος ὑπέρου·
ἔπιε φεῦ τῶν συμφορῶν ὑπερχειλῆ τὸν σκύφον·
ἐγύμνωτο τῶν ἑαυτοῦ καθάπερ φυγὰς δοῦλος·
ἐκάθητο τὸν δήμιον, ὢ πάθους! περιμένων,
πότε τῷ ξίφει τὸν αὐτοῦ τράχηλον ἀποκόψει.

3236 φοβερὸν] θαυμαστὸν R 3237 καὶ MR 3242 δύσπληκτον R, χαλεπὸν R 3243 ὁ πρὶν ἐν στρατηγίαις R

maerorem maximum et festus celebrisque dies in lugubrem conversus fuit. ita fractis animis a furore suo plebs destitit, et imperator e periculis, quae tantum non ante pedes erant, evasit.

Hoc facinus imperatorium pristinis illis erat illustrius, et ubique Belisarius ob rei militaris peritiam ceu magnus celebrabatur. sed enim haec invidiae sceleratissimae non placebant. quapropter honestissimam ducis famam parum aequis oculis intuebatur, et toto impetu gloriam eius oppugnabat. nam vulgo quod dicitur, quid utile sit, ignorat invidia. quamobrem ab eo tempore vir fortunatus, magnus copiarum ductor, qui formidabilem Persarum principem Chosroem exterruerat, qui reges servitutis iugo subiecerat, qui gladio tot Libyae nationes domuerat, vir denique mavortius et in praeliis animo leonino praeditus, immanis belluae, nimirum invidiae, dolis circumventus, absque milite, pugnatoribus, pharetratorum turba, ruinam indignam et lacrimis deplorandam ruit; factus est heu miser pistillo nudior; scyphum calamitatum largiter hausit; ceu fugitivum quoddam mancipium rebus suis universis est spoliatus; eo denique loci redactus est ut (heu sortem acerbam) carnificem exspectaret, quando cervices ei gladio resecturus esset. o invidia, bellua nocens,

φθόνε, θηρίον χαλεπόν, ληστά, φονεῦ, διῶκτα,
D σκορπίε μυριόκεντρε, τίγρις ἀνθρωποβόρε,
δράκαινα φαρμακεύτρια, βοτάνη θανασίμη,
βέλος ἀσίδηρον, αἰχμὴ πασῶν τμητικωτέρα,
οἷα ποιεῖς καὶ κακουργεῖς, οἷα δεινὰ τυρεύεις!
ὑπερνικᾷ τὸ πάθος με, συγχέει με τὸ πένθος,
καὶ προκαλεῖται δάκρυον ἐκ τῶν ἐμῶν ὀμμάτων.
ἕως καὶ πότε, λυμεών, οὕτως ὑπερισχύσεις;
μέχρι καὶ τίνος, κάκιστε, τὸν βίον συγκυκήσεις,
τύραννε κακομήχανε, φόνιε, παντορέκτα.
κἀγὼ γάρ, ὡς οὐκ ὤφελον, σαῖς ἐμπεσὼν παλάμαις
καὶ πειραθείς σου τῶν βελῶν κεῖμαι μικρὸν ἐμπνέων.
P 67 Καὶ ταῦτα μὲν ἐλέχθησαν ἡμῖν ἐν παρεκβάσει·
ἡ γὰρ πικρία τῆς ψυχῆς λαλεῖν καταναγκάζει.
ὁ βασιλεὺς δὲ ζηλωτὴς ὑπάρχων εὐσεβείας
πόλεμον ἀνερρίπισε κατὰ τῶν δυσσεβούντων,
καὶ πλέον τῶν ἑλληνιστῶν τῆς βωμολόχου πλάνης,
κἂν ὕστερον ἀπατηθεὶς ὑπό τινων βεβήλων,
τῇ τῶν ἀφθαρτοδοκητῶν ἑάλω δυσσεβείᾳ.
Οὗτος ναὸν ἐδείματο τὸν φεραυγῆ τὸν μέγαν,
τὸ τοῦ θεοῦ μου τέμενος, τὸν οὐρανὸν τὸν κάτω,
ὃν οἶμαι καὶ τὰ σεραφὶμ αἰδούμενα θαυμάζει.
ἂν γὰρ θεὸς καταξιοῖ μένειν ἐν χειροχμήτοις,

3254 προσκαλεῖται R 3259 πειραθεὶς τῶν σῶν βελῶν κεῖμαι πικρὸν M 3260 παραβάσει A 3263 δυσφημούντων M 3267 ἀνήγειρε R 3268 κάτω] μέγαν ARR

latrocinatrix, caedibus et persecutionibus gaudens, scorpie stimulis infinitis praedite, tigris homines devorans, dracaena, venefica, letalis herba, telum ferri expers, cuspis acutissima, qualia designas et improbe committis! quas calamitates et quae mala struis! vincit me dolor, conturbat luctus, et lacrimas exprimit. quousque, perditrix, tantum virium habebis? quousque, sceleratissima, vitam humanam perturbabis? o tyranne mala machinans, sanguinarie, cuncta appetens. etiam ipse, quod nunquam factum oportuit, tuas in manus incidi, tuaque tela expertus iaceo, parumper adhuc spirans.

Et hactenus haec, tanquam in digressione ab instituto, dicta sunto: nam animi dolentis acerbitas, ut haec proferrem, coëgit. caeterum imperator laudabili pietate praeditus, contra impie sentientes ac praesertim adversus scurrilem ethnicorum errorem bellum commovit, quanquam ad extremum a profanis quibusdam hominibus deceptus in eorum prolapsus est impietatem, qui opinionem de incorruptibili probant.

Templum illud splendidissimum et amplissimum condidit, delubrum dei mei, caelum terrestre, quod ipsos etiam Seraphos cum veneratione

ἐν τούτῳ πάντως κατοικεῖ· καὶ ποῦ γὰρ ἀλλαχόθι;
ἂν οὖν τις παρεικάσειε σφαίρᾳ μὲν οὐρανίᾳ
πόλιν τὴν ὀλβιόπολιν, τὴν Κωνσταντίνου πόλιν, B
τοὺς δὲ ναοὺς τοὺς ἱεροὺς ἀστέρων φεραυγείαις,
οὐκ οἶμαι τοῦ καθήκοντος οὕτος ἀποσφαλεῖται.
πάντες μὲν οὖν ἐκλάμπουσιν ἀφθόνοις φρυκτωρίαις,
καὶ στίλβουσι ταῖς χάρισι καὶ κτίσιν δᾳδουχοῦσι,
καὶ χρηματίζουσι φαιδροὶ τοῖς ἐπὶ γῆς ἀστέρες·
ἠέλιος δ' ἀνόρουσε λίμνης περικαλλέος,
καὶ πάντων ἀπεκρύβησαν ἀστέρων αἱ λαμπάδες.
ὑπερεκλάμπει γὰρ φαιδρῶς, ὡς ἐν μικροῖς ἀστρίοις,
τοῖς ἱεροῖς τεμένεσιν ἄλλος ἥλιος γίγας,
ὁ θεοδόμητος ναός, τὸ κάλλος γῆς ἁπάσης. C
Τούτῳ συνῆν τῷ βασιλεῖ σύζυγος Θεοδώρα,
ταυτόζηλος, ταυτότροπος, μεγαλοπρεπεστάτη.
αὕτη ναὸν ἀνήγειρεν ἀπὸ ῥιζῶν ἐσχάτων
τοῖς τοῦ κυρίου μαθηταῖς, μετὰ τὸν πρῶτον πρῶτον,
γλαυκόφωτον ἂν εἴποι τις ἐν τοῖς ναοῖς σελήνην,
εἰς κάλλος δευτερεύοντα τοῦ λαμπραυγοῦς ἡλίου.
Ἀλλὰ τοιαύτας χάριτας τῷ βασιλεῖ πλουτοῦντι
οὐκ ἦν θυγάτηρ, οὐχ υἱός, οὐ διαδοχὴ γένους.

3271 ἀλλαχόθεν AR v. 3272 om M 3274 ἀστέρας φεραυγοῦντας M 3278 τῶν ἐπὶ γῆς ἀστέρων RR 3280 ὑπεκρύβησαν R 3282 μέγας R 3283 θεόδμητος R τὸ — ἁπάσης] ἄλλος ἥλιος κάτω, ὁ δεύτερος παράδεισος. τὸ — ἁπάσης R 3285 ταυτότροπος ταυτόζηλος RR 3286 τειχῶν R 3291 εἰς διαδοχὴν RR τοῦ γένους R

admirari arbitror. nam si deus commorari dignatur in iis quae hominum manus perpolierunt, omnino hic, nec usquam alibi, habitat. quodsi etiam lubeat alicui beatam urbem Cpolitanam cum globo caelesti comparare ac sacrosanctas eius aedes cum lucidis sideribus, non prorsus, opinor, abs re fecerit. ac splendent omnia quidem huius urbis templa perpetuis quasi luminibus, suisque gratiis coruscant, ipsam rerum creaturam collustrantia tanquam lucida mortalium sidera: verum ubi sol exoritur, aliorum omnium faces occultantur. etenim inter haec quoque minora sidera, quae sacra sunt delubra, fanum illud divinitus exstructum, terrae totius ornamentum, veluti sol alter caelestisque gigas insigniter fulget.

Erat Iustiniano Theodora matrimonio iuncta, iisdem addicta cum marito studiis et eisdem praedita moribus, nimirum magnificentissima. haec a fundamentis templum discipulis Christi condidit, post primum illud facile principem sibi locum vindicans. appellare quis illud non inepte possit inter alia templa caeruleo splendentem lumine lunam; quod secundum solem pulchritudine sua secundas ferat.

Qui talibus abundabat dotibus imperator, nullam sobolem masculam, *nullam femineam*, quae ipsi succederet, habebat. quapropter moriturus

ἔνθεν τοι μέλλων τελευτᾶν καὶ γῆθεν μεταβαίνειν
ἐπὶ τὸν ἀδελφόπαιδα βλέπει τὸν Ἰουστῖνον,
καὶ τοῦτον αὐσονάνακτα καὶ κράτορα δεικνύει,
ἰθύνας τὸ καλλίπρωρον τῆς βασιλείας σκάφος
D ἐν ἔτεσι τριάκοντα πρὸς ἐννεάδι μιᾷ.
Ἦν δὲ χρηστὸς καὶ δίκαιος ὁ νέος Ἰουστῖνος,
καὶ τὸ φιλάδικον μισῶν καὶ τὴν κακοτροπίαν,
φιλόκαλος, φιλόκοσμος, λαμπρόψυχος, ἀστεῖος,
χρημάτων καταφρονητής, στυγῶν σμικρολογίαν.
δεῖγμα λαμπρότητος αὐτοῦ καὶ μεγαλοπρεπείας
ὁ χρύσεός τε καὶ τερπνὸς ἐν ἀνακτόροις οἶκος,
ὃς ἔτι τοῦ δομήτορος τὴν κλῆσιν περισώζει,
χαρίτων στίλβων καλλοναῖς καὶ πυραυγίζων πάντῃ.
Ἦν μὲν οὖν οὕτω κόσμιος ὁ βασιλεὺς καὶ πρᾶος
καὶ μισοπόνηρον αὐχῶν τὴν γνώμην καὶ δικαίαν·
P 68 ἀλλὰ γὰρ τὸ πολύπονον αὐτοῦ τῆς διαιτίας
καὶ τὸ συχνάκις βάλλεσθαι νόσοις ἀλλεπαλλήλοις
τὴν πρόθεσιν ἐξέκοπτε τῆς δικαιοπραγίας.
οὐ γὰρ προῄει συνεχῶς ἀπὸ τῶν βασιλείων,
ὡς εἶναι τοῖς ἐθέλουσιν αὐτῷ προσομιλῆσαι
καὶ φιλαδίκων κατειπεῖν ἀνθρώπων ἁρπακτήρων,
ἀλλ᾽ εἶχε τοῦτον νοσερὸν ἡ κλίνη καὶ τὸ δῶμα
ὥσπερ τι δένδρον εὐγενὲς βρῖθον καρποῖς ὡραίοις
καὶ πᾶσι προϊσχόμενον πλουσίαν τὴν ὀπώραν,
χειμῶνι δὲ καὶ κρυερῷ πηγνύμενον ἀέρι

3299 φιλόκομος AR 3300 μακρολογίαν R 3302 λαμπρὸς R 3303 ἄρτι R v. 3313 add RR

et terris excessurus, in natum ex sorore Iustinum coniectis oculis, eum imperatorem designat.

Erat autem Iustinus hic iunior vir bonus, iustus, iniquitati et sceleribus infensus, honesti modestiaeque studiosus, munificus, facetus, contemptor pecuniarum, ab illiberalitate ac sordibus alienus. quam splendidus ac magnificus fuerit, indicio est aurea domus in regia, gratiarum elegantia fulgens et omni ex parte quasi radians.

Erat ergo Iustinus imperator, ceu dictum est, moderatus, mitis, animo ab improbitate alieno et iusto. verum quia laboribus curandae valetudinis obrueretur et continuis cum morbis conflictaretur, propositum animi eius in exsequenda iustitia non parum impediebatur. nam e regia raro prodibat, ut illis qui conventum vellent, eius adeundi hominesque rapaces et iniustos deferendi facultas non esset. nimirum domus et lectulus morbidum detinebant, arbori praeclarae similem, quae pulchris onusta fructibus autumnum uberem pollicetur: verum deinde per tempestatem et aëra frigidum laesa, quo minus illos fructus suos perco-

καὶ παρεμποδιζόμενον εἰς τὸ πεπᾶναι ταύτην.
ἐντεῦθεν οἱ σπουδάζοντες ἐκ φιλαδίκου γνώμης
τοῖς ἀλλοτρίοις ἐντρυφᾶν καὶ τὰς οὐσίας αὔξειν,
κατὰ πολὺν τοῦ θέλοντος κωλύειν ἐρημίαν B
λίχνοις ἐπεντρανίζοντες ταῖς κόραις τοῖς ὀθνείοις
ἐλῄστευον διήρπαζον ἐσύλουν τὰ τῶν πέλας,
καὶ φύρσις ἦν ἁπανταχοῦ καὶ στόνος οἰμωγμάτων,
ὀλοφυρμοὶ καὶ στεναγμοί, θρῆνοι, στερνοκτυπίαι.
πόλις δ' ὁμοῦ μὲν ἔγεμε συχνῶν θυμιαμάτων,
ὁμοῦ δ' ὑπερπεπλήρωτο παιάνων καὶ δακρύων.
ταῦθ' ὁ κρατῶν ὡς ἤκουσε, τὴν μὲν ψυχὴν ἐπλήγη,
οὐκ ἔχων δ' ὅτι δράσειεν (ἔσφιγγον γὰρ αἱ νόσοι)
ἐν ἀπειλαῖς ἐπτόησε μόναις τοὺς κακοσχόλους,
ὥσπερ εἰ θὴρ ὑπέρακμος ἔξωρος καὶ τριγέρων C
βλέπει τοὺς σκύμνους τοὺς αὐτοῦ πικρῶς ἁρπαζομένους,
καὶ μηδαμόθεν ἄλλοθεν σθένων αὐτοῖς ἀμῦναι
φρικώδεις πέμπει βρυχηθμοὺς ἀπὸ καρδίας μέσης.
ἀλλ' οὐκ ἐπέρανεν οὐδὲν ὁ βασιλεὺς ἐν τούτοις·
ἡ γάρ τοι φιλοχρήματος καὶ ῥυπαρὰ καρδία
οὐ δυσωπεῖται τοὺς θεσμοὺς τοὺς τῆς φιλαλληλίας,
οὐ φρίσσει βλέφαρον θεοῦ, κράτορας οὐκ αἰδεῖται,
οὐ κατοικτείρει συνοχήν, οὐ συντριβὴν καρδίας.
Ὡς οὖν τὸ μὲν κακεντρεχὲς κατίσχυεν εἰς πλέον
καὶ πανταχοῦ τὰς στυγητὰς ἐξέτεινε πλεκτάνας,

3318 *φιλοδίκου* A 3321 *ταῖς*] *ἐν* ARR *ὀχνίοις* R 3330 *ὥσπερ ἂν* R 3331 *βλέπων* R *αὐτῷ* R 3333 *μυκηθμοὺς* MR 3334 *ἐπέραινεν* A *εἰς τοῦτο* R

quat et ad maturitatem perducat, impeditur. hinc usu veniebat ut quibus est studio per iniuriam bonis alienis frui suasque facultates inde collocupletare, propter magnam eorum raritatem ac solitudinem qui talia prohiberent, avaris oculis in aliena coniectis proximorum bona depraedarentur, raperent, agerent. ubique confusio, gemitus, eiulatus, lamentationes, planctus erant: urbs pariter frequentes habebat suffitus, et inter paeanes lacrimae non deerant. haec cum accepisset imperator, animo quidem ille perturbabatur, verum efficere propterea nihil valens, quod a morbis domi constringeretur, improbos homines minis tantummodo terrebat, non aliter atque bellua provectioris aetatis et iam senio confecta, si catulos suos rapi videat nec ullo modo subvenire ipsis possit, de medio pectore rugitus horrendos edit. nihil autem comminando imperator proficiebat. quippe avarus et sordidus animus leges amoris mutui non reveretur, oculos dei non metuit, imperatoris verecundia nulla ducitur, coartationem et compressionem afflicti cordis non miseratur. cum igitur improbitas et versuta in circumscribendis aliis sollertia magis magisque vi-

D *καὶ πάντας ἐπεβόσκετο τὸ τῆς κακίας στόμα,*
ὁ δὲ κρατῶν ἀνῴμωζεν ἤσχαλλεν ἐδυσφόρει,
τὶς τῶν ἐν τέλει παρελθὼν εἰς μέσους μετὰ θάρρους
"ὦ βασιλεῦ" ἀνέκραγεν, "εἰ θελητόν ἐστί σοι
ἐκ τῶν χειρῶν τῶν πονηρῶν ῥύεσθαι τοὺς ἰδίους,
ἐμοὶ τῆς ἐκδικήσεως ἐγχείρισαι τὸ ξίφος.
κἂν μὲν ἐκτέμω κεφαλὰς τὰς τῆς πλεονεξίας
καὶ τρόπου τοῦ φιλάρπαγος ὡς Ἡρακλῆς τῆς ὕδρας,
χάρις μοι κείσεται πρὸς σοῦ καὶ πρὸς τῶν ὑπηκόων·
εἰ δ' οὔ, μὴ φείσῃ, βασιλεῦ, ἀλλ' ὡς αἰσχύναντί σε
πελέκει μοι τὸν τράχηλον ἀπόκοψον ἐνδίκως."
P 69 *ἤκουσε ταῦθ' ὁ βασιλεύς, ἐπένευσεν αὐτίκα,*
ἐπῄνεσε τὸν ἄνθρωπον τῆς φιλανθρώπου γνώμης,
ἀρχὴν τὴν ἀνυπεύθυνον δίδωσι τῷ γενναίῳ
(ἔπαρχον ἡ συνήθεια λέγει τὸν ταύτην σχόντα,)
καὶ πᾶσι τρόποις παραινεῖ φροντίζειν τοῦ δικαίου.
ὁ μὲν οὖν ἀνεζώσατο τοιαύτην δυναστείαν,
καὶ ζήλου πλείονος πλησθεὶς εἴχετο τῶν πρακτέων·
συνέβη δὲ μετ' οὐ πολὺ γενέσθαι τι τοιοῦτον,
λόγου καὶ μνήμης ἄξιον καὶ πρέπον ἱστορεῖσθαι.
γυνὴ προσῆλθε πενιχρά, χηρείαν ἀνατλᾶσα,
μετ' οἰμωγῆς, μετὰ βοῆς, μετὰ περιπαθείας,
B *καταβοῶσα τῶν λαμπρῶν τινὸς καὶ περιδόξων,*

3343 *προσελθὼν* M *μέσον* R *κατεθάρρη* A 3347 *ἐκτέμνω* RR 3350 *αἰσχύναντά* MR 3351 *μου* MR v. 3355 om M 3358 *πραγμάτων* RR, *πρακτόρων* M 3361 *ἀνατλῶσα* R

res et incrementum sumeret, ubique dignos odio laqueos tenderet, os denique mali huius cunctos cum depasceretur, atque interim deploraret eam miseriam imperator gravissimeque ferret, quidam e proceribus in medium cum singulari confidentia progressus exclamat "si tuos cupis, imperator, ex improborum manibus liberare, mihi vindicem gladium tradito. quodsi avaritiae capita hominumque rapacium artes ita resecuero quemadmodum Hercules Hydrae capita praecidit, erit quod tu subditique tui debere se mihi profiteantur. sin hoc non praestitero, ne mihi peperceris, imperator, sed ut hominem qui labem ac maculam tibi adsperserit, optimo iure securi percutito." imperator his auditis annuit, et egregia viri voluntate collaudata magistratum ei tribuit imperio neminis obnoxium, quem praefectum urbi dicunt: simul hortatur ut omnibus modis aequi iustique curam habeat. ille potestatem accipit, et maiorem in modum zelo quodam accensus negotia sibi commissa procurabat. non multum intercessit temporis, cum huiusmodi quiddam accidit, dignum quod memoriae prodatur et historiarum monumentis inscribatur. accessit ad praefectum vidua mulier, paupercula, cum eiulatu clamore quirita-

πρὸς γένους ὄντος βασιλεῖ, μαγίστρου τὴν ἀξίαν,
καὶ τὸν φιλάδικον αὐτοῦ τρόπον αἰτιωμένη
ὡς τὴν οὐσίαν τὴν αὐτῆς πᾶσαν διηρπακότος.
ἤκουσε ταῦθ' ὁ ζηλωτὴς ἐκεῖνος τοῦ δικαίου,
προσέσχε τοῖς οἰμώγμασιν, ᾤκτειρε τὴν γυναῖκα,
πέμπει μετακαλούμενος τὸν μάγιστρον εἰς κρίσιν.
ὁ μάγιστρος οὐ πείθεται, καταφρονεῖ τῆς δίκης,
καταγελᾷ τοῦ δικαστοῦ, τὴν κρίσιν μυκτηρίζει.
καὶ δεῖπνον ἁβροτράπεζον τελοῦντος τοῦ κρατοῦντος
συμποσιάζων μετ' αὐτοῦ σὺν ἄλλοις ἀφικνεῖται.
τὸ μετὰ τοῦτο τί καὶ πῶς; ὁ δικαστὴς θυμοῦται,
φοιτᾷ πρὸς τὰ βασίλεια, φαίνεται τῷ κρατοῦντι,
βλέπει λιπαροτράπεζαν ἐν μέσῳ πανδαισίαν, C
ὁρᾷ συνανακείμενον μετὰ τῶν δαιτυμόνων
ἐκεῖνον τὸν ἀπόζοντα πλεονεξίας μύσους.
ὡς εἶδεν, ἀναφλέγεται τῷ ζήλῳ τὴν καρδίαν,
καὶ παρρησιασάμενος φησὶ πρὸς Ἰουστῖνον
"εἰ μὲν ἐμμένεις, βασιλεῦ, τοῖς προτεθεσπισμένοις
καὶ βούλει τοὺς φιλάρπαγας ὑπάγεσθαι ταῖς δίκαις,
κἀγώ σοι πρόθυμος ποιεῖν τὰ προϋπεσχημένα·
εἰ δέ σοί τις μετάμελος ὧν ἔπραξας ἐπῆλθε,
ἐμοὶ τὴν ἔπαρχον ἀρχὴν ταύτην παρεσχηκότι,
ἰδού σοι πάρεστιν αὐτὴν πάλιν ἀπολαμβάνειν.

3364 μαΐστρου A 3369 μάϊστρον A 3378 μίσους RR

tione viri cuiusdam illustris et clari, qui dignitate magister, consanguinitate imperatori iunctus esset, nomen deferens, deque illius iniuria querens, quod facultates ei suas omnes eripuisset. audit haec aemulator ille iuris et aequi, viduae querelis animum advertit, commiseratione tangitur, mittit qui magistrum in iudicio comparere iubeant. magister non obtemperare, actionem floccifacere, iudicem per ludibrium irridere, sannis iudicium ipsum exagitare. quia denique prandium imperator lautum praebiturus invitatis nonnullis erat, ei convivio cum aliis interfuturus abit. quid hinc factum? ira iudex accenditur, in regiam se confert, imperatori conspiciendum offert, quem opimo in convivio sedentem videbat: inter alios invitatos etiam rapacem illum accumbentem cernit. eo conspecto singulari fervore cordis inflammatur, et ore liberrimo Iustinum hisce verbis alloquitur "si perstas, imperator, in iis quae semel abs te decreta sancitaque sunt et homines rapaces multari vis, equidem paratus sum atque cupidus ut id praestem quod dudum me praestiturum pollicebat. sin te, qui praefecti munus mihi mandasti, ante actorum paenitet: en facultatem habes eius mihi vicissim auferendi. nam equidem culpa vacare volo, cum tu piaculares et improbos homines amicos facias, iti-

ἐγὼ γὰρ ἀναιτίατος σοῦ ποιουμένου φίλους
D τοὺς ἐξαγίστους καὶ σκαιοὺς καὶ τοὺς ὑπομοχθήρους,
καὶ συμπαραλαμβάνοντος συμπότας ὁμοδείπνους
ἀνθρώπους κακογνώμονας καὶ κακεντρεχεστάτους."
πρὸς ταῦθ' ὁ γαληνότατος καὶ πρᾶος Ἰουστῖνος
περιπαθές τι καὶ βαρὺ καὶ βύθιον οἰμώξας
"εἰ μὲν ἐγώ" φησιν "αὐτὸς ἄδικον εἴργασμαί τι,
αὐτίκα με κατάρραξον τοῦ βασιλείου θρόνου·
εἰ δέ τίς μοι τῶν συμποτῶν καὶ συνανακειμένων,
τοῦτό σοι πάρεστι ποιεῖν ὃ πάλαι διεσκέψω."
βαβαὶ τῆς γαληνότητος καὶ τῆς χρηστότητός σου,
αὐτοκρατόρων ἄριστε, δικαιοφύλαξ πρᾶε.
εἴρηκε μὲν ὁ βασιλεύς, ὁ μάγιστρος δ' αὐτίκα
ἀναρπαγεὶς πρὸς τοῦ κριτοῦ σὺν ἑλκυσμοῖς βιαίοις
ἐκ συμποσίου καὶ τρυφῆς, ἐκ μέσων ὁμοδείπνων,
P 70 ἐκ τραπεζῶν πολυτελῶν καὶ μεγαλοδαπάνων,
ἤγετο πρὸς κριτήριον δίκας ὑφέξειν μέλλων.
ἐστάθη πρὸ τοῦ βήματος τρέμων πεφοβημένος
ὁ πρὶν ὑπεραιρόμενος, ὁ σοβαρός, ὁ γαῦρος.
καὶ πάλιν τὸ μὲν γύναιον ὡς πρώην κατηγόρει
καὶ προύφερε τὴν ἁρπαγήν, ἤλεγχε τὴν κακίαν·
ὁ δὲ πεφίμωτο καὶ βοῦν ἐπὶ τῆς γλώττης εἶχεν,
ὁ πρὶν σοβαροπρόσωπος, ὁ πρώην φρυακτίας.
οὕτως ἀπαρρησίαστον κακομηχάνου στόμα.
ὡς οὖν ζητήσας ἀκριβῶς καὶ πολυπραγμονήσας

3392 βαθὺ MR 3395 καὶ] τῶν M v. 3399 om M
3400 συνελκυσμοῖς A 3401 καὶ μέσου M 3403 ἤγαγε M
3404 ὅλος R 3405 καὶ σοβαρὸς καὶ M

demque perversos et ad nocendum ingeniosissimos, conviviis mensisque tuis adhibeas." ad ea placidissimus ille mitisque Iustinus, dolenter ex imo pectore ducto suspirio, "si me ipsum" ait "insolenter aliquid designasse constat, mox imperatorio me throno detrahito. sin aliquis convivarum, qui mecum hic accumbunt, iniurius in quemquam fuit, licet mox facias quod dudum tuo cum animo constituisti." papae, quanta fuit haec in te animi serenitas atque bonitas, imperatorum optime, iuris et aequi mitissime custos. vix imperator haec prolocutus fuerat, cum magister ille per vim a iudice de convivarum coetu mensisque sumptuosis abreptus ad tribunal deducitur, illatae poenas iniuriae luiturus. stabat ante tribunal tremens ac territus, qui non ita pridem elato animo superbiebat. mulier rursus accusationem suam instituebat, quae per rapinam amisisset indicabat, facinoris hominem convincebat. ille contra, ferox antehac et insolens, mutus illic stabat, et in lingua, quod aiunt, bovem habebat. ita nimirum os hominis malefici libertate loquendi destituitur.

ὁ μεγαλόνους δικαστὴς καὶ τοῦ δικαίου φύλαξ
εὗρε παθοῦσαν συμφορὰς βαρυσυμφορωτάτας
τὴν προσελθοῦσαν ὡς χερσὶν ἀδίκοις ληστευθεῖσαν, B
ὠμοῖς βουνεύροις τὸν λαμπρὸν ἐκεῖνον καταικίζει
καὶ ταῖς χαλάζαις τῶν πυκνῶν μαστίγων μωλωπίζει,
καὶ πᾶν τὸ σῶμα ταῖς πληγαῖς κατάστικτον δεικνύει,
εἶτα ψιλοῖ τὸ γένειον ἕως ἐπιδερμίδος,
κείρει καὶ τρίχας κεφαλῆς, τὸ πρόσωπον αἰσχύνει,
παλιμπετῆ παλίνστροφον ἐπιβιβάζει κτήνους,
δημοσιεύει τὸ κακὸν ἐν μέσοις λεωφόροις,
καὶ θριαμβεύει δυσκλεῶς τοῦτον καὶ στηλιτεύει,
καὶ τῆς οὐσίας τῆς αὐτοῦ δεσπότην καθιστάνει
τὴν ὑπ' αὐτοῦ πολλὰ δεινὰ τλᾶσαν καὶ πικρανθεῖσαν. C
οὕτως οὐδὲν ἐφάμιλλον φιλελευθέρῳ γνώμῃ·
οὕτως ἀφιλοχρήματος καὶ μὴ δεδουλωμένος
εὐπαρρησίαστος ἀνὴρ οὐ πρόσωπα λαμβάνει,
οὐ δειλιᾷ τοὺς ὑψηλούς, οὐδένα καταπτήσσει,
πτηνός, ἂν εἴπῃς, ἀετός, εὔπτερος, ὑψιβάμων,
ὑπ' οὐδενὸς κρατούμενος τῶν ἐπὶ γῆς πραγμάτων.
ἂν ἔχῃς γνώμην καθαρὰν κερδῶν ὑψηλοτέραν,
ἂν μὴ ῥυπαίνῃς τὴν ψυχὴν λημμάτων κιβδηλίαις,
οὐ πτοηθήσῃ βασιλεῖς, οὐκ αἰσχυνθήσῃ δῆμον,
οὐ πτήξεις ὑπερέχοντας, οὐ μεγαλοδυνάμους.

3413 φοροῦσαν M 3414 ὡς] ἐν R, καὶ R 3415 δεινὸν R ἐκ. κατ.] κατ. τὴν σάρκα M 3418 ξυρεῖ R 3425 φιλελευθέρου γνώμης RR 3432 χρημάτων βδελυρίᾳ R, λημμάτων κιβδηλίᾳ R

cum ergo prudentissimus iudex et aequi iustique custos, re accurate curioseque pervestigata, mulierculam indigna passam suisque facultatibus iniuste spoliatam deprehendisset, crudis boum nervis illustrem illum virum per contumeliam caedi iubet, ac tantopere flagellari, dum corpore toto plagarum cicatrices exstarent. deinde mentum ei denudat ad cutem usque, ac rasis capitis crinibus vultuque deturpato inversum asino imponit, facinus mediis in plateis proclamat, hominem per summam ignominiam circumvehi velut in triumpho et affici contumelia iubet. tandem facultates eius mulieri attribuit, quae oppressa per ipsum acerbeque tractata fuerat. sic nihil ad animum libertatis studiosum comparari potest: sic homo alienus ab avaritia, nec ulli rei mancipatus sed ingenuus, neminis personam acceptat; non excelso conspicuos loco metuit, neminem formidat: dixeris eum esse volucrem, aquilam celerem, sublimia petentem, nullis rebus terrenis addictam. si puram habeas mentem et lucris superiorem, si donorum captione animum non sordidaveris, reges non formidabis, plebem non revereberis, non eximios et magna praeditos potentia metues.

Ἀλλ' ἐπανακαμπτέον μοι πρὸς τὰ τῆς ἱστορίας.
τοῦτο πολλοὺς ἐφόβησε, τοῦτο πολλοὺς ἐπέσχεν·
ἐντεῦθεν συνεστάλησαν πολλοὶ τῆς ἀδικίας
D τὴν πρόθεσιν καὶ τὴν ὁρμὴν τὴν εἰς πλεονεξίαν·
τὸ δυσπαράκλητον καὶ γὰρ καὶ φοβερὸν εἰς κρίσεις
τοῦ δικαστοῦ κατέσεισεν ἁπάντων τὰς καρδίας.
ἔνθεν γαλήνη πανταχοῦ τῆς δικαιοπραγίας
ἀντὶ χειμῶνος καὶ στυγνῆς θυέλλης ἐφηπλώθη.
ἀντὶ κυμάτων καὶ βρασμῶν ἐγέλασεν εὐδία,
καὶ πέλαγος ἀτάραχον ἐπλέετο τοῦ βίου·
πνεῦμα θεοῦ γὰρ ἄντικρυς ἐπέπνεεν ἡδύπνουν,
καὶ κατεσίγαζε δεινὰς καὶ πολυρρόθους ζάλας.
Τούτῳ συνῆν τῷ βασιλεῖ καὶ σύζυγος Σοφία,
ἀνδρεία, μεγαλόψυχος, μεγαλοδωροτάτη.
ἥτις μαθοῦσα τὸ κοινὸν κόπτεσθαι καὶ στυγνάζειν
ὡς χρέεσι βαρούμενον οἷα δεσμοῖς ἀφύκτοις,
P 71 συναγαγοῦσα τῶν χρεῶν πάντα τὰ γραμματεῖα
αὐτὰ μὲν ἐπυρπόλησε, τοῖς δὲ χρεωφειλέταις
ἀπέδωκε τὰ δάνεια χρημάτων ἐξ οἰκείων.
ὅσοις δ' ἑτέροις ἀγαθοῖς καὶ μεγαλοδωρίαις
ὁ βασιλεὺς ἡ βασιλὶς ἐπίαναν τὰς πόλεις,
ἅπασι πάρεστι μαθεῖν ἐκ τῶν ὀλίγων τούτων·
καὶ γάρ τοι καὶ μικρότατον γεῦμα τὸν ὅλον πίθον

v. 3437 om M 3438 τῆς πλεονεξίας AR 3446 πολυρρόους R 3457 πίθον ὅλον R

Sed enim ad historiae seriem mihi revertendum est. hoc factum multis terrori fuit et multos in officio continuit. ex eo tempore ab inferendis iniuriis alienisque concupiscendis plerique semet abstinebant: quippe iudicis animus inexorabilis et in iudicando severus mentes omnium perculerat. hinc pro tempestate ac tristi procella succedebat ubique serenitas observationis iusti et aequi: hinc fluctuum et marini cuiusdam velut aestus loco tranquillitas iucunde velut arridebat, vitaeque pelagus citra perturbationem ullam navigabatur. quippe divini cuiusdam gratique venti aura spirabat.

Uxorem imperator hic Sophiam habebat, feminam virilem, magnanimam, munificentissimam; quae cum homines vulgo magno in maerore degere cognovisset, quod aere alieno ceu vinculis inextricabilibus gravarentur, omnibus obaeratorum tabulis collectis, eas ipsas quidem concremavit, at creditoribus quae deberentur ex suo numerari curavit. de quibus hactenus breviter commemoratis intelligere licet quantis ceteroquin etiam bonis quantaque liberalitate tam imperator hic quam imperatrix totas urbes foverint. quippe gustus etiam perexiguus dolii totius,

καὶ πέπλον τὸ εὐΰφαντον τὸ κράσπεδον γνωρίζει,
καὶ λέων ὁ μεγάθυμος δῆλος ἐκ τῶν ὀνύχων.
Ἐπεὶ δ' οὐκ ἦν θυγάτριον ἀλλ' οὐδ' υἱὸς ἐκείνοις,
ὁ βασιλεὺς Τιβέριον εἰσποίητον ὡς παῖδα
ἐπιλεξάμενος δεινὸν ἐν στρατηγίαις ὄντα
πρῶτα μὲν τῷ τοῦ Καίσαρος κατακοσμεῖ στεφάνῳ, B
μετὰ βραχὺ δὲ πρὸς ταὐτὸ συναγαγὼν τὸν ὄχλον,
τοὺς ἱερεῖς, τὴν σύγκλητον, ἅπαντας τοὺς ἐν τέλει,
καὶ παραινέσεσι πολλαῖς ἐνθέοις καταρτίσας,
τὰ σκῆπτρα παραδίδωσι τῆς αὐτοκρατορίας,
ἔτι καὶ ζῶν καὶ περιὼν καὶ μὴ τὰ λοῖσθα πνέων,
ἔτεσι δέκα πρὸς τρισὶ μῆνας σκηπτροκρατήσας.
ἀλλὰ γὰρ ὕπνωσε μικρὸν ἐπιβιοὺς τὸν ὕπνον
τὸν νήγρετον καὶ πάγκοινον, τὸν ἀπὸ τοῦ θανάτου,
καὶ λίθος κατεκάλυψε τὸν τηλικοῦτον ἄνδρα·
οὐ γὰρ καλόν, οὐκ ἔμπικρον ἡ φύσις δυσωπεῖται,
ὁμοῦ δὲ φύρδην ἅπαντας τίθησι τυμβοχώστους.
Ὡς ἤδη δὲ Τιβέριος παρῆλθεν εἰς τὸ κράτος,
ἐκ πρώτης, ὥς φασί, γραμμῆς ἔδειξε τὰς ἐλπίδας C
μὴ ψευσαμένας ἐπ' αὐτῷ τοῦ προχειρισαμένου.
τὴν μὲν γὰρ μεγαλόδωρον βασίλισσαν Σοφίαν
μυρίαις ἀντημείψατο ταῖς ἀγαθοεργίαις,
τοῖς δ' ὑπηκόοις ὀχετοὺς ἔβλυσεν εὐποιίας

3461 εἰς R 3465 τὴν σύγκλητον τοὺς ἱερεῖς RR 3469 τρισὶν αὐτὸς σκ. R. om versum R 3471 καὶ] τὸν M 3477 ἐν R 3480 εὐποτίας M

et contexti egregie pepli documentum fimbria praebet, ut leo magnanimus ex unguibus agnoscitur.

Cum autem nullum neque filium neque filiam haberent, Tiberium imperator, hominem in re militari praestantem, adoptatum filii loco, Caesaris primum corona exornat; neque multo post coactis in unum plebe senatu sacerdotibus, universis proceribus, cum multis et divinis omnes cohortationibus instruxisset, eidem imperii sceptra vivus et superstes adhuc nec halitum extremum ducens tradidit. sed enim exiguum ad tempus vita deinceps fruens somno mortis inexcitabili et omnibus communi sopitus est, ac sub exiguum saxum talis tantusque vir conditus. quippe nec formoso nec experienti natura parcit, sed omnes citra discrimen in sepulcra coniicit.

Posteaquam imperium Tiberius occepisset, statim prima, quod dicitur, linea demonstravit minime vanam fuisse spem eius a quo adoptatus et praefectus rebus fuisset. nam munificae imperatrici Sophiae beneficiis infinitis vicem rependit, et directis in subditos benignitatis rivis au-

καὶ φλέβας ἀνεστόμωσε χρυσίτιδας ἀφθόνους.
ἐπὶ παραμυθίᾳ δὲ τῶν νόσοις παλαιόντων
καὶ τῶν καμνόντων τῷ λυγρῷ καὶ πολυπόνῳ γήρᾳ
οἴκους ἀνήγειρε πολλοὺς καὶ πενητοτροφεῖα.
καὶ πρῶτος κατεβάλετο τὰς ῥίζας τοῦ τεμένους
τῶν τεσσαράκοντα Χριστοῦ μαρτύρων καλλινίκων.
ἐπὶ δυσὶ σαλεύων δὲ τὸν βίον θυγατράσι
τούτων μιᾷ συζεύγνυσι Μαυρίκιον εἰς γάμον,
D ἄνδρα δραστηριώτατον, τὸ γένος Καππαδόκην,
καὶ μέλλων γαμοδαίσια τῆς νύμφης ἑορτάζειν
ἀναγορεύει Καίσαρα τὸν τῆς παιδὸς νυμφίον.
καὶ μετ' ὀλίγον τελευτᾷ πρὸ χρόνου, πρὸ τῆς ὥρας,
μὴ γήρως ἐφαψάμενος, μὴ κατιδὼν τὸν στάχυν
τῆς ἡλικίας ὥριμον καὶ χρῄζοντα δρεπάνου,
ἰθύνας τὸ βασίλειον τέσσαρσι χρόνοις κράτος.
εὐθὺς δ' ἐπιλαμβάνεται Μαυρίκιος τῶν σκήπτρων,
τοῦ Τιβερίου κρίναντος τὸν ἄνδρα βασιλεύειν.
Οὗτος γαμβρὸν ἐπ' ἀδελφῇ τὸν Φιλίππικον ἔσχεν,
ἄνδρα γενναῖον, εὔτολμον, μέγαν ἐν στρατηγίαις,
καὶ πλούτῳ περιβρίθοντα καὶ λάμποντα συνέσει,
ἄρτι λιπόντα τὴν λαμπρὰν Ῥώμην τὴν πρεσβυτέραν
P 72 καὶ πρὸς Κωνσταντινούπολιν μετακεχωρηκότα.
τοῦτον λαμπρὸν γενόμενον ἐπὶ τροπαιουχίᾳ
καὶ παραλύσαντα Περσῶν τὸ φρύαγμα τὸ γαῦρον
καὶ καταγωνισάμενον ἐν μάχαις φρικαλέαις
ὑπώπτευε Μαυρίκιος ὡς δὴ βασιλειῶντα

3483 βίῳ A 3484 πενητοτροφίας A 3485 πρῶτα R
3489 Καππαδόκα M 3493 γῆρας AR, γήρους M

reas venas affatim aperuit. praeterea fovendis et alendis aegrotis, senio confectis, pauperibus complures domos exstruxit et destinavit. primus etiam templi 40 Christi testium, praeclara victoria potitorum, fundamenta iecit. cum autem filias tantum duas haberet, earum alteri Mauricium matrimonio iungit, virum ad res gerendas acerrimum, natione Cappadocem; cumque nuptias puellae celebraturus esset, sponsum eius Caesarem renuntiat. neque multo post morte immatura exstinctus est, administrato quattuor annis imperio. eo mortuo Mauricius imperium occipit, quem virum Tiberius dignum iudicaverat, qui regnaret.

Habebat Mauricius affinem Philippicum, suae videlicet sororis maritum, virum generosum, audacem, in ductitandis copiis magnum, opibus locupletem, illustrem prudentia; qui non ita dudum relicta Roma veteri Cpolin commigraverat. hunc victoriis claratum Persicaeque superbiae domitorem suspectum Mauricius habebat tanquam imperii rapiendi cupi-

καὶ παραρπάζειν θέλοντα τὴν αὐτοκρατορίαν.
ἦν δὲ παραίτιον αὐτῷ ταύτης τῆς ὑποψίας,
ὅτι τινὲς τῶν περιττῶν καὶ τῶν προφοιβαζόντων
τῷ Μαυρικίῳ προύφερον ὕθλους τινὰς γραώδεις,
ὡς τὴν ζωὴν καὶ τὴν ἀρχὴν ἀφαιρεθῆναι μέλλοι
πρός τινος ἔχοντος τὸ φῖ στοιχεῖον ἐν τῇ κλήσει.
ἐντεῦθεν ὁ περίλαμπρος, ὁ μέγας ἐν ταῖς μάχαις
τοῦ φθόνου φεῦ ἀποληφθεὶς ἐν μέσοις ἀρκυστάτοις B
μεταμφιέννυται στυγνὴν ἀντὶ λαμπρᾶς ἐσθῆτα,
καὶ τῶν τριχῶν τῆς κεφαλῆς σίδηρος κατορχεῖται
τοῦ πολυόλβου, τοῦ κλεινοῦ, τοῦ καρτεροκαρδίου.
Ἀλλ' ἦσαν ἄρα γηγενῶν ἐπισφαλεῖς αἱ φρένες,
καὶ πρὸς τὰ μέλλοντα τυφλαὶ τῶν λογισμῶν αἱ κόραι.
εἰς τί μὲν οὖν κατήντησε καὶ τέλος οἷον ἔσχε
τὸ φοίβασμα καὶ κόμψευμα τῶν τερατολογούντων,
τοῖς ἐφεξῆς γνωσθήσεται καὶ τοῖς ῥηθησομένοις·
ὁ δὲ χαγάνος προσβαλὼν Ῥωμαίων τοῖς φρουρίοις
(ἦν δ' ὁ χαγάνος βασιλεὺς Σκυθῶν τῶν προσαρκτίων)
καὶ πόλεις χειρωσάμενος εὐπύργους ἐξ ἐφόδου,
καὶ πᾶσαν Ἰστρογείτονα χώραν λεηλατήσας,
καὶ δείξας αἱματόφυρτα τοῦ ποταμοῦ τὰ ῥεῖθρα, C
καὶ ξίφος πᾶν καὶ δόρυ πᾶν τοῖς φόνοις καταλούσας,
τέλος πολὺ συναγαγὼν δορυαλώτων σμῆνος,
εἰς δώδεκα ποσούμενον χιλιανδρίας ὅλας,
πέμπει πρὸς τὸν Μαυρίκιον τὸν κράτορα Ῥωμαίων,

3522 ῥηθήσεται καὶ τοῖς λεχθησομένοις R 3524 πρὸς ἀρκτώων R
3530 ὅλας χιλιανδρίας AMR

dum. et erat obiter quaedam suspicionis huius causa, quod curiosi quidam homines et diviuandi periti Mauricio nugas aniles proposuerant, futurum scilicet ut vita pariter imperioque spoliaretur a quodam cuius a Φ litera nomen occiperet. hinc factum ut Philippicus ille clarissimus et magnus in praeliis, medias in casses invidiae delatus, cum veste splendida tristem commutaret capitisque crines amitteret.

Enimvero fallebantur mortalium animi, et oculi ratiocinationum in rebus futuris alucinabantur. vaticinii quidem huius quis fuerit exitus, deinceps a nobis exponetur. ceterum chaganus, Scytharum septentrionalium rex, cum Romanorum castella invasisset, impetu primo quasdam munitas urbes cepisset, omnem Istro vicinam regionem populatus fuisset, amnis ipsius flumina sanguine interfectorum tinxisset, suorum enses et hastas cruore abluisset, tandem magna captivorum multitudine coacta, quae virorum ad duodecim milia contineret, ad Mauricium Romanorum

παρακαλῶν λυτρώσασθαι τοὺς ἠχμαλωτισμένους
καὶ χρήμασιν ἀλλάξασθαι τὸ πλῆθος τοσαρίθμοις.
ἀλλ' οὐ κατέκαμψεν αὐτοῦ τὴν σκληρογνωμοσύνην
οὐ Σκυθικῆς ὠμότητος ἀπόνοια καὶ λύσσα,
οὐκ ἀγριόθυμος ὁρμὴ χαγάνου τοῦ βαρβάρου,
οὐ πένθος, οὐκ ὀλοφυρμός, οὐ δάκρυ τῶν ἁλόντων·
δεσμὸν γὰρ εἶχεν ἄρραγῆ τὴν φιλοχρηματίαν.
καὶ πάλιν ὁ τριβάρβαρος ἐκεῖνος ὁ χαγάνος
D *ἐκπέμπει πρὸς Μαυρίκιον μετριωτέρους λόγους*
καθυφιεὶς καὶ τὸ ποσὸν κατάγων τῶν χρημάτων.
ὡς δ' ἦν ἀσπὶς ὁ βασιλεὺς τὰς ἀκοὰς συμβύων
οὐδ' ἀνεχόμενος φωνῆς ἀΐειν ἐπαδόντων,
θυμοῦται φεῦ ὡς πάρδαλις, ὡς τίγρις ὁ χαγάνος,
καταψηφίζεται πικρὸν τοσαυτανδρίας πότμον,
θερίζει φεῦ τοῖς ξίφεσι τὸ πλῆθος τὸ τοσοῦτον,
καὶ πᾶν τὸ πρόσωπον τῆς γῆς τοῖς πτώμασι καλύπτει·
τὰς πεδιάδας τὰς ἐκεῖ δείκνυσι λυθροφύρτους,
καταστορέσας ὡς κορμοὺς πεύκης νεκρῶν σωρείαν.
Χρυσὲ διῶκτα, τύραννε, παντόλμε, δολοπλόκε,
πάντων κακῶν ἀκρόπολις, φρούριον ἀπωλείας,
ἑλέπολις, ῥιψέπαλξις, σπαράκτρια τειχέων,
P 73 *πόλεων τειχοσείστρια, τινάκτρια δωμάτων,*

3532 *παρακινῶν* AM 3533 *ἰσαρίθμοις* R 3535 *ἀπήνεια* R 3536 *ἀρχὴ* A 3537 *δάκρυον ἁλόντων* A 3543 *φωνὰς* R *ᾀδόντων ἐπαΐειν* R 3546 *σμῆνος* M 3547 *αἵμασι* M 3548 *τὰς π.*] *καὶ π.* M 3549 *κατασωρεύσας* R, *ἐγκαταστρώσας* R 3551 *φρ. ἀπ.*] *πάντων κακῶν ἡ ῥίζα* M

imperatorem mittit, atque captivos redimat hortatur. verum neque Scythicae crudelitatis extremus furor, neque barbari regis immanitas, neque luctus eiulationes lacrimae captivorum flectere durum imperatoris animum poterant, qui ab avaritia totus erat occupatus. rursus ergo barbarissimus ille chaganus, suis ad Mauricium missis, moderatius et aequius agi cum eo iubet, magna de pretio summa deducta. cum autem imperator aspidem imitans aures obturaret nec vocem excantantium admittere vellet, excandescit (proh dolor) chaganus pantherae ac tigridis instar, morti tot homines addicit, tantam (heu) multitudinem gladiis interficit, totam regionis superficiem cadaveribus mortuorum operit, campos omnes sanguine cruentat, acervis hominum interfectorum ad pinei stipitis altitudinem constratos.

O aurum, tyranne crudelis, hominum persecutor, audacissime, fraudulente, arx malorum omnium, omnium malorum radix, castellum perniciei, vastator urbium, propugnaculorum eversor, murorum dilacerator, oppidorum oppugnator, aedium succussor, qualibus malis mortales dive-

οἵοις κακοῖς τοὺς γηγενεῖς κρεωκοπεῖς καὶ τρύχεις!
οὐδὲν ἀνθαμιλλᾶταί σοι πραγμάτων τῶν ἐν βίῳ,
οὐδὲν ἀντιφερίζει σοι πάντων τῶν ἐπιγείων.
μαλάσσεις τὸν ἀμάλακτον, τὸν μαλακὸν σκληρύνεις·
γλῶσσαν ἀνοίγεις ἄφωνον, λάλον ἐπιστομίζεις·
ποιεῖς βραδὺν τὸν δρομικόν, πτηνόπουν τὸν ἀργόπουν.
πειράζεις μὲν καὶ θελγητρὸν ἐπάγεις ταῖς καρδίαις,
καὶ γοητεύεις ἴυγξιν ἀφύκτοις τὰς αἰσθήσεις,
ἀλλά σου τὸ καλλίχροον ὡς ἔχιδνα φαρμάσσει.
θεσμοὺς καὶ νόμους συμπατεῖς καὶ τὴν αἰδῶ διώκεις. B
τυμβωρυχεῖς, τοιχωρυχεῖς, ἀπεμπολεῖς, προδίδως.
λῆρος τὸ κομψευόμενον, ὡς ἔοικε, καὶ μῦθος,
ὡς ἄρα τὸν ἀδάμαντα μόνον αἷμα μαλθάσσει·
τί γάρ σου δραστικώτερον καὶ λίθους ἀπαλύνειν;
τί δὲ τὴν ὑπερίσχυρον ἰσχύν σου διαφεύγει;
Ὧδε μὲν ταῦτα στήτω μοι, τὰ δ' ἐφεξῆς ὁποῖα;
τὸν φόνον τὸν μυρίανδρον ὁ βασιλεὺς μανθάνει,
καταγινώσκει τῆς αὐτοῦ φαυλῆς σμικρολογίας,
λογίζεται τὴν συμφοράν, τὸ πάθος ἀναστένει,
καὶ μεταμέλῳ τὴν ψυχὴν πλήττεται βαρυτάτῳ.
ἐντεῦθεν δάκρυον αὐτῷ συχνὸν ἐκ τῶν ὀμμάτων
καὶ στεναγμοὶ βαρύστονοι καρδίας ἀπὸ μέσης,
καὶ πάταγος βαρύδουπος τὰ στέρνα μωλωπίζων, C

3554 *κακοποιεῖς* A 3556 *ἀντισφαιρίζει* AM 3557 *μαλθάσσεις* MRR 3567 *ἀπαλύνεις* R 3571 *μικρολογίας* R 3575 *ἐκ μέσης τῆς καρδίας* R

xas! nulla res in hominum vita tecum in certamen descendere potest: nulla res terrena tecum potest in comparationem venire. durum emollis, mollem induras: linguam mutam solvis, loquacem comprimis: currendo valentem tardum efficis, ac vicissim de tardo volucrem. corda inflammas et voluptate quadam demulces, sensus illecebris inevitabilibus ceu praestigiis quibusdam excantas, cum interim venustas illa tua non minus veneno suo quam vipera noceat. leges et iura proculcas, verecundiam et pudorem abigis, sepulchra violas, parietes perforas, nihil non habes venale, nihil non prodis. nimirum frivolum quiddam est ac fabula mera, vulgo quod dicitur, adamantem solum sanguine molliri. quid enim esse te possit efficacius, etiam in saxis emolliendis?

Enimvero de hoc satis. quid deinceps subsecutum? imperator de immensis illis hominum caedibus cognoscit, avaritiam ipse suam damnat, calamitatem acceptam expendit, miseriam tantam deplorat: animus paenitudine gravissima percellitur. hinc crebrae in oculis lacrimae, gemitus ex intimo corde ducti, graves et cum vibicibus coniunctae pectoris ver-

ὀλολυγμοὶ καὶ βρυχηθμοὶ καὶ πρὸς θεὸν ἐντεύξεις
μὴ πρὸς τὸ μέλλον τὰς ποινὰς αὐτῷ θησαυρισθῆναι,
ἐνταῦθα δὲ τοῦ πταίσματος τὰς δίκας εἰσπραχθῆναι.
κάμπτεται τούτοις ὁ θεὸς τοῖς γόοις, ἐπικλᾶται,
οἰκτείρει λιταζόμενον ἐκθύμως τὸν κρατοῦντα,
καὶ πρὸς τὴν αἴτησιν αὐτοῦ ταχέως ἐπινεύει,
σὺν ἀναρίθμοις δὲ στρατοῖς ὀπτάνεται κατ' ὄναρ,
καὶ τῷ Φωκᾷ τῷ φονικῷ κελεύει παραδοῦναι.
ἦν ταῦτα, καὶ μετὰ μικρὸν ἀπὸ τοῦ στρατοπέδου
ὁ κάκιστος ἐφίσταται Φωκᾶς τοῖς βασιλείοις,
ἐξαιτησόμενός τινα παρὰ τοῦ βασιλέως·
D *καὶ μαστιχθεὶς καὶ διωχθεὶς ἐφ' οἷς ἀπεφλυάρει*
ἀνθυποστρέφει, φαίνεται λοχάρχαις φαλαγγάρχαις
πνέων μανίας καὶ θυμοῦ, καὶ λόγους ἀποπτύων
φληνάφους, ἀποπέμποντας ὀσμὴν ἀπαιδευσίας,
καὶ λύσσαν ἐρευγόμενος κυνὸς ὑλακομώρου.
δεινοπαθεῖ τὸ στράτευμα ψευσθὲν τῶν ἠλπισμένων,
καὶ συνελθόντες εἰς ταὐτὸ στρατάρχαι κλιματάρχαι
κράτορα φεῦ τὸν λυσσητὴν Κέρβερον καθιστῶσιν,
ἄνδρα ληστήν, βαρύθυμον, φόνιον, ὁρμητίαν.
Ὡς δ' ἔμαθε Μαυρίκιος καὶ τὴν ἀποστασίαν
καὶ τὸν ἀλάστορα Φωκᾶν κρατοῦντα φεῦ Ῥωμαίων,

3579 *πτώματος* AM 3586 *τὴν βασιλίδα* R, *τοῖς στρατιώταις* A 3587 *ἐξαιτησάμενος* R 3591 *ἀπὸ καρδίας* R 3595 *λυσσηρὸν* R, *μισητὸν* R 3598 *Φωκᾶν κρατοῦντα τῶν Ῥωμαίων* R

berationes, ululatus, rugitus, ad deum supplicationes, ne ad vitam secuturam supplicia cumularet, sed hic lapsus sui poenas exigeret. hisce lamentis deus flectitur, imperatoris toto pectore supplicantis commiseratione tangitur, precibus ipsius annuit. sed tamen inter innumerabiles copias Mauricio se per quietem spectandum exhibet, eumque sanguinario Phocae tradi iubet. non magno temporis interiecto spatio sceleratissimus ille Phocas e castris advenit, quaedam ab imperatore commilitonibus suis exoratus. cumque flagris caesus et eiectus e regia foret ob ea quae importune deblaterasset, in castra revertitur, cohortium phalangumque ductores adit, meram spirans insaniam, plena iracundiae verba exspuens, quaeque meram stoliditatem et imperitiam redolerent, latrantis denique canis in morem nil nisi rabiem eructans. quin etiam miseriam exercitus amplificat, spe sua frustrati. quapropter in unum coacti copiarum et provinciarum duces furiosum hunc Cerberum (proh impium facinus) imperatorem declarant, sceleratum inquam latronem, iracundum, sanguinarium, quaevis ad flagitia promptum.

Mauricius ubi de militum defectione certior factus esset ac pestem illam communem Phocam imperatorem renuntiatum esse didicisset, cona-

ὥρμησε μὲν διὰ φυγῆς κλέψαι τὴν σωτηρίαν, P 74
ἀλύξαι δ' οὐκ ἐξίσχυσε τὰς πανσθενεῖς παλάμας·
τὸν γὰρ κρατῆρα τῆς ὀργῆς καὶ τῆς δικαίας ψήφου
ἔμελλεν ἄκρατον πιεῖν ἄχρι καὶ τοῦ τρυγίου.
τοίνυν ἁλίσκεται φυγὼν ἅμα τῇ βασιλίδι
καὶ τοῖς φυεῖσιν ἀπ' αὐτοῦ πορφυροφύτοις κλάδοις.
ὁ δὲ θεομισέστατος ἀνθρωποφόντης δράκων
πάντας ὁμοῦ συναγαγὼν ἐπ' ὄψει Μαυρικίου
καρατομεῖ θηριωδῶς τὰ πρῶτα μὲν τοὺς παῖδας
τοὺς ἐν ἀκμῇ, τοὺς νεογνούς, εἶτα τὴν βασιλίδα,
καὶ μετ' αὐτοὺς Μαυρίκιον (τῆς ἀνοχῆς σου, λόγε!)
χρόνοις ἐφ' ὅλοις εἴκοσι κρατήσαντα Ῥωμαίων.
Εἰς τοῦτο μὲν ἀπέβησαν αἱ φλήναφοι τερθρεῖαι B
καὶ τὰ χρησμοδοτήματα τῶν περισσολογούντων·
ὡς δ' ἐπελάβετο Φωκᾶς τοῦ κράτους καὶ τῶν σκήπτρων,
εὐθὺς ἐκ πρώτης, ὥς φασι, βαλβῖδος παρεγύμνου
τὸν θῆρα τὸν πικρόθυμον τὸν ἔνδον κεκρυμμένον·
ἦν γὰρ τοὺς τρόπους φονικός, ὑγρόβιος, λυσσώδης,
ἀκρατοπότης, πάροινος, ἀκρόχολος, οἰνόφλυξ.
ἐντεῦθεν αἵματα ῥοφεῖν ὥσπερ βαρύφρων λέων
καὶ σάρκας βρωματίζεσθαι ῥυηφενῶν ἀνθρώπων
πόσιν ἐνόμιζε τερπνήν, νέκταρος γλυκυτέραν.

3599 διαφυγεῖν M 3602 μέχρι A 3605 θεομισότατος ἀνθρωποφάγος R v. 3610 om RR, suffecto alter epigrammate illo A. P. 2 p. 792 n. 102. qui habent, post 3612 habent. transposuit Meursius. 3612 περισσοσοφούντων RR 3615 κεκλεισμένον A 3616 τὸν τρόπον M 3618 αἱματοροφεῖν A, αἷματα ῥοφᾶν RR

batur ille quidem fuga saluti suae consulere, verum de manibus illis omnipotentibus elabi nullo modo poterat: nam decretum erat ut irae iustique iudicii craterem ad ipsas usque faeces exhauriret. quapropter in fuga cum imperatrice ac natis in imperio liberis capitur. deinde invisissimus ille deo cruentusque draco, cunctis in conspectu Mauricii collectis, primo quidem liberis tam adultis quam iunioribus capita praecidi iubet, hinc imperatricem, ad extremum Mauricium interficit. o quanta patientia tua est, fili dei sermo.

Atque hic fuit exitus illarum praestigiarum et vaticiniorum, quae ab hominibus curiosas nimium artes tractantibus profecta fuerant. postea quam Phocas imperium occupasset, a primis, quod aiunt, carceribus belluam acerbam intra ipsum abditam ostentabat. nam moribus et indole sanguinaria praeditus erat, humida vita gaudens, furiosus, temulentus, in vino immodestus, iracundus, ebriosus. hinc fiebat ut in morem feri leonis sanguinem sorberet, ac opulentorum hominum carnibus vesci pro suavi potione duceret ipsoque nectare dulciori. Narsem illum copiarum

C οὗτος Ναρσῆν τὸν στρατηγόν, τὸ τῶν Ῥωμαίων θαῦμα,
πυρὸς τροφὴν πεποίηκε, καὶ τὸ τῆς παροιμίας,
νεᾶνιν καλλιπρόσωπον ἐστέρησεν ὀμμάτων,
τηλίκον ἄνδρα στρατηγὸν Ῥωμαίους ζημιώσας,
καὶ μέρος καίριον τεμὼν ἐκ τῆς ὁλομελείας
τὸ κάλλιστον ὁ κάκιστος ἠνθράκωσε καμίνῳ,
τὸν καὶ ζωῆς ἐπάξιον, εἰ δυνατόν, ἀλήθου
ὁ τρισμυρίων ἄξιος πότμων πικροθανάτων.
ἀλλὰ γὰρ ἤλγησεν ἡ γῆ λιμναζομένη φόνοις,
καὶ λυθροστάλακτος αὐτῷ καθ᾽ ὥραν γινομένη
βοὰς ἐξέρρηξεν οἰκτρὰς ἐκ στόματος ἀλάλου,
καὶ τῆς τιγροπαρδάλεως κατεῖπε τῆς λυσσώδους.
ἤνοιξε βλέφαρα θεός, ἔβλεψε τὴν κακίαν,
D καὶ κατοικτείρας τὰς σφαγὰς τῶν κρεανομουμένων
τὴν δίκην ἐψηφίσατο τὴν τῆς ταυτοπαθείας.
τῶν γὰρ ἐν τέλει καὶ λαμπρῶν τινὲς καὶ τῆς συγκλήτου,
ὡς ἄρνας βλέποντες πικρῶς ἀνθρώπους θυομένους,
δημευομένους ἀπηνῶς, οἰκτρῶς σπαρασσομένους,
καὶ πῦρ ὑφέρπον πανταχοῦ καὶ φλόγας ἐριβρόμους
ἀποτεφρούσας τὰ λαμπρὰ τῶν οἰκοδομημάτων,
καὶ θῆρα τὸν ὠμόθυμον πίνοντα μὲν τοὺς φόνους,
ὅμως μὴ κορεννύμενον ἀλλὰ διψῶντα πλέον,

3627 καὶ τὸν A ἀλύθου M, consentientibus, ut videtur, libris. an ἀλύτου? quod est v. 4434. 3630 αὐτῇ RR 3631 πικρὰς R 3634 κατοικτείρων MR 3636 καὶ τῆς] ἐκ τῆς RR 3639 φλόγα ὑψουμένην M

ducem, qui miraculum Romanorum erat, igni concremavit; atque hoc facto iuvenculam, ceu dici proverbio solet, eleganti vultu praeditam oculis privavit. proh qualem hoc viro extincto ducem Romanis ademit! nimirum e tota membrorum serie membrum longe utilissimum exsecuit, ac vir sceleratissimus optimum, infinitas acerbissimasque mortes commeritus perpetua, si fieri posset, vita dignum in carbones ac favillam redegit. enimvero tellus ipsa caedibus restagnans maerebat, et sanguinis stillicidio conspersa singulis horis, hominem intuita, voces plane miserabiles ex ore muto proferebat, et tigropardalim furentem accusabat. quapropter oculos deus aperuit, et hominis improbitate perspecta, miseratus eorum mactationes qui dilaniabantur, tale supplicium ei destinavit, ut quae ipse designasset, ea vicissim ab aliis perpetoretur. itaque proceres et illustres ac senatorii quidam ordinis viri, cum homines agnorum instar miserrime iugulari, proscribi crudeliter, miserandum in modum lacerari cernerent, ignemque hunc adeo cum flammis illustres domos in cineres redigentibus latissime serpere, immanem denique belluam caedibus quidem crudeliter pasci, non tamen exsatiari sed magis etiam sitire, de

ἀγωνιῶσιν ὑπὲρ σφῶν, κινδύνους ὑφορῶνται,
τῷ στρατηγῷ τῆς Ἀφρικῆς γράφουσιν Ἡρακλείῳ P 75
στόλον κροτῆσαι δύσμαχον σκαφῶν θαλασσοπλόων,
καὶ προβαλέσθαι στρατηγὸν ναύαρχον καὶ στολάρχην
τὸν παῖδα τὸν Ἡράκλειον κατὰ τοῦ παρανόμου.
ἤκουσε ταῦθ' Ἡράκλειος, εἰς μάχην ἠρεθίσθη,
καὶ στόλος ὑγροκέλευθος τὴν θάλασσαν ἐπλήρου,
καὶ πλοῦς ἐγίνετο ταχὺς ἐπὶ τὴν Βυζαντίδα.
μανθάνει ταῦτα καὶ Φωκᾶς, στρατὸν ἀντεφοπλίζει,
καὶ στόλον ἀνεμόπτερον ἀντίπλουν ἑτοιμάζει.
ἀλλ' ἐπολέμει καὶ θεὸς καὶ πόντος τῷ τυράννῳ,
καὶ συμβαλὼν ὁ κάκιστος ἡττᾶται κατὰ κράτος,
αἰσχύνεται, διώκεται, ζωγρεῖται τελευταῖον. B
ὃν καὶ λαβὼν Ἡράκλειος ἐνδίκως κατασφάττει,
ὀνειδισμοῦ τοῖς βέλεσι πρότερον κατατρώσας.
οὕτω ψυχὴν τὴν φονικὴν ἐξέρρηξε βιαίως
ἡ βούβρωστις ἡ κοσμική, φάρυγξ ἡ παντοφάγος,
ὁ τοῦ θανάτου πρόσπολος, ὁ φίλος Ἐρινύων,
ἐφ' ὅλοις ἔτεσιν ὀκτὼ βιαίως τυραννήσας,
καὶ γέγονε βρωματισμὸς ὀρνέων σαρκοβόρων.
εὐθὺς δὲ προσεγέλασε τὸ κράτος Ἡρακλείῳ.
Τούτῳ πατρὶς Καππαδοκῶν ἡ τρισευδαίμων χώρα,
καὶ γένος τῶν ἐπιφανῶν καὶ τῶν κομώντων πλούτῳ.

3643 ὑφορῶντες R 3645 θαλασσοπλοίων RR 3646 σχολάρχην AM 3648 πρὸς R 3652 ἀνεμόστολον R 3653 πάντως M, στόλος R 3661 ἐν RR βιάσας AM v. 3662 om RR

semet ipsis angi occipiunt, imminentia pericula formidant, Heraclio duci Africae per literas significant, classem validam instrueret, eique filium Heraclium contra sceleratum imperatorem praeficeret. his cognitis Heraclius ad bellum sese comparat. iamque classis occupato mari recta celeriterque Byzantium contendebat. eo motu Phocas intellecto vicissim et ipse militum copias instruit, hostibusque velocissimam classem opponendam comparat. verum ipse deus et ipsum mare bellum adversus tyrannum gerebant. cumque facinorosissimus homo manum cum hoste conseruisset, acerrimo praelio vincitur, pudore afficitur, persequentibus adversariis tandem vivus capitur. oblatus Heraclio aequissimo iure trucidatur, cum prius variis probris affectus fuisset. sic violenta morte cruentam animam efflavit illa totum mundum absorbere conata voracitas, gula cuncta glutiens, minister mortis, amicus dirarum, cum tyrannidem totis annis octo per vim obtinuisset.

Mox autem Heraclius rerum potiri coepit, cui patria quidem erat Cappadocum illa felicissima regio, generis autem origo ab illustribus

ἦν δὲ στρατηγικώτατος, ἄλκιμος, θυμολέων,
ὁπλίτης καρτερώτατος, ὀξύχειρ, βριαρόχειρ.
υἱὸν δὲ σχὼν οὐκ ἀγενῆ τοὔνομα Κωνσταντῖνον,
C *ἐπείπερ ἡ βασίλισσα κατέλυσε τὸν βίον,*
Μαρτίναν προσηρμόσατο πρὸς λέχους κοινωνίαν·
ἦν δὲ Μαρτίνα βασιλεῖ μητρόθεν ἀδελφόπαις,
ἐξ ἧς υἱὸς Ἡρακλωνᾶς γέγονεν Ἡρακλείῳ.
ὃς ὕστερον ἀπατηθεὶς ἀνθρώποις κακοτρόποις
τοῖς δόγμασιν ὑπέκυψε καὶ ταῖς φρενοβλαβείαις
τῶν ἐν Χριστῷ τὴν θέλησιν μίαν φλυαρησάντων.
Τότε Χοσρόης ὁ Περσῶν ὑπέραυχος δυνάστης,
τὴν πᾶσαν ληϊσάμενος Ἀσίαν καὶ σκυλεύσας,
ἕως αὐτῆς τῆς εὐκλεοῦς ἤλασε Βυζαντίδος,
ὑπέροφρυ τὸ στράτευμα καὶ σοβαρόφρον ἄγων,
κατάφρακτον τοῖς θώραξι, βρέμον ἐν τοξουλκίαις,
δορατοφόρους αἰχμητάς, δυσμάχους λογχοφόρους,
D *καὶ γένος πᾶν ἀρεϊκὸν ἐκ Μήδων, ἐκ Χαλδαίων,*
ἐξ Ἀσσυρίων, ἐκ Περσῶν, Βακτρίους, Παρθυαίους,
χρυσεοπήληκας, ἁβρούς, πάντας φαρετροφόρους,
μυκτηροκόμποις βρέμοντας ἵπποις χρυσοφαλάροις.
ὡς οὖν ἑώρα βασιλεὺς ἀμήχανον συμμῖξαι
Χοσρόου τοῖς στρατεύμασιν (ὑπὲρ γὰρ ψάμμον ἦσαν),
βουλεύεταί τι δραστικὸν καὶ πλῆρες ἀγχινοίας.

3669 *κατέλιπε* M 3670 *γάμου* R 3676 *ὑπέρμαχος* R
3678 *βασιλίδος* R 3682 *καὶ Μήδων καὶ* R 3686 *ἀμηχανῶν* M

viris amplaque fortuna florentibus. rei militaris peritissimus erat, fortis, leonino praeditus animo, laborum tolerantissimus, manu promptus, robustus. Constantinum filium minime degenerem ex coniuge prima suscepit, qua rebus humanis exempta Martinam ad vitae societatem adscivit. erat haec imperatori ex avunculo consobrina, de qua natus est ei filius Heraclonas. Heraclius ipse deinceps ab hominibus improbis circumventus eorum decretis et erroribus assensus est, qui unam in Christo voluntatem esse nugati sunt.

Id temporis Chosroës arrogantissimus rex Persarum, Asia tota direpta spoliataque, pervenit ad ipsum usque Byzantium, copias sane superbas et insolentes secum ducens, nimirum loricatos, sagittarios, hastatos aliosque pugnandi peritos, de quavis natione bellicosa collectos, de Medis, Chaldaeis, Assyriis, Persis, Bactrianis, Parthis; qui omnes galeis utebantur aureis, eleganter instructi, pharetris muniti, generosis equis insidentes, quos aureae phalerae contegebant. cum ergo videret imperator fieri nullo modo posse ut praelium cum exercitibus Chosrois committeretur, qui tantum non arenam multitudine superabant, consilium efficax et sagacitatis plenum capit. virgini quidem dei matri Byzanti-

τῇ κόρῃ τῇ θεόπαιδι τὴν πόλιν ἐπιτρέπει
καὶ τὸν υἱὸν καὶ τὸν λαόν, αὐτὸς δ' ἐντεῦθεν ἄρας
καὶ συλλεξάμενος στρατὸν ἐκ γῆς ἀπὸ θαλάσσης,
ψιλοὺς ἐνόπλους ἱππαστὰς ὁπλίτας σακεσφόρους,
εἰς γῆν εἰσβάλλει Περσικήν, προσβάλλει καὶ φρουρίοις
καρτεροτείχοις ἐρυμνοῖς εὐπύργοις στερροπύργοις,
φθείρει πορθεῖ λεηλατεῖ πᾶσαν τὴν ὑπὸ Πέρσας, P 76
ἄγαν σοφῶς τεχνώμενος μεθέλκειν Βυζαντόθεν
κἀντεῦθεν ἀντιπερισπᾶν Χοσρόου τὰς δυνάμεις.
πόλεων γοῦν τῶν Περσικῶν ἐκείροντο τὰ κάλλη,
ἀγροὶ πυρὸς ἐγίνοντο δαπάνη πολυξύλου,
ἠνδραποδίζοντο πικρῶς ὑπέρακμοι πρωθῆβαι,
γυναῖκες καλλιπλόκαμοι, κορίσκαι, γηραλέαι,
καὶ παῖδες ὑπαγκάλιοι, γαλακτοφάγα βρέφη.
ἐλούετο τοῖς αἵμασιν ἡ τῶν Ῥωμαίων σπάθη,
ἡρπάζοντο βοσκήματα, μητέρες ἠτεκνοῦντο,
καὶ στόνος κατελάμβανε τὴν Περσικὴν καὶ γόος·
πτηνὴ γὰρ ἐκδικήσεως ἐπέτρεχε ῥομφαία,
καὶ πάσας κατεβόσκετο σπάθη θυμοῦ τὰς πόλεις.
ἀκούει ταῦθ' ὁ βασιλεὺς Περσῶν ὁ φρυακτίας, B
καὶ τὰ γινόμενα μαθὼν ἀπαίρει Βυζαντόθεν.
προῆγε μὲν Ἡράκλειος εἰς μέσην τὴν Περσίδα,
ὁ δὲ Περσάρχης πρὸς αὐτὸν ἤλαυνεν ὀπισθόπους.
καὶ γενομένης ὑπ' ἀμφοῖν καρτερομάχου μάχης
καὶ προσβαλόντων φρικωδῶς ἀλλήλοις τῶν ταγμάτων

v. 3691 om M 3692 ἱππευτὰς AR 3699 ἐγένοντο A 3702 γαλακτοτρόφα M 3707 ἐπεβόσκετο R 3709 γενόμενα RR

nam urbem cum filio populoque committit: ipse vero ab urbe profectus, coactisque copiis tam mari quam terra, levis et gravis armaturae militibus, equitibus, statariis, scutatis, ad Persicos fines contendit, castellis munitis copias adhibet, urbes evertit, universam Persarum dicionem diripit, perquam sapienter hostem a Byzantio cogitans abstrahere et copias eius a se in vicem divellere. itaque Persicarum urbium segetes demetebantur, igne vastabantur agri, peracerbe rapiebantur in servitutem aetate provectiores, ancillae, mulieres formosae, puellae, vetulae, infantes qui ulnis gestabantur et adhuc lactebant; gladii Romanorum in sanguine abluebantur, diripiebantur pecudes, matres liberis orbabantur: totam denique Persiam lamentationes et ploratus occupabant. quippe volucris gladius ultionis advenerat, et iracundus ensis urbes universas depascebatur. audit haec superbus ille rex Persarum: mox obsidionem Byzantii solvit. interea mediam in Persidem suis cum copiis Heraclius penetrat. eum a tergo consectabatur Persarum princeps. cumque praelium acre commissum inter utrosque foret, immensa quidem utrinque

νεκροὶ μὲν ἑκατέρωθεν ἐγένοντο μυρίοι,
πλὴν ὅμως καθυπέρτερα τὰ τῶν Ῥωμαίων ἦσαν.
ἔβλεψε τότε καὶ Περσὶς ἐκ Βυζαντίου σπάθην
θεριστικὴν ἀμφίστομον, δρεπάνην πετομένην
καὶ πόλεις ἀφανίζουσαν καὶ τοὺς ἀγροὺς πορθοῦσαν.
C *καὶ πάλιν ἄλλο συνετὸν ὁ βασιλεὺς τεχνᾶται·*
ἦν γὰρ ἐμπειροπόλεμος εὐμήχανος στρατάρχης.
μικρὸν ὑπολειπόμενος τὸν δρόμον ὑποτέμνει,
καὶ Περσικοῦ στρατεύματος σὺν ἅμα τῷ Χοσρόῃ
ὑπερδραμόντος καὶ στρατὸν Ῥωμαίων παρελθόντος
αὐτὸς ἐκείνοις φεύγουσιν εἵπετο κατὰ νῶτον,
καὶ μυριάκις συμπλακεὶς ἀντενωπίοις μάχαις
καὶ τοῖς ὀστοῖς τοῖς τῶν Περσῶν τὰ ξίφη διαθρύψας
τὸν βάρβαρον οὐκ ἔληγε διώκων καὶ συμπνίγων,
ἕως αὐτοῦ τὸ προσγενὲς καὶ τῶν Περσῶν οἱ κρείττους
καὶ πᾶν αὐτοῦ τὸ φίλιον καὶ πάντες φαλαγγάρχαι
καὶ παῖς αὐτοῦ πρωτόσπορος πρωτόφυτος Σιρόεις
τὸν ἐναγῆ καὶ βδελυρὸν Χοσρόην μυσαχθέντες
D *δεσμῷ στερρῷ συσφίγγουσι πολυχανδὲς ὡς κῆτος,*
ὡς λέοντα βαρύθυμον, ὡς πάρδαλιν ἀγρίαν,
καὶ τῷ λιμῷ πιέζουσι καὶ τέλος θανατοῦσιν.
ἐν ἑξαμέτρῳ τοιγαροῦν ἡλίου περιδρόμῳ
τὴν Περσικὴν καὶ Μηδικὴν Ἡράκλειος ἐκτρίψας
καλλίνικος ἀνέζευξεν ἐπὶ τὴν βασιλίδα.

3714 *ἐγίνοντο* RR 3717 *ἀμφίτομον* A 3727 *ἔληξε* R
3730 *αὐτῷ* R 3732 *πολυχανὲς* A 3736 *συντρίψας* R
3737 *Βυζαντίδα* MRR

multitudo mortalium cecidit, victoria tamen penes Romanos stetit. vidit id temporis etiam Persarum regio Byzantium gladium secandi non ignarum, ancipitem, falci volanti consimilem, urbes abolentem, agros vastantem. rursus imperator aliud quiddam prudenter molitur, quippe gerendi belli peritus et dux copiarum industrius ac ingeniosus. progressionis impetu nonnihil remisso a tergo manebat; cumque Persicus exercitus una cum Chosroë pleno cursu Romanorum copias praeteriisset, ipse fugientes a tergo consectabatur, et praeliis adversis hostem saepissime adortus magnaque multitudine caesa regem barbarum persequi ac premere non desinebat, donec tandem eius consanguinei, Persarum optimates, amici regii, copiarum duces universi, cum primogenito filio Siroë, detestandum illum et exsecrabilem Chosroem abominati in vincula coniicerent ceu cetum quendam capacissimum, ceu leonem iracundum, ceu pantheram immanem; ubi fame pressus vivendi finem fecit. itaque sexennio toto in exscindendis Persarum Medorumque regionibus exacto victoriosus imperator Byzantium reversus est.

Καὶ ταῦτα μὲν ἐνιαυτοῖς ἀπέβησαν ὑστέροις·
ἀλλ' ἔτι διατρίβοντος ἐν Πέρσαις Ἡρακλείου,
τοῦ δὲ Περσῶν στρατεύματος ἀντιπολιορκοῦντος
καὶ χαίνοντος καταπιεῖν τὴν πόλιν τὴν ὀλβίαν,
ἄλλος τραχὺς βαρύβρομος μυριοκύμων κλύδων
ἀντεπηγέρθη, φοβερὸν βρυχόμενος ὡς λέων,
καὶ κατακλύζειν ἀπειλῶν τὴν τηλικαύτην σκάφην.
ταῖς Περσικαῖς γὰρ Σκυθικαὶ δυνάμεις συνδραμοῦσαι P 77
καὶ φάλαγγες ἰσόψαμμοι θηριωδῶν Ἀβάρων,
ὡς χείμαρροι βαρύδουποι σὺν ψόφοις συρραγεῖσαι,
καθάπερ εἰς μισγάγκειαν τὴν πόλιν ἐπερρόθουν.
οἱ Πέρσαι τὰς παρεμβολὰς εἶχον ἀντενωπίους
(καὶ μέχρι γὰρ Δαμάλεως καὶ τῶν Καλχηδονίων
αἱ σφῶν δυνάμεις κέχυντο βαρύθρουν λαλαγοῦσαι),
Ἄβαρες πρὸς τοῖς τείχεσιν ἐφήδρευον καὶ Σκύθαι,
καὶ πᾶν δεινὸν καὶ πᾶν στυγνὸν ἐφαίνετο προὔμμάτων.
ἐκεῖθεν ἦχει φοβερὸν ἡ Σκυθοτρόφος Σκύλλα, B
ἐντεῦθεν τῆς Χαρύβδεως ἠνοίγετο τὸ στόμα,
καὶ μέσον ἐχειμάζετο τῆς πόλεως τὸ σκάφος,
καὶ πανταχόθεν κίνδυνος καὶ πανταχόθεν σάλος.
ὁ δὲ καιρός, ὡς ἔοικε, φιλονεικῶν ὁ τότε
ἄλλο μηδὲν παραλιπεῖν μεῖζον κακὸν ἀνθρώποις,

3741 *χαίροντος* R 3742 *ταχὺς* A *βαρύστονος* R, *βαρύθυμος* M *βιαιοκύμων* A 3747 *χειμῶνος* R 3748 *ἐς σμιγάγκειαν* A 3750 *Χαλκηδονίων* A 3753 *πραγμάτων* R

Sed haec annis sequentibus acciderunt. cum autem Heraclius adhuc in Persia commoraretur et Persarum exercitus urbem Byzantinam sic obsideret ut ei devorandae prorsus inhiaret, alia quaedam gravis tempestas excita est, quae et ipsa navem illam se demersuram minitaretur. etenim ad exercitus Persicos etiam copiae Scytharum accedentes arenisque pares immanissimorum Avarum phalanges, torrentium in morem eruptione simul facta, versus urbem, ceu cavam quandam vallem, ingenti cum strepitu ferebantur. Persae castra metabantur ex adverso urbis, ad Damalim ac Chalcedonem usque diffusis eorum agminibus, quae quidem sonum horrendum edebant: Avares et Scythae sub ipsis moenibus haerebant. nulla non tristis et horrenda sese facies oculis ostentabat. ab una parte terribiliter Scythica Scylla strepebat, ab altera Charybdis os patulum conspiciebatur: in harum medio scapha urbis magna tempestate iactabatur, cui nulla non ex parte periculum procellis imminebat. cum denique tempus illud, uti quidem videtur, in hoc tota virium contentione incumberet, ne quod aliud malum apud homines calamitate illius aetatis maius exstaret, cunctas etiam Tauro vicinas natio

καὶ πᾶσαν περιταύριον ἤγειρεν ἐθναρχίαν·
ἀκρίδα μυριόπτερον εἴποι τις ἂν εὐστόχως.
καὶ γάρ τοι συμπηξάμενοι θαλαττοπόρα σκάφη
Ταυροσκυθῶν οἱ φύλαρχοι τῶν ἀγριοκαρδίων,
καὶ πλῆθος ἀπειράριθμον τοῖς σκάφεσιν ἐνθέντες,
ἐπῄεσαν καλύπτοντες τὰ νῶτα τῆς θαλάσσης
τοῖς λεμβαδίοις τοῖς πυκνοῖς, τοῖς αὐτοξύλοις πλώοις.
C οὕτως αἱμάστιγες πολλαὶ μυριαχόθεν ἦσαν
καὶ πάντοθεν τὰ πράγματα στενὰ τῇ βασιλίδι.
ἦν ὁ μὲν Πέρσης ὡς πικρὸς σκορπίος κεντροφόρος,
ὡς δ' ἔχιδνα φαρμάκτρια Σκυθῶν θυμοτολμία,
ἀκρὶς ὁ Ταυροσκύθης δὲ πεζόπτερος πτηνόπους.
τόσοις κακοῖς ἐπάλαιε τὸ Βυζαντίων ἄστυ,
πάντοθεν δ' ἦν ἀμήχανα τὰ τῆς ἐπικουρίας.
ἀλλ' ὑπερήσπιζεν αὐτοῦ μεγασθενὴς βραχίων,
ἀλλ' ἦν ὑπέρμαχος αὐτοῦ παλάμη κραταιόχειρ.
καὶ τοίνυν ἐξεφύσησεν ἄνεμος ἀγριόπνους,
καὶ κλύδωνας ἐξήγειρε καὶ στρόφους πολυστρόφους,
καὶ πᾶσαν κατεπόντωσεν ἄπλετον στολαρχίαν.
ἔδυσαν ὡς ἡ μόλιβδος εἰς ἅλμην θαλαττίαν
D οἱ κούφως ἐπιπλέοντες ὑγροκελεύθους πόρους,
ὡς πρὶν σοβαροπρόσωποι τοῦ Φαραὼ τριστάται.
ἐντεῦθεν ἐξεχύθησαν οἱ πρὶν πεφοβημένοι
Ῥωμαῖοι καὶ τοῖς τείχεσιν αὐτοὺς συγκεκλεικότες.

3760 ἐπιταύριον R, περιταύρειαν A 3766 καραβίοις R πυκνοῖς καὶ αὐτ. R 3769 μὲν ὁ R 3770 φαρμακεύτρια R 3778 κατεπόντισεν R 3782 ἐξεχέθησαν A

nes concitavit, quas locustarum infinitati non abs re quis comparaverit. etenim Tauroscytharum immanium principes compactis scaphis et innumerabili multitudine in eas imposita, lintribus ex uno ligno factis universum mare cooperibant. hoc modo plagae variae de plurimis locis existebant, et ab omni parte res urbis imperatricis in angustum cogebantur. Persa consimilis erat pungenti scorpio, Scytharum ferox natio virulentae viperae, Tauroscytharum gens locustae, quae et pedes incedit et volat. tot et talibus aerumnis urbs laborabat, et in his omnibus malis auxilii nihil apparebat. sed enim propugnabat eam manus potentissima, robustumque brachium illam defendebat. itaque ventus ingens commotus tempestas et aquarum vertices excitavit, totamque classem illam immensam adobruit. videre tum erat instar plumbi sub aquas marinas demergi eos qui antea levi motu semitas illas humidas navigiis peragrabant, non aliter atque olim superbi Pharaonis satellitibus accidit. hinc iam Romani, prius terrore nimio perculsi, extra urbem semet

ὡς σελευκίδες ὤφθησαν ταῖς πτερωταῖς ἀκρίσιν,
ὡς ἴβεις δὲ πτερόεσσαι τοῖς ὄφεσιν ὑπῆρξαν.
καὶ μέλος ἐπινίκιον ἠλάλαξαν ὑμνοῦντες
καὶ τὰς ᾠδὰς τῇ στρατηγῷ θύοντες καταλλήλους.
οὕτως οὐ γίγας σώζεται τῷ πλήθει τῆς ἰσχύος,
οὐδὲ δυνάστης ἐν χερσὶ στρατοῦ πολυδυνάμου·
ἂν γὰρ θεὸς μὴ πήξειε τῶν οἴκων τοὺς θεμέθλους,
ἂν μὴ θριγγίῳ κραταιῷ τοὺς δόμους περιβάλλει,
καὶ τὰ τῆς τέχνης ἄχρηστα καὶ τὰ τοῦ κόπου κόποι.
Εἰς τοῦτο μὲν ἀπέβησαν τὰ πράγματα Ῥωμαίοις· P 78
τριάκοντα δ' ἐν ἔτεσιν Ἡράκλειος κρατήσας
φάος ἐξέλιπεν ὁμοῦ καὶ στέφος καὶ τὸν βίον.
ἐπεὶ δὲ τὸν Ἡράκλειον ἠνάγκασεν ἡ φύσις
δοῦναι τὸν χοῦν τοῦ σώματος τῇ γῇ τῇ δανεισάσῃ,
ὁ παῖς αὐτοῦ χειρίζεται τὰ σκῆπτρα Κωνσταντῖνος,
ὃς πρὸς μικρόν τι γνωρισθεὶς μόναρχος αὐτοκράτωρ
καὶ τῆς ἀρχῆς γευσάμενος πρὸς ἓν ἔτος τοῦ στέφους
ἀνθυπεκρύβη τάχιον, ἐξέλιπε πρὸ χρόνου,
μηδέν τι μνήμης ἄξιον φθεγξάμενος ἢ δράσας,
τῆς μητρυιᾶς, ὡς λέγουσι, Μαρτίνης καὶ τοῦ Πύρρου
συγκερασάντων φάρμακον αὐτῷ θανατηφόρον.
ὁ Πύρρος δ' ἦν ἀρχιερεὺς τότε τῆς Βυζαντίδος, B
λοιμὸς ἀνὴρ καὶ δυσσεβὴς καὶ φαρμακὸς καὶ γόης.

3784 τοῖς πτερωτοῖς A 3785 πτερώωσαι R 3792 ἄριστα R
3797 τῇ] καὶ ARR 3801 αὐθ' ἀπεκρύβη M 3805 οὗτος MR
ὁ Βυζαντίου AR

effundebant, et intra muros quosdam conclusis hostibus ita tractabant natos in rupibus barbaros, ut locustas Seleucides solent, ut ibes illae volatiles agere cum serpentibus consuevere. simul triumphale carmen cum hymnis concinebant, et convenientes odas divae ductrici velut immolabant. ita gigas immenso robore salutem suam non tuetur, nec princeps potentis populi viribus se defendit. nam si deus aedium fundamenta non iecerit, si valido septo domos non obduxerit, omnes artis machinationes atque labores inutiles sunt.

Atque hunc sane Romani tam felicem obsidionis eventum habuere. secundum haec Heraclius annis 30 imperio administrato vitam cum corona reliquit. coacto autem a natura Heraclio ut corporis pulverem terrae, quae mutuum dederat, restitueret, Constantinus eius filius imperium accepit, et exiguum ad tempus eo potitus mortem immaturam obiit, nullo neque verbo neque facto memorabili ad posteros transmisso. perhibent autem venenum ei propinatum fuisse a Martina noverca et Pyrrho Byzantino pontifice, qui pestilens erat homo et impius, veneficus, praestigiator.

Ὡς οὖν ἀπέλιπε ζωὴν τὴν κάτω Κωνσταντῖνος,
Μαρτίνα παρεισφθείρεται τῇ σκηπτροκρατορίᾳ,
καὶ μετ' αὐτῆς Ἡρακλωνᾶς ὁ παῖς, ἀλλ' ἐπ' ὀλίγον·
μηδὲ γὰρ φθάσαντες σχεδὸν τῷ κράτει προσλαλῆσαι
τῆς θείας ἐκδικήσεως ἐκπίνουσι τὸν σκύφον,
ἄλλο μηδὲν κερδάναντες ἢ τὸ κακοὶ φανῆναι.
ῥῖνα μὲν οὖν Ἡρακλωνᾶς, ἡ δὲ Μαρτίνα γλῶτταν
ζημιωθέντες ἤχθησαν εἰς τὴν ὑπερορίαν,
καὶ μετ' αὐτοὺς πιστεύεται Κώνστας τὴν βασιλείαν,
ὁ Κωνσταντίνῳ γεννηθεὶς τῷ πρὸ μικροῦ κρατοῦντι·
ὃς ῥίζας τρέφων πονηρὰς ἀρχῆθεν ἐν καρδίᾳ
C τῆς δυσσεβοῦς αἱρέσεως ἢ μᾶλλον ἀπονοίας
τῶν διδασκόντων ἐν Χριστῷ θέλησιν μίαν λέγειν,
ἤνεγκε τότε καὶ καρπούς, ἀλλὰ καρποὺς πικρίας,
ἐξ ὧν πολλοὶ μὲν ἔφαγον πλὴν ὅσον ἐπιγνῶναι
οἷον τὸ στῦφον οἱ καρποὶ καὶ τὸ πικρὸν αὐχοῦσι,
Μάξιμος δ' ὁ καλλίγλωττος, σάλπιγξ ἡ χρυσοσάλπιγξ,
ὁ Νεῖλος ὁ χρυσόρειθρος ὁ τῆς ὀρθοδοξίας,
ἕως ἐσχάτης πλησμονῆς μετέσχε τῆς πικρίας·
τὴν χεῖρα γὰρ τὴν δεξιὰν ἐξεθερίσθη ξίφει,
καὶ γλῶσσαν μελιτόεσσαν οἴμοι προσαφῃρέθη,
τὴν νέκταρος πηγάζουσαν ἐνθέου τὰς συρμάδας.
Οὗτος ὁ Κώνστας ὁ σκαιὸς ἀειφυγίᾳ θλίβει
D Μαρτῖνον τὸν ἐπίσκοπον τῆς πρεσβυτέρας Ῥώμης·

3808 παρεισφέρεται R   3816 πρὸς μικρὸν A   3819 θέλησιν ἐν Χριστῷ M   μόνην A   3820 καρπὸν ἀλλὰ καρπὸν MR   3821 πλὴν] ἀλλ' A   3823 καλόγλωττος M   3825 ἐσχάτου RR

Cum ergo vitam hanc terrenam Constantinus reliquisset, Martina imperium ad se astu traducit et ad Heraclonam filium: sed eo non diu frui potuit. nam cum vix illud a limine quasi salutare potuissent, divinae vindictae poculum hausere, nihil aliud lucri ex imperio nacti quam quod improbos se declaraverint. itaque naribus Heraclonas amissis, Martina lingua, solum vertere iussi sunt. post eos imperium Constanti redditur, eius Constantini filio qui non ita pridem regnaverat. hic inde ab initio radices in corde malas fovens illius impiae sectae, vel furoris potius eorum qui unicam in Christo voluntatem agnoscere iubent, fructus sane impietatis tulit, sed admodum amaros; quos fuere quidem qui degustarent, sed aliud nihil inde consecuti quam quod eorum acerbitatem agnoscerent. atque huius amaritudinis ad extremam usque satietatem particeps factus est eloquentissimus ille Maximus, aurea illa tuba, Nilus quasi quidam doctrinae veritatis aurifluus. quippe manus ei dextra praecisa fuit, et mellea lingua, divini rivos nectaris effundens, simul adempta.

Idem Constans, vir nequam, exsilio perpetuo Martinum Romae ve-

πάπαν αὐτὸν ἀποκαλεῖν οἶδε Ῥωμαίων γλῶσσα.
καὶ Κάϊν μιμησάμενος ἐπ' ἀδελφοκτονίᾳ,
καὶ κτείνας Θεοδόσιον τὸν ἐκ μιᾶς ἀρούρης
καὶ τῶν σπερμάτων τῶν αὐτῶν αὐτῷ βεβλαστηκότα,
εἰς Σικελίαν ἀποπλεῖ τὴν πολυφορωτάτην,
τὴν πόλιν τὴν βασίλειον ἀποκοσμῆσαι θέλων
καὶ τὴν ἀρχὴν χαρίσασθαι τῇ τριπεμπέλῳ Ῥώμῃ,
ὡς εἴ τις ἁβροστόλιστον ἀποκοσμήσει νύμφην
καὶ γραῦν τινὰ τρικόρωνον ὡς κόρην ὡραΐσει.
ἀλλὰ τὰ διαβούλια μάταια τῶν ἀνθρώπων,
ἂν μὴ συμπράττῃ καὶ θεός, ἂν μὴ συνεπινεύσῃ·
θερμοῖς γὰρ ὕδασιν αὐτοῦ ψυχαγωγῶν τὴν σάρκα
ψυχρὸν ἐκεῖ κυλίκιον ἐξέπιε θανάτου, P 79
ἔτεσιν εἴκοσι λαχὼν πρὸς τοὺς ἑπτὰ τοῦ κράτους.
Καὶ τυραννεῖ Μιζίζιος, ἀνὴρ ἐκ Σικελίας,
ἀνὴρ χαριτοβλέφαρος, ἀστεῖος τῷ προσώπῳ.
πλὴν ὅμως οὐκ ἐπὶ μακρὸν ἀπήλαυσε τῆς τύχης,
ἀλλ' ἀπεψύγη τάχιον, ἀλλὰ φανεὶς ἐκρύβη,
ὥσπερ ἂν ῥόδον ἐκφυῇ καὶ παραντίκα ῥεύσῃ.
ὁ γάρ τοι παῖς τοῦ Κώνσταντος ἄρτι λαβὼν τὰ σκῆπτρα
(τοὔνομα δὲ τῷ βασιλεῖ βρεφόθεν Κωνσταντῖνος)
στόλῳ βαρεῖ τὴν Σικελῶν καταλαμβάνει νῆσον,
καὶ πάντας τοὺς αὐτόχειρας καὶ τοὺς ὀλεθρεργάτας

3833 *μικρᾶς* M 3834 *μετεσχηκότα* M 3836 *βασίλισσαν* R 3837 *τριπεμπόλῳ* R 3838 *ἁβροστόλιον* R 3840 *τὰ*] *γὰρ τὰ* R 3841 *συνωπινεύει* ARR. num Latine? 3847 *μακρὰν* A *τοῦ κράτους* R 3848 *ἀπεψύχη* M 3849 *ἐκφυὲν* R *ῥεύσει* RR 3852 *χώραν* R 3853 *ὀλεθρογγάτας* R. an *ὀλεθρουργάτας*?

teris antistitem, quem Romani papam appellare consueverunt, multavit. praeterea Caini fratricidium imitatus Theodosium parentibus iisdem cum ipso natum interfecit. hinc in Siciliam fertilem cum classe profectus, urbem imperatricem ornamento suo spoliare volens, Romae vetulae conatus est imperium restituere, non aliter ac si quis egregie vestitam puellam ornatu suo denudet, ac vetulam trium cornicum aetatem habentem ceu puellam iuvenculam exornet. sed enim vana sunt hominum consilia, ni deus annuat et iuvet. quippe dum calidis aquis imperator voluptatis causa semet oblectat, frigidum mortis poculum exhaurit.

Eo mortuo tyrannidem Mizizius, natione Siculus, usurpat, vir amabili quidem gratoque vultu, sed qui hac fortuna non diu frui potuit. quippe celeriter extinctus est, instar rosae, quae vix nata continuo marcescit. etenim Constantis filius Constantinus ingenti classe Siciliam occupavit, et omnes interfectores patris imperatoris iugulavit, quos inter

τοὺς βασιλέως καὶ πατρὸς ἐνδίκως ἀποσφάττει,
καὶ σὺν αὐτοῖς Μιζίζιον τὸν τετυραννηκότα.
B τοῦτον τὸν αὐτοκράτορα λαὸς ὁ συρφετώδης
καὶ τὸ τοῦ δήμου συμμιγὲς ἐκάλουν Πωγωνᾶτον,
ὅτι, φασίν, ἐκναυστολῶν κατὰ τοῦ Μιζιζίου
μεῖραξ τρυφεροπρόσωπος ἀνίουλος ἀπώγων
ἐκεῖθεν ἀνθυπέστρεψεν ἀνὴρ τελειοπώγων.
οὗτος ἀθροίσας σύλλογον ἀνδρῶν θεοφορήτων
τὴν πατρικὴν ἀσέβειαν ἀνέσπασε ῥιζόθεν,
τοῖς φυτουργοῖς τῶν εὐσεβῶν καταρτισθεὶς δογμάτων.
ἴθυνεν οὖν ἐν ἔτεσι δεκαεπτὰ τὸ κράτος.
ὡς δὲ καὶ θνήσκειν ἔμελλε καὶ καταντᾶν εἰς κόνιν,
υἱὸν Ἰουστινιανὸν δείκνυσι βασιλέα
καὶ κράτορα καθίστησιν αὔταρχον γῆς Ῥωμαίων·
C ὃς ἀπὸ βάθρων ἤγειρεν, ἀπὸ ῥιζῶν ἐσχάτων
τὸν μέγαν οἶκον τὸν λαμπρὸν τὸν ἐν τοῖς ἀνακτόροις,
χρυσέων πυραυγήμασι ψηφίδων καταυγάσας
τοὺς τοίχους, καὶ τὸ δάπεδον μαρμάροις καλλιχρόοις,
ὃς ἔτι τοῦ δομήτορος τὴν κλῆσιν διασώζει.
Ὁ βασιλεὺς δὲ μισηθεὶς ἄρχουσιν, ἰδιώταις,
τοῖς ὄχλοις τοῖς ἐν ἀγορᾷ, τοῖς ἐν τοῖς ἀνακτόροις,
ὡς σκληρογνώμων, ὡς σκαιός, ὡς ἐντρυφῶν τοῖς φόνοις,
καὶ πλέον ὡς αὐθέκαστος ἐξ αὐταρέσκου γνώμης
(ἦν γὰρ καὶ δοκησίσοφος καὶ πλήρης ἀπονοίας,

3861 σύνοδον M 3862 δυσσέβειαν M 3864 ἴθυνε μὲν AM 3867 τῆς R 3870 καταυγήσας M 3871 τὸ τεῖχος A πολυχρόοις R 3874 καὶ τοῖς ἐν ἀνακτόροις M

et Mizizius fuit, qui tyrannidem arripuerat. hunc imperatorem Constantinum vulgus hominum Pogonatum, hoc est barbatum, appellabat, quod, uti de literatum monumentis accepimus, expeditionem illam maritimam contra Mizizium suscipiens adolescens admodum, facie delicata, nihil habens lanuginis aut barbae, cum integra virilique barba de Sicilia reversus fuisset. synodo virorum divinitus gubernatorum coacta, paternam impietatem radicitus exstirpavit, a piorum dogmatum plantatoribus in viam revocatus. imperavit autem annos septemdecim. moriturus et in pulverem rediturus Iustinianum filium imperatorem renuntiavit, qui magnam illam splendidamque domum in regia de fundamentis exstruxit et aureis calculis distinxit, parietibus et pavimento de marmore confectis. domus ipsa nomen conditoris etiam nunc retinet.

Ceterum Iustinianus imperator invisus erat proceribus, privatis, vulgo, tam in foro quam in aula degentibus, tanquam durus, ferox, cae-

κἀν ταῖς βουλαῖς οὐ κοινωνόν, οὐ συνεργάτην εἶχε,
πᾶσαν πλουτεῖν οἰόμενος τὴν ἐν ἀνθρώποις γνῶσιν),
ἐντεῦθεν τοίνυν μισηθεὶς ἀξίαν τῆς κακίας
τὴν ἔκπτωσιν ἐφεύρατο τὴν ἐκ τῆς σκηπτουχίας.
καὶ γὰρ ἀνήρ τις εὐγενὴς τῶν ἀπὸ τῆς συγκλήτου, D
πατρίκιος ἀξίωμα, Λεόντιος τὴν κλῆσιν,
εὑρὼν καὶ συναιρόμενον καὶ συμφρονοῦν τὸ πλῆθος
(πρὸς γὰρ Ἰουστινιανὸν ἔτρεφον πάντες μῖσος)
ἐφίσταται τῷ βασιλεῖ μετὰ τῶν συμμαχούντων,
ὅτε τὸ καλλιβλέφαρον ὄμμα καὶ φωτοφόρον
ἔμυε δῦναν κατὰ γῆς καὶ πᾶν ἦν ἐν δεμνίοις,
καὶ χειρωσάμενος αὐτὸν ὡς ἐν δικτύῳ θῆρα
ἐκπέμπει διαπόντιον εἰς τὴν Χερσῶνα πόλιν,
τὴν ῥῖνα πρότερον τεμὼν καὶ πρόσωπον αἰσχύνας.
ἀλλὰ γὰρ οὐκ ἐκάμμυε τὸ βλέφαρον τῆς δίκης,
ἀλλ' ἐπεντράνισεν ὀρθῶς, καὶ τὸν ἐπαναστάντα
τοῖς ἴσοις ἀντημείψατο καὶ ταυτομέτροις μέτροις. P 80
λῃστῶν ληϊζομένων γὰρ Ἀφρικανῶν τοὺς ὅρους
(Ἄρραβες ἦσαν οἱ λῃσταὶ κἀκ τῶν ἀπὸ τῆς Ἄγαρ)
καὶ πᾶσαν τὴν παράλιον κακούντων καὶ κειρόντων,
ὁ βασιλεὺς ὑπερπαθῶν στόλον βαρὺν ἀρτύει,
καὶ πέμπει κατὰ τῶν λῃστῶν τούτων τῶν ὑγροπόρων·
οἷς καὶ συμμίξασαι στερρῶς αἱ ναυτικαὶ δυνάμεις
ἐκείνους μὲν μετὰ θυμοῦ καὶ τόλμης ἐπιόντας

3878 *καὶ ταῖς βουλαῖς οὐ συνεργὸν οὐ κοινωνὸν ἀπεῖχε* R 3879 *τῶν ἀνθρώπων* R 3882 *τῶν*] *ὧν* R 3884 *συναρόμενον* M 3887 *φωτοτρόφον* MR 3888 *παῖς* ARR 3896 *ἄγρας* M

dibus gaudens, ac praesertim quod ipse sibi nimium placeret nimiumque tribueret. erat enim opinione sua sapiens, reapse autem demens; nec consiliis socium nec adiutorem quemquam adhibebat, quod existimaret se cognitionem rerum omnium, quae in homines cadere possit, habere. quapropter exosus universis praemium improbitatis repperit, imperii nimirum amissionem. etenim vir quidam nobilis, senator, patricius dignitate, cui nomen Leontius, cum plebem sibi adiumento auxilioque praesto fore cerneret, universis odio Iustinianum imperatorem persequentibus, suis cum sociis eum noctu aggreditur, quasique bestiam cinctam indagine capiens, praecisis naribus vultuque deturpato Chersonem deportari curat. verum oculus iustitiae minime clausus mansit, sed recte seditionis auctorem intuitus pari mensura vicem ei rettulit. cum enim Africae fines a praedonibus quibusdam diriperentur, qui Arabes erant, ex Agarenorum gente, iamque regionem maritimam universam vexarent ac popularentur, suorum commiseratione motus imperator classem magnam

καθάπερ κάπρους ἀφριστὰς ἀπήλασαν ἐκεῖθεν,
Ῥωμαίοις δ' ἀνεσώσαντο τὰ τῶν Καρχηδονίων.
ἀλλὰ γὰρ οὐκ ἠρέμησαν οἱ παλαμναῖοι θῆρες,
πάλιν δ' ἀντεπεστράτευσαν μυριοστόλῳ στόλῳ,
καὶ πλείονι συμμίξαντες Ῥωμαίοις στολαρχίᾳ
B ἐτρέψαντό τε πρὸς φυγὴν ναυάρχους ναυσιπλόους,
καὶ τὴν ὀλβιοδαίμονα πόλιν Καρχηδονίων
ἑλόντες καὶ σκυλεύσαντες καὶ κατηδαφικότες
τὸν χρύσεον ἐξέκοψαν βόστρυχον τῆς Λιβύης.
ὄχλος οὐκοῦν ὁ ναυτικὸς καὶ πάντες οἱ στολάρχαι
τὴν ἐκ τῆς ἥττης ἔμπικρον οὐ φέροντες αἰσχύνην,
ἰώμενοί τε τὸ κακὸν ἄλλῳ κακῷ μεγάλῳ,
ὠδίνουσί τε σπέρματα τὰ τῆς ἀποστασίας
καὶ Κρήτῃ προσορμίζονται τῇ τρισμεγίστῃ νήσῳ,
ἀλλήλοις τε συνθέμενοι καὶ συνομωμοκότες
ἐνταῦθα τῆς θρασύτητος ἐκρήσσουσι τὸ βάρος,
καὶ σφῶν ἐπιλεξάμενοι συναποστάτην ἕνα,
C λεγόμενον Ἀψίμαρον, κράτορα καθιστῶσιν,
ὃς σὺν αὐτοῖς καὶ μετ' αὐτῶν τὴν πόλιν περισφίγξας
καὶ προδοτῶν ἐπιτυχὼν κρατεῖ τῆς Βυζαντίδος.
καὶ πρῶτα μὲν Τιβέριον αὐτὸν μετονομάζει,
ἔπειτα καὶ Λεόντιον ἐξενεγκὼν εἰς μέσον
καὶ τῇ τομῇ τῇ τῆς ῥινὸς τὴν κόλασιν μετρήσας

3903 ἂν ἐσώσατο M 3905 ἀντεπεστράτησαν ARR, ἂν ἐπεστρά τευσαν M 3906 Ῥωμαίων MR 3915 τρισμεγίστῳ MI 3917 βαρύτητος ἐκρύσσουσι A 3918 ἀπολεξάμενοι τῶν ἀποστά των M

instruit, et adversus praedones maritimos ablegat. cum eis nauticae Romanorum copiae manu conserta, quanquam insigni cum ferocia praelium capesserent, spumantium aprorum in morem, tamen inde tandem hostes pepulerunt urbemque Carthaginiensium Romanis conservarunt. at vero immanes illae belluae nequicquam poterant quiescere, sed immensa classe comparata bellum instaurabant, Romanosque maiori navium adorti numero in fugam coniecerunt tam navium praefectos quam classiarios milites, simul florentem opibus Carthaginiensium urbem ceperunt, eaque direpta et solo aequata cincinnum aureum Libyae totius exsciderunt. igitur nautica multitudo classisque duces ignominiam cladis acceptae non ferentes, malum malo maiori sanantes, defectionem ab imperatore moliuntur et maximam ad insulam Cretensem naves appellunt. hic coniuratione facta suam audaciam produnt, unumque de sociis defectionis imperatorem declarant, cui nomen erat Apsimarus. is adiutus ipsorum opera cingit urbem obsidione, proditoresque nactus Byzantium occupat. hic primo se Tiberium nuncupat, deinde Leontium pro-

φρουρᾷ καθείργνυσιν αὐτὸν ἀφύκτῳ πικροφρούρῳ,
ἔτεσι μόνοις ἐν τρισὶ κρατήσαντα Ῥωμαίους.
Εἶχε μὲν οὖν Ἀψίμαρος τὸ τῶν Ῥωμαίων κράτος,
καὶ πνεύμασιν ἐφέρετο τύχης ἁπαλοπνόοις.
ἓν μόνον ἔθραττεν αὐτόν, ἓν μόνον ἐθορύβει,
μὴ πρὸς Ἰουστινιανὸν πάλιν τὰ σκῆπτρα φθάσῃ,
καὶ πάλιν ἀναπόμπιμος γένηται πρὸς τὸ στέφος D
ὁ πρὶν αὐτὸ ζημιωθεὶς καὶ σὺν αὐτῷ τὴν ῥῖνα.
ὡς θῆρα γοῦν ὑγρόχερσον ὑπώπτευε τὸν ἄνδρα,
καὶ μᾶλλον τοὺς προφοιβασμοὺς ἀκούων καὶ προρρήσεις
καὶ τὰ κομπολογήματα τῶν ἀστερολεσχούντων.
ἐκίνει τοίνυν μηχανάς, ὤρυττεν ἐπινοίας,
ὡς ἂν αὐτοῦ κωλύσειε τὰς πρὸς τὸ κρεῖττον τύχας.
μαθὼν γοῦν ὡς ἡρμόσατο τὴν αὐθομαιμονοῦσαν
τῷ τῶν Χαζάρων ἄρχοντι χαγάνῳ Θεοδώραν,
καὶ παρ' αὐτῷ καὶ μετ' αὐτοῦ σκηνοῖτο καὶ διάγοι,
πρεσβείαν πέμπει τῷ δεινῷ βαρβάρῳ τῷ χαγάνῳ,
χρημάτων ὑπισχνούμενος ὅλας αὐτῷ θαλάσσας,
ἂν τὸν Ἰουστινιανὸν δήσας δεσμοῖς ἀρρήκτοις P 81
ἀπεμπολήσειεν αὐτῷ τρίδουλον ὡς οἰκέτην,
ἤγουν αὐτοῦ τὴν κεφαλὴν ἀποτεμὼν ἐκπέμψῃ.
ἀκούει ταῦθ' ὁ βάρβαρος ἐκεῖνος ὁ χαγάνος,
τῷ τῶν χρημάτων ἔρωτι πυροῦται τὴν καρδίαν
(καὶ τί γὰρ ἢ τριβάρβαρος χαγάνος σκυθογνώμων;),

3925 καθίστησιν M πικροφόρῳ M v. 3926 om RR 3928 ἁπαλοπλόοις AM 3930 πρὸς τὸν Ἰουστ. AM 3931 μὴ MR ἀποπόμβιος R 3933 ἐπώπτευε A 3938 οὖν R 3940 μετ' αὐτοῦ καὶ παρ' αὐτοῦ R 3944 αὐτὸν AM 3947 χρησίμων R 3948 ἢ] ὁ M

ductum in medium naribus mutilat et firmam in custodiam concludit, cum is tribus tantum annis imperio potitus fuisset. itaque regnabat Apsimarus, et fortuna prospera fruebatur. unicum erat quod hominem perturbaret, nimirum ne rursum Iustinianus ad imperium arcesseretur, qui eo nuper una cum naribus fuerat spoliatus. immo divinationes et oracula quaedam et astrologorum festivas praedictiones audiens virum istum ceu belluam ancipitem suspectum habebat. quapropter molitiones instituit et consilia quaerit, quibus occasiones ad fortunam prosperiorem ei praecideret. certior ergo factus Iustinianum Theodoram sororem suam germanam chagano Chazarorum principi matrimonio iunxisse, iamque cum illo familiariter degere, legatos ad barbarum, saevum alioquin hominem, mittit, immensasque pecunias ei pollicetur, si Iustinianum vinculis iniectis sibi mancipii in morem venderet, aut eius saltem caput a cervicibus recisum mitteret. his auditis animus barbari cupiditate pecuniarum inflammatur, et ut Scythica praeditus indole, consilium capit inhu-

ἀπάνθρωπον βουλεύεται βουλὴν καὶ θηριώδη
εἰς προσγενῆ καὶ τὸ μηδὲν αὐτὸν ἠδικηκότα,
καὶ τῷ ζητοῦντι μελετᾷ τὸν δυστυχῆ προέσθαι.
χρυσὲ προδότα, πάντολμε, δύστροπε, κακεργάτα,
καὶ φίλων ἀπεμπολητὰ καὶ γένους ἀναιρέτα,
τί τοῦτο; πῶς παλιμπετεῖς καὶ παλιμβόλους τίθης;
B πῶς δὲ πρὸς ἀλλοπρόσαλλον γνώμην μεταβιβάζεις
τοὺς ἀποικίλους τοὺς ἁπλοῦς ὑπὸ θεοῦ πλασθέντας;
ἀλλὰ τὸ μέλλον, ὥς φασι, καὶ τὸ κεκυρωμένον
οὐ τεῖχος σχίσει σιδηροῦν, οὐ τοῦ πυρὸς ἡ γνάθος.
ὁ γὰρ Ἰουστινιανὸς τοὺς δόλους τοῦ χαγάνου
καὶ τὰς βουλὰς ἀναμαθὼν ἐκεῖθεν δραπετεύει,
καὶ προσεταιρισάμενος ἁδραῖς ἐπαγγελίαις
τὸν Τέρβελιν τὸν ἄρχοντα τοῦ τῶν Βουλγάρων ἔθνους
καταλαμβάνει σὺν αὐτῷ τὴν Βυζαντίδα χθόνα,
Βουλγάρων ἐπαγόμενος μυρίους λεγεῶνας.
ὀλίγοις δὲ τῶν ἀμφ' αὐτὸν τὸ βούλευμα πιστεύσας
καὶ σὺν αὐτοῖς ὑποδραμὼν σωλῆνας ὑδρορρόους
τὴν εἰς τὴν πόλιν πάροδον ἐντέχνως ὑποκλέπτει,
καὶ δεύτερον ἀρχηγετεῖ καὶ ζώννυται τὸ κράτος.
C τὰς δ' ἐπὶ τούτοις συμφορὰς τίς παραστήσει λόγος;
τῷ μὲν Βουλγάρων ἄρχοντι πληροῖ τὰς ὑποσχέσεις
καὶ δωρεαῖς ἀμείβεται πολλῷ δαψιλεστέραις,
πυρὶ δὲ δίδωσι συχνοὺς τῶν περιλάμπρων οἴκους,

3950 τὸν A 3955 πρὸς ἄλλο πρόσωπον M 3956 ἀπὸ RR 3958 κλύσει R 3963 Βυζαντίδος R, βασιλίδος R 3965 ὑφ' αὐτῷ R βούλημα ARR 3972 οἴκων ARR

manum ac belluinum contra suum affinem, a quo laesus nunquam fuerat, meditans ipse secum quo pacto miserum Apsimaro quaerenti proderet. o aurum, proditor, tyranne perverse, malefico amicorum venditor, proprii generis interfector, quid hoc est rei? cur tecum ipse mutato consilio pugnas? cur inconstantes facis? cur in aliam faciem mutas eorum mentes qui simplices et varietatis expertes a deo creati sunt? sed enim id quod futurum est, semel divinitus decretum, nec murus, ut aiunt, ferreus, nec ignis impedire poterit. Iustinianus enim chagani fraudibus et consiliis perspectis fuga saluti consulit, adiunctoque sibi promissis amplissimis Terberi Bulgarorum principe cum illo Byzantium tendit, ductis eo Bulgarorum immensis legionibus. deinde perpaucis suorum consilio suo credito, cum iisdem canales aquaeductuum ingressus furtim et solerter aditum in urbem sibi parat; quo facto iterum coepit imperare. consecutas vero deinceps calamitates quae possit oratio satis exprimere? quae Bulgarorum principi promissa fuerant, praestat: amplissimis ei mu-

καὶ διαρπάζει χρήματα, καὶ δίκην βοσκημάτων
τῶν μεγιστάνων πλείονας οἴκτιστα καταθύει.
καὶ δὴ καὶ τὸν Λεόντιον κτείνει σὺν Ἀψιμάρῳ
οἷα λῃστὰς καὶ συλευτὰς αὐτοῦ τῆς σκηπτουχίας.
οὕτω κακοὶ τοῖς ὀφθαλμοῖς ὑπόκεινται τῆς δίκης·
κἂν παραυτίκα φύγωσι τὰ τῆς ποινηλασίας,
ἀλλ' ὕστερον ὑπέχουσι μείζονας τὰς κολάσεις.
οὐ μόνοις δὲ τοῖς ἀρχηγοῖς τούτοις τῆς τυραννίδος
ἐπέσεισε τὸν σίδηρον ἐκδικητὴν ὧν ἔτλη, D
ἀλλά γε καὶ Καλλίνικον αἰκίσας καὶ χλευάσας,
τὸν ἀρχιερατεύοντα ταύτης τῆς βασιλίδος,
καὶ παιδαρίων θέμενος ὕβριν μωροντηπίων,
τέλος ἀπέσβεσεν αὐτοῦ τοῦ σώματος τοὺς λύχνους·
ἦν γάρ τοι καὶ συναίτιος καὶ ῥέκτης καὶ συνίστωρ
τῶν εἰς Ἰουστινιανὸν ποτὲ τετολμημένων.
οὐ μὴν ἀλλὰ καὶ κατὰ νοῦν βαλλόμενος ὁ κράτωρ
ὅσας ἐκέρασαν αὐτῷ κύλικας πικροπότους
οἱ τῶν ὁρίων κάτοικοι τῆς Ποντικῆς Χερσῶνος,
ὅτε διῆγε παρ' αὐτοῖς ἀπελαθεὶς τοῦ κράτους,
ποτὲ μὲν ἀποσκώπτοντες, ποτὲ δὲ δυσφημοῦντες
καὶ βέλεσιν ὀνειδισμῶν κεντοῦντες κακογλώσσιον,
ποτὲ βυσσοδομεύοντες βουλὰς κακομηχάνους, P 82
ὡς ἢ τοῖς σπλάγχνοις τοῖς αὐτοῦ βάψαιεν τὰς μαχαίρας
ἢ καὶ δεσμώτην ἄθλιον πέμψειαν Ἀψιμάρῳ, —

3976 συληστὰς ARR 3979 δικάσεις M 3980 τῆς τυραννίδος τούτου M 3986 τι καὶ συνέστιος A

neribus vicem refert. deinde complures domos illustres igni concremat, facultates diripit, instar pecudum potiorem magnatum partem miserrime trucidat, interfectis etiam Leontio et Apsimaro tanquam latronibus et imperii raptoribus. sic mali oculis iustitiae sunt expositi, et quamvis aliquandiu poenas effugiant, tandem tamen supplicia maiora luunt. neque tantum Iustinianus hos tyrannidis usurpatores principes gladio percussit ultore miseriarum suarum: verum etiam Callinico patriarchae contumeliis et ludibriis affecto ac puerorum iniuriae exposito demum oculos eruit, quod adiutor et conscius eorum fuisset quae designata in Iustinianum erant. praeterea revocans ad animum imperator quam acerbe tractatus fuisset a Ponticae Chersonis incolis, cum imperio deiectus apud illos viveret (nam modo dicteriis in eum illudebant, modo mala imprecabantur, modo contumeliis improbarum linguarum pungebant, modo consilia subdola magno silentio tractabant, quando tandem gladios in ipsius visceribus tincturi essent vel infelicem comprehensum Apsimaro

ταῦτ' οὖν Ἰουστινιανὸς τοῖς λογισμοῖς ἐγγράφων,
καὶ καθ' αὐτὸν ἀνατυπῶν καὶ ζωγραφῶν τοὺς τύπους,
καὶ πικραινόμενος αὐτοῖς οἷα βαρβαροτρόποις
πέμπει στρατὸν ναυσίπλοον, κελεύων ἀποσφάττειν
ἅπαν τὸ γένος ἡβηδὸν τῶν προλελυπηκότων,
καὶ φείδεσθαι μὴ γυναικῶν, μὴ τῶν ὑποτιτθίων,
μὴ γηραιῶν, μὴ νεαρῶν, μὴ πρεσβυγενεστέρων·
οὕτω βαρὺς ἐκάχλαζεν ὁ κατ' ἐκείνων χόλος.
ἦν γοῦν ἀξιοπένθητον Χερσωνιτῶν τὸ πάθος,
καὶ συγκινοῦν εἰς οἰμωγὰς τοὺς φιλανθρωποτέρους,
B *ὑπερενίκα Βηθλεὲμ τοὺς πολυστόνους πόνους*
καὶ στοναχὰς βαρυαλγεῖς, βοὰς πολυστενάχους.
ἐκεῖ μὲν γὰρ ἡ βρεφικὴ καὶ μόνη νηπιότης
ταῖς φονευτρίαις εἰς σφαγὴν ὑπέκειτο παλάμαις·
ἐνταῦθα δὲ τριπέμπελοι, πρωθῆβαι, νεανίαι,
γυναῖκες ἁπαλόχροοι, κορίσκαι, μειρακίσκοι,
φύρδην κατεμελίζοντο καθάπερ ἐν μακέλλῳ.
ὀλολυγὴ δὲ πανταχοῦ καὶ γόος ὀξυβόας.
καὶ λόφοι μὲν ἀντίδουπα τοῖς θρηνηταῖς ἀντήχουν,
ἀκταὶ δὲ κυματόκλυστοι δεινὸν ἀντεπερρόθουν.
οὕτω μὲν οὖν εἰς Σκυθικήν, ὅ φασιν, ἐρημίαν
Χερσὼν ἡ πολυάνθρωπος αἴφνης μετεποιήθη,
C *καὶ γέγονε πολυχανδὴς Ἅιδου γαστὴρ πανδόχου*
καὶ τάφος μυριόνεκρος καὶ τοῦ θανάτου πύλη.

3998 *ἀνασκοπῶν* AR *τρόπους* RR 4001 *ὁμαδὸν* M 4002 *καὶ*] *μὴ* M 4005 *πένθος* R 4007 *ὑπερνικᾷ καὶ* A *στόνους* AMR 4015 *ἀντίδουποι* A *ἀπήχουν* M 4018 *μετεπτοήθη* M

missuri, secum dispicientes) haec igitur cogitationibus suis Iustinianus inscribens, et per ea tanquam barbarorum moribus consentanea vehementer exacerbatus, copias navales ablegat interfectum quidquid istic ubi laesus fuerat, aetatis adultae hominum esset, praecipiens inter alia ne vel mulierculis vel lactentibus pueris vel senibus vel iuvenibus parcerent. tam gravi adversus eos iracundia flagrabat. haec Chersonitarum calamitas digna erat quae deploraretur; adeoque paulo humaniores ad lamentandum commovebat. quippe miserias Bethlehemae clamoresque tristissimos superabat. istic enim sola infantilis aetas interficiebatur, hic decrepiti, adolescentes, mulieres, puellae tenerae, pueri citra discrimen velut in macello membratim dilaniabantur. continuo tollebantur eiulatus et clamores acres ab omni parte, tam collibus quam litoribus ad lamentantium voces respondentibus. hoc modo populosa Cherson in Scythicam quod proverbio dicitur, solitudinem subito commutata redactaque fuit, infinita multitudine perempta. cum autem accepisset im-

ὁ βασιλεὺς δ' ἀκηκοὼς ὅτι τῶν βρεφυλλίων
τῶν τρυφερῶν καὶ νεογνῶν οἶκτος ἐγένετό τις,
φλεγμαίνει πλέον τῷ θυμῷ, καίεται τῇ μανίᾳ.
κὐτος οὐκοῦν βαρύμηνις κατὰ τῶν φεισαμένων,
καὶ τιμωρίας κατ' αὐτῶν ἀπόφασις αὐτίκα.
καὶ πάλιν ἦν ναυστόλησις ἀκάτων γοργοπλόων,
καὶ στράτευμα μυρίανδρον ὥσπερ εἰς πολεμίαν,
καὶ σὺν αὐτῷ Φιλιππικός, ὃν ἔλεγον Βαρδάνην,
ἀρχηγετήσων τοῦ στρατοῦ καὶ τὸν λαὸν κοσμήσων,
ὡς ἂν συνεκκεντήσωσι ῥομφαίαις καὶ τὰ βρέφη,
κἂν ἄρτι πρώτως βλέποιεν τὸ κάλλος τῆς ἡμέρας,
κἂν γάλακτος ποτίζοιντο συρμάδας βρεφοτρόφους, D
καὶ ταῖς βουσὶ πολεύσωσι πάσας τὰς λεωφόρους,
καὶ περιαυλακίσωσιν αὐτῶν τὰς πεδιάδας,
καὶ θήσωσιν εἰς ἔρημον τὴν πρὶν εὐθηνουμένην,
τὰς ἀγυιὰς εἰς ἄρουραν στάχυσι βριθομένην,
τὴν πόλιν πολυάνδριον, ἀφανισμοῦ πεδίον.
τοῦτο κακῶν παραίτιον γέγονε τῷ κρατοῦντι,
καὶ πάλιν πειρατήρια, καὶ πάλιν τρικυμίαι
καὶ κλύδωνες ἐπάφλασαν ἀγριοπνόου βίας.
ἡ γὰρ στρατεύσιμος ἰσχὺς ἡ νεναυστοληκυῖα
τὴν γνώμην τὴν ἀπάνθρωπον ἐκείνου μυσαχθεῖσα
ὡς τίγριν ἀγριόθυμον, ὡς λύκον αἱμοβόρον,
εὑροῦσα καὶ Χερσωνιτῶν τοὺς ὑπολελειμμένους

4025 *δεινὰς ἐπινοεῖται* RR 4029 *λαοῦ καὶ τὸν στρατὸν* R 4030 *ῥομφαίαν* RR 4031 *πρῶτον* MR 4033 *τοῖς* ARR *πολεύσουσι* RR 4034 *περιαυλακίσουσιν* R 4035 *θήσουσιν* RR 4037 *καὶ πόλιν τὴν πολύανδρον* M 4038 *κακοῦ* R *γίνεται* M 4042 *ἐκείνην* R

perator aliquam fuisse rationem habitam ex commiseratione tenerorum infantum, maiorem in modum exarsit iracundia furoreque percitus est. quapropter iis graviter succensebat qui pepercerant; adeoque poenas in hos graves cogitatione concipiebat. rursus ergo classis ablegatur una cum immensis copiis velut in hosticum solum; quibus et Philippicus cognomento Bardanes intererat, ut classi militibusque praeesset ac omnino gladiis infantes quoque necari curaret, etiamsi recens in lucem editi forent, etiamsi lacte adhuc alerentur; ut bubus denique vias publicas omnes inverti iuberet et campos undique sulcari, quo fortunata prius urbs in solitudinem redigeretur, eius vici converterentur in arva, populosum denique oppidum campus desolationis fieret. hoc institutum animi magnorum imperatori malorum origo fuit: rursus enim in pericula gravissimosque fluctus incidit. quippe milites tam immane decretum eius abominati, ac praesertim ubi superstites e Chersonitis instar tigridis

P 83 ἀφηνιάσαντας αὐτοῦ καὶ βλέψαντας εἰς στάσιν,
ὡς λῆρον μὲν λογίζονται τὰ διατεταγμένα
(κηλῖσι γὰρ οὐκ ἤθελον καταχρανθῆναι τόσαις),
ἄνακτα δὲ καὶ κράτορα Φιλιππικὸν ποιοῦσι,
καὶ στέφος περιβάλλουσι τῆς σκηπτροκρατορίας.
Ὁ γοῦν Ἰουστινιανὸς ἐκταραχθεὶς τῷ φόβῳ,
καὶ τὴν βραδύπλοιαν αὐτῶν καὶ τὴν ἀργοπορίαν
εἰς οἰωνὸν ἀπαίσιον θέμενος ὡς ἀγχίνους,
αὐτὸς αὐτῷ χερσοπορεῖ μέχρι καὶ τῆς Σινώπης,
στρατὸν συνεπαγόμενος ὁπλίτην πεζοπόρον,
ὡς μὴ νεωτερίσαιεν οἱ προεκπεπλευκότες.
καὶ βλέψας ἐπὶ τῆς ὑγρᾶς ἀκάτους λαιφοπτέρους
καὶ σκάφη πελαγόπλοα, τριήρεις ὑγροπόρους,
B ταχυπλοούσας καὶ φοροῖς πνεύμασι φερομένας,
δονεῖται μὲν τοὺς λογισμοὺς καὶ τὴν ψυχὴν σοβεῖται,
καὶ παλιμπόρευτος εὐθὺς ἀνθυποστρέφειν τρέχει,
ἵππων ὠκέων ἐπιβὰς πτηνῶν ἀελλοπόδων,
εἰ δυνατόν, καὶ πτερωτὸς εὐχόμενος γενέσθαι.
ἀλλὰ τὸ πνεῦμα τὸ φορὸν τῆς γοργοπλόου τύχης
ταχυναυτεῖν ἐποίησε τὰς ποντοπλόους σκάφας.
στόλῳ μὲν οὖν Φιλιππικὸς χρώμενος ὠκυπτέρῳ
προφθάνει τὴν βασίλισσαν πόλιν καταταχήσας,
καὶ κατασχὼν καὶ παρελθὼν ἔσω τῶν βασιλείων
τὸ στέφος περιτίθεται τῆς αὐτοκρατορίας.

4045 ἀφηνιάσαντες AR αὐτοὺς R βλέψαντες AR 4046 νομίζονται ARR 4049 αὐτοκρατορίας R 4053 χωρωπορεῖ A 4054 συναγαγόμενος M 4058 ταχ. φοβεροῖς M 4060 σπεύδει R 4062 πτερωτοὺς M 4063 πνευματοφόρον M 4066 καταταχύνας RR v. 4067 om M εἰσελθὼν εἰς R v. 4068 om RR

aut lupi animatos reperirent, excusso Iustiniani freno et seditione concitata, primum imperata flocci faciunt, tam foeda se labe polluere nolentes, deinde Philippicum imperatorem creant.

Quapropter metu Iustinianus exterritus, qui solerti nimirum ingenio praeditus tarditatem suorum in navigando mali ominis duceret, ipse cum pedestribus copiis terra Sinopen usque progreditur, ne classiarii milites ablegati dudum rebus novis studerent. hic ubi naves onerarias, scaphas, triremes, veloci cursu ventoque prospero ferri conspexit, mirifice perturbatus animo celerrimum ad reditum sese parat, conscensis equis citissimis, exoptans, si fieri potuisset, etiam alatus esse. sed ventus secundus adiuvante fortuna Philippicum ad urbem imperatricem citius detulit; qui ea potitus et regiam ingressus est, sumpta corona imperatoria. at imperator ille cui praecisae nares erant, serius ad urbem delatus ob

ὁ δέ γε ῥινολώβητος αὐτάναξ ὑστερήσας
οἷα τριβόμενος ὁδοῖς δυσβάτοις δυσεξόδοις
καὶ τόποις φαραγγώδεσι καὶ λόφοις ἀποκρήμνοις,
ἀντιστρατοπεδεύεται πρὸς ὄρεσι γηλόφοις, C
ἅπερ κατὰ συνήθειαν φαμὲν τοῦ Δαματρύος.
καὶ τοίνυν ὁ Φιλιππικὸς ἐκπέμπει ταγματάρχας
αὐτῷ πολεμησείοντας ἀντενωπίοις μάχαις·
οἳ βλέψαντες τὴν λεοντῆν, τὴν ἐκ τῶν στρατευμάτων
ἰσχύν, μὴ φθάνουσαν εἰς πᾶν τὸ σῶμα τοῦ πολέμου,
ἀλωπεκῆν προσέρραψαν τὴν ἐκ δολιευμάτων,
καὶ τὸν λαὸν τὸν σὺν αὐτῷ θηλύναντες ἐλπίσι
ζωγροῦσι τὸν τρισάθλιον. τὰ δ' ἐπὶ τούτοις οἷα;
λαιμοτομοῦσιν ὥσπερ βοῦν ἄφωνον ἐπὶ φάτνης,
καὶ τοῦ θυμοῦ τὸν καχλασμὸν καὶ τῆς ὀργῆς τὴν ῥύμην
ὅλην κενοῦσι κατ' αὐτοῦ κύκλῳ περιλαβόντες,
ὥσπερ λέων, ἂν εἴποι τις, μάρψας νεβρὸν ἐλάφου. D
τὸν παῖδα δὲ Τιβέριον αὐτοῦ καταλαβόντες
προσπεφευγότα τῷ ναῷ τῆς μητρανάνδρου κόρης,
ἀπέσπασάν τε τοῦ νεὼ (φεῦ τοῦ φρικωδεστάτου!
ὑπῆρχε δὲ Τιβέριος εἰσέτι παιδαρίσκος)
καὶ τῇ φλιᾷ προσέρρηξαν ἐπ' ἴσης σκυλακίῳ,
καὶ τὰς ῥαφὰς τῆς κεφαλῆς ἠλόησαν ὡς σῖτον.
ἔρρει δ' ἐγκέφαλος χαμαί, πρᾶγμα δύστλητον ὄψει,
καὶ δάπεδον ἐπάλασσεν ὡς ὕδωρ ἀπορρέων.

4070 διατριβόμενος M 4073 δαματρίον A, δαματρύον R 4077 τὸ τοῦ πολέμου σῶμα M 4079 ἐλπίδι M h. v. desinit R minor 4081 ἄστομον οἷα θῆρες R 4084 ὥσπερ om AR τις πεινῶν μ. AR νευρῶν R, νεκρὸν M 4087 ἀποσπάσαντες M 4089 προσέρριψαν R 4091 χαμαὶ] αὐτοῦ R

itinerum difficultatem, quae convalles et praecipites passim colles habebant, ad montes acclives castra metatur, quos vulgo Damatryanos appellare consuevimus. e diverso Philippicus duces suos extra urbem progredi iubet, cum hoste manum conserturos; qui animadverso robur copiarum suarum, instar leoninae pellis, universum belli huius corpus tegere non posse, de pelle vulpina nonnihil assuunt, animisque populi, qui Iustinianum sequebatur, spe promissorum emollitis miserrimum hominem vivum capiunt. quid inde factum? iugulum ei tanquam bovi in praesepio praecidunt, et omnem irae libidinem in eo necando alter post alterum explent, non aliter ac esuriens leo prehensis hinnulis facere solet. filium autem ipsius Tiberium, qui ad virginis absque viro matris factae templum confugerat, ex aede (proh facinus) abreptum sacra, tenerum adhuc puellum, catelli in morem valvarum postibus alliserunt; cuius capite contuso cerebrum ad terram profluebat, spectaculo sane in-

οὕτω καλῶς καὶ συνετῶς τοῖς παλαιοῖς ἐρρέθη
"μηδὲν ὑπὲρ τὸ μέτριον, καλὸν ἡ συμμετρία."
ὁ γὰρ Ἰουστινιανὸς τὰς τοῦ θυμοῦ καμίνους
P 84 ἐκκαύσας ἑπταπλάσιον κατὰ τῶν ἐν Χερσῶνι,
μίσους ἐξῆψε καθ' αὑτοῦ φλόγα τοῖς ὑπὸ χεῖρα.
μισεῖ, φασί, γὰρ καὶ θεὸς τὰς ἄγαν προθυμίας.
ἑπτὰ μὲν οὖν Ἀψίμαρος κρατεῖ μέσον ἐν χρόνοις,
ὁ δὲ Ἰουστινιανὸς δέκα σὺν ἓξ ἑτέροις.
Φιλιππικὸς δ' ὁ βασιλεὺς τρέφων κατὰ καρδίας
δυσσέβειαν καὶ σπέρματα παντοδαπῆς κακίας
τὰς κόρας οὐκ ἐλάνθανε θεοῦ τὰς πανοπτρίας.
ἔνθεν τοι καὶ τῶν ὀφθαλμῶν ἐκκεντηθεὶς τὰ κύκλα
ἄλλος Οἰδίπους δύστηνος ἦν, σκοτεινὰ βακτρεύων
καὶ τοῦ φωτὸς καὶ τῆς ἀρχῆς τὴν στέρησιν οἰμώζων,
βραχύ τι καὶ μικρόχρονον ἐπιβιοὺς τῷ κράτει·
δυσὶ γὰρ μόνοις ἔτεσιν ἐγεύσατο τοῦ στέφους.
Φιλιππικοῦ δὲ δυστυχῶς οὕτως ἐκπεπτωκότος
ἡ σύγκλητος Ἀρτέμιον ἵστησιν Αὐσονάρχην,
κλῆσιν δευτέραν ἔχοντα κατὰ διωνυμίαν·
B κἀντεῦθεν Ἀναστάσιον Ἀρτέμιον ἐκάλουν.
ἦν δὲ βριθὺς καὶ δραστικός, βίβλοις ἐντεθραμμένος,
ἀνάκτων ὑπογραμματεύς, ὅν φασιν ἀσηκρῆτις.
καὶ τοίνυν δραστικώτερον ἁπτόμενος τοῦ κράτους

4093 οὕτω] ἅτε R 4095 γοῦν R vv. 4099-4100 om R
vv. 4103-4105 om M 4106 αὐγῆς M v. 4107 om M v. 4108 om R
4113 καὶ βίβλοις τεθραμμένος MR 4114 ὃ A ἀσηκρήτην M

gratissimo, ac velut aqua destillans pavimentum conspurcabat. iccirco praeclare sapienterque dixerunt homines illi prisci "nihil ultra modum, praeclara res et mediocritas." quippe cum Iustinianus iracundiam suam adversus Chersonitas septies exsatiasset, suorum contra se subditorum odia concitavit. nimirum id quoque recte perhibetur, deum ipsum cupiditatibus nimiis infestum esse. ceterum Apsimarus septem annis intermediis regnavit, Iustinianus autem aliis sedecim annis.

Imperator porro Philippicus impietatem, et omnis generis nequitiae semina sub corde nutriens oculos dei cuncta spectantes latere non potuit. ideoque miser orbibus oculorum erutis, velut alter Oedipus in caecitate furebat, et tam visus amissionem quam imperii deplorabat, ad tempus exiguum sane superstes, ex quo deiectus imperio fuerat: quippe duobus tantum annis regni gustum percepit.

Post Philippici casum infelicem senatus Artemium, cognomento Anastasium, Romano imperio praeficit. erat enim vir gravis, rebus gerendis idoneus, disciplinis innutritus, imperatorum scriba, quem a secretis sive secretarium nuncupant. imperio potitus severum se praebuit in ul-

ἐκδικητὴς Φιλιππικοῦ καὶ τιμωρὸς ἐφάνη,
τοὺς ἀσβολώσαντας αὐτοῦ τὰ βλέφαρα κολάσας.
Ἀγαρηνοὺς δὲ πειρατὰς μαθὼν ναυστολουμένους,
θηρία τὰ χερσόϋγρα, τὰς τῆς θαλάσσης ἄρκτους,
τριήρεις συμπηξάμενος καὶ σκάφας γοργοπλόους
ἐκπέμπει τοὺς συνάψοντας μάχην τοῖς ἐκ τῆς Ἄγαρ.
οἳ μέχρι πρὸς Ἑλλήσποντον εὐθέως πεπλευκότες
(εὐθυδρομοῦντες ἦσαν γὰρ πνοαῖς ἁπαλοπνόοις)
ἐκεῖσε στασιάζουσι· κατὰ γὰρ τὸν εἰπόντα
ἀπαιδευσία ναυτικὴ πυρὸς δραστικωτέρα. C
καὶ πρῶτα μὲν ἐν ξίφεσι κεντοῦσι τὸν στολάρχην,
ἔπειτα Θεοδόσιον ἐκεῖ φορολογοῦντα
ἁρπάσαντες ἀέκοντα κράτορα καθιστῶσι
καὶ τοῖς συμβόλοις τῆς ἀρχῆς λαμπρῶς κατακοσμοῦσιν,
ἄνθρωπον ἁπαλόψυχον, νωθρὸν περὶ τὰς πράξεις,
ἄτολμον, μικροκάρδιον, ἀνάξιον τῶν σκήπτρων.
καὶ μετ᾽ αὐτοῦ καὶ σὺν αὐτῷ βοαῖς ὑμνητηρίοις
χωροῦσι παλιμπόρευτοι πρὸς τὴν ὀλβίαν πόλιν.
ὁ βασιλεὺς δ᾽ Ἀρτέμιος (ἤγγελτο γὰρ ἡ στάσις)
τῇ μὲν ὀλβιοδαίμονι καὶ βασιλίδι πόλει
στόλον ἐφίστησι φρουρὸν καὶ καρτεροὺς ναυάρχους,
αὐτὸς δὲ βουλευσάμενος, ὡς ᾤετο, κρειττόνως D
ἀπαίρει μὲν τῆς Βύζαντος, τὴν Βιθυνῶν δὲ φθάσας
τοῖς Νικαέων τείχεσιν αὐτὸν ἐγκατακλείει

4119 τοὺς R 4120 πρωτοπλόους AR 4123 οὐριοδρόμοις R 4130 ἐπὶ A, κατὰ M 4132 ὑμνητηρίαις R 4139 αὐτοὺς M

ciscenda Philippici calamitate, supplicio de iis sumpto qui oculis illum spoliarant. deinde cognito piratas Agarenos, ancipites belluas, ursos marinos, hinc inde classibus vagari, triremibus scaphisque conditis mittit qui praelio cum Agarenis congrediantur. posteaquam ii recta contendissent ad Hellespontum, usi navigatione prospera, seditionem ibi concitant. quippe non imprudenter a quodam dictum est "insolentia nautica igni violentior est." primum autem gladiis ducem classis confodiunt, deinde Theodosium, exactorem tributorum in iis locis, invitum abripientes imperatorem creant et splendide signis imperii exornant, hominem mollis animi, ad res gerendas ignavum, pavidum, pusillanimum, indignum fascibus. post haec itinere converso ad urbem una cum Theodosio non sine hymnis pergunt, quibus eum concelebrabant. Artemius autem imperator, accepto seditionis nuntio, Cpolin classe ac fortibus navarchis munit, ipse melius, uti quidem existimabat, consilium secutus urbe relicta Bithyniam petit, et se Nicaeae moenibus includit, quae carnificum

ὡς δῆθεν οὐχ ὑπείκουσι χερσὶ κριοκοπούσαις·
ἡ γάρ τοι περιπέτεια τῆς παλιντρόπου τύχης
ἐξέκρουσεν ἐκ τῆς ψυχῆς καὶ τοῦ νοὸς ἐκείνου
τὸ "πόλιν τὴν στερρόπυργον ἂν μὴ θεὸς φυλάξῃ,
εἰς μάτην ἐκοπίασεν ὁ ταύτης τειχοφύλαξ."
χρόνον μὲν οὖν ἐπὶ βραχὺν οἱ σὺν Θεοδοσίῳ
τὸ θελητὸν οὐκ ἤνυον, οἷα πυργοφυλάκων
ἀμυνομένων καρτερῶς καὶ τούτους ἀπειργόντων·
ἐπεὶ δ' ἀπεῖπον ἐκ πολλοῦ καὶ συνεχοῦς καμάτου,
μεθύουσι τοὺς φύλακας ἐλπίδων τοῖς κρατῆρσι,
P 85 *καὶ τὸν χρυσὸν ἑλέπολιν ἄμαχον προσλαβόντες*
ὑπέρτεροί τε γίνονται τῶν ἐναντιουμένων,
καὶ νύκτωρ ἔνδον τῶν πυλῶν ὡς θῆρες εἰσδραμόντες
ἐλάφυξαν τὰ χρήματα πάσης λαμπρᾶς οἰκίας,
καὶ τοὺς κατοίκους ἔδειξαν πένητας ἐξ ὀλβίων,
ἐκ πολυχρύσων πενιχρούς, γυμνοὺς ἐξ εὐπαρύφων,
τὸ κράτος δ' ἐκρατύναντο στερρῶς Θεοδοσίῳ.
ὃς ὅρκους φρίκης γέμοντας ἐκπέμψας Ἀρτεμίῳ
πάθους παντὸς ἀπείρατον αὐτὸν διατηρήσειν,
ἂν πρότερον ἐκθερισθῇ τῆς κεφαλῆς τὰς τρίχας,
τὴν κόλασιν ἐπιμετρεῖ μέχρις ὑπερορίας.
B *ἀλλὰ καὶ τοῦτον πρὸς μικρὸν γευσάμενον τοῦ κράτους*
τὸ κλέος τὸ βασίλειον θᾶττον ἀπολιμπάνει,

4140 *ὑπήκουσε* M *κρεοκοπούσαις* R, *χρεωκοπτούσαις* M 4141 *παλινστρόφου* A 4152 *εἰσελθόντες* A, *εἰσδραμοῦντες* R, *ἐνδραμοῦντες* M 4158 *ἀπείραντον* R 4162 *κράτος* M

manibus minime cessura sperabat. etenim propter subitam fortunae mutationem de potestate animi et mentis exiverat. ni deus munitam turribus firmis civitatem custodiat, frustra custos murorum eius laborat. igitur aliquandiu Theodosiani milites parum proficiebant in obsidione, turrium propugnatoribus se fortiter defendentibus et hostem reiicientibus: at posteaquam ii longo continuoque labore fatigabantur, Theodosiani custodes et praesidiarios Nicaeae promissorum poculis inebriant, et aurum, subversorem scilicet urbium inexpugnabilem, in auxilium arcessentes, adversariis superiores evadunt. hoc modo noctu intra portas admissi, ferarum in morem cunctas aedes splendidas spoliant, possessoribus earum ad summam paupertatem redactis. occupata Nicaea imperium Theodosio stabiliunt, qui religiosissimis et horrendis maxime sacramentis Artemio nuntiatis, quibus se pollicebatur eum ab omni iniuria servaturum immunem, modo crines raderet, poenam hanc adiecto exsilio cumulavit. enimvero ne Theodosius quidem imperii gloria voluptateque

ἐπὶ δυσὶν αὐτάνακτα χρόνοις ἀναδειχθέντα.
ὁ γάρ τοι θηριώνυμος ἐξ Ἰσαυρίας Λέων,
ὁ καὶ ψυχὴν καὶ τοὔνομα καὶ τρόπους θηριώδης,
τὴν τῆς πατρικιότητος καταπλουτῶν ἀξίαν
καὶ στρατηγῶν καὶ στρατάρχων ταγμάτων τῶν ἑῴων,
ἀποστασίαν μελετᾷ κατὰ Θεοδοσίου,
συμπράκτορα συντυρευτὴν τῶν δολοπλοκημάτων
ἐφευρηκὼς Ἀρτάβασδον, ἄνδρα τῶν περιδόξων,
ᾧ καὶ συνῆψε τὴν αὐτοῦ πρὸς γάμον θυγατέρα,
ὅταν εἰσώρουσεν ὁ θὴρ εἰς τὰ Ῥωμαίων σκῆπτρα,
ταύτην διδοὺς ἀνταμοιβὴν τῷ συνεργῷ τοῦ κράτους.
ὁ δ' ἄναξ Θεοδόσιος τοῦ Λέοντος τὸ θράσος
καὶ τὴν θηριογνώμονα καρδίαν ὑποπτήξας C
παραχωρεῖ τῷ δυσμενεῖ τοῦ θρόνου καὶ τοῦ στέφους,
ἑκὼν ἀέκων ὑπεκστὰς ἄτερ ὅπλων καὶ μάχης,
καὶ μέλαιναν ἀμπίσχεται στολὴν ἀντὶ πορφύρας,
μόνα τὰ χείλη μέλιτι τῷ τῆς ἀρχῆς διάνας,
αὐτὴν τὴν ὑπερῴαν δὲ μὴ δυνηθεὶς γλυκᾶναι,
ἔτεσι μόνοις ἐν δυσὶ γευσάμενος τοῦ κράτους.
   Ὡς οὖν ἐπὶ τὸν Λέοντα τὸν κάκιστον μετέβη
τὰ τῶν Ῥωμαίων πράγματα, βαβαὶ θεοῦ κριμάτων!
ἐντεῦθεν ἐπεκύμαινε κατὰ τῆς ἐκκλησίας
κλύδων βαρὺς ἐκ λαίλαπος δεινῆς ἀγριοπνόου,
καὶ πάλιν νέφος τετρυγὸς ὀλεθροφόρου βίας,
καὶ πάλιν νέφος ζοφερὸν ἐγκυμονοῦν ὡς πνεῦμα

v. 4163 om R, post 4160 ponunt AM 4165 ὃς R τρόπον A 4169 συντηρευτὴν M δολοπλοκευμάτων M 4172 εἰσέφρισεν R, ἐσώρησεν A v. 4181 om R 4182 γ' οὖν AM 4186 ὀλεθροφθόρου M

diu frui potuit. nam oriundus ex Isauria Leo, belluae cognomentum ferens et animo pariter, nomineque ac moribus belluinus, patriciatus dignitatem adeptus et Orientis exercituum imperator, adversus Theodosium seditionem moliri coepit, reperto in fraudibus nectendis adiutore, viro quodam illustri nomine Artabasdo, cui deinceps filiam operae navatae praemium matrimonio iunxit, ubi scilicet in Romanorum imperium bellua iam invasisset. Theodosius autem imperator Leonis audaciam feritatemque veritus, volens nolens, citra pugnam et arma imperio cedit, proque purpura imperatoria nigram vestem induit, cum labra tantum imperii melle madefecisset, palatum vero eius dulcedine perluere non potuisset, quod nimirum biennio solum degustasset.

Rebus Romanis igitur ad sceleratissimum Leonem delatis (proh qualia sunt dei iudicia!) gravis tempestas ecclesiam excepit, magnis cum

D φόνους ἀνθρώπων καὶ φθοράς, ἀντὶ τῶν ὄμβρων αἷμα.
ὁ γάρ τοι τρισκατάρατος οὗτος αὐτάναξ Λέων
ὤδινε μέν, ὡς ἔοικεν, ἐκτόπους ἐπινοίας
κατὰ Χριστοῦ καὶ τῶν αὐτοῦ τιμίων μορφωμάτων,
εἰς φῶς δ' οὐκ ἔχων ἐνεγκεῖν τὸν τῆς κακίας τόκον
(τὸ γὰρ ἀπαρρησίαστον ἠνάγκαζεν ἐπέχειν),
ὡς ὕστερον ἐδράξατο καιροῦ καὶ παρρησίας,
ἐξέρρηξε τὸν τοκετόν· ἡ γὰρ νηδὺς ἐρράγη,
καὶ γόνος ἐχιδνότοκος ἐξέθορεν ἐκεῖθεν.
Ἐστὶ δ' οὐκ ἄκαιρον εἰπεῖν τίς καὶ πόθεν καὶ ποίας
ἐκ ῥίζης ἀνεβλάστησεν ὁ βδελυγμίας Λέων.
ἐκ μὲν Ἰσαύρων τὴν σειρὰν εἷλκε τῆς γεναρχίας,
χειροβιώτων καὶ λυπρῶν τυχὼν τῶν γεννητόρων
P 86 καὶ παλαιόντων τοῦ λιμοῦ ταῖς φθαρτικαῖς πυράγραις·
τὰς ἀτελεῖς δὲ παρελθὼν καὶ πρώτας ἡλικίας
μετῄει παλιγκάπηλον ἐμπορικόν τε βίον.
ὡς οὖν ποτὲ παρώδευε τοῖς ἐμπεπορευμένοις
ῥαμνοφαγοῦν ὀνάριον κατάφορτον ἐλαύνων,
ζειᾶς μηδέποτε πλησθὲν μηδὲ κριθοφαγῆσαν,
οὕτω συμβὰν συνέκυρσεν ἐμπόροις Ἰουδαίοις,
καὶ κοινωνήσας τῆς ὁδοῦ τοῖς σκολιοῖς ἐκείνοις
καὶ συναναπαυσάμενος ὕπνωσεν ἐκ καμάτου.
οἱ τοίνυν ὀφιότροποι θεομισεῖς Ἑβραῖοι
καθ' ἑαυτοὺς σκεψάμενοι καὶ συννενοηκότες

4188 καὶ σφαγὰς R 4199 ἀρχὴν A 4200 χειροβιούντων R 4201 τοῦ φθαρτικοῦ πυράγρᾳ R 4204 τοὺς ἐμπεπορευμένους M v. 4206 om R 4208 τῆς σκολιῆς A

hominum caedibus coniuncta. nam exsecrabilis Leo imperator parturiebat ille quidem, ceu consentaneum est, absurda novaque consilia contra Christum et venerabiles eius imagines: sed fetum improbitatis suae in lucem proferre nullo modo poterat. quippe timidus animus eum ab instituto suo revocabat. tandem vero capta opportunitate sumptaque audacia fetum edidit: alvus enim rupta est, et viperae soboles in lucem prodiit.

Minime vero fuerit alienum ab instituto nostro, si explicaverimus, unde, quis et quali stirpe procreatus abominabilis hic Leo fuerit. habebat generis originem ex Isauria, parentibus fortunae tenuis et manuum suarum labore victitantibus natus. exacta prima aetate mercaturae operam dabat, et pretio coëmpta rursum lucri causa vendebat. forte accidit aliquando ut cum aliis negotiatoribus iter faciens et asinum prae se mercibus onustum agens in mercatores Iudaeos incideret; quibuscum iter suum persecutus et fatigatione tandem consopitus sese quieti dedit. Hebraei re inter se communicata et diligenter considerata imperium Leoni vaticinabantur, vel qua-

προεῖπον τούτῳ τὴν ἀρχὴν καὶ τὴν ἡγεμονίαν, B
εἴτ' οὖν ἀπὸ μαθήσεως εἴτ' ἐκ κακοτεχνίας
ἢ τεκμηρίων ἔκ τινων τὸ πρᾶγμα συμβαλόντες.
καὶ τῆς προρρήσεως αὐτῶν ᾔτουν ἀντιμισθίαν,
ὁποίαν ἂν αἰτήσαιεν σχόντος τὴν κρατορίαν.
ἤκουσε ταῦθ' ὁ πάντολμος, κατένευσεν αὐτίκα
ἐπ' ἀπωλείᾳ τῆς ψυχῆς καὶ τῆς Ῥωμαίων τύχης.
τοῖς γοῦν χωράρχαις γνωρισθεὶς καὶ τοῖς κλιματαρχοῦσι,
καὶ τὸ τολμηροκάρδιον κατὰ μικρὸν ἐκφήνας,
πατρίκιος καθίσταται καὶ μέγας ταγματάρχης
καὶ τελευταῖον βασιλεύς. οὐ σὺ στενάζεις, δίκη;
ἔμαθον τὴν ἀνάρρησιν οἱ δυσσεβεῖς Ἑβραῖοι
οἱ προφοιβάσαντες αὐτῷ τὴν αὐτοκρατορίαν·
ἀπτέροις φθάσαντες ποσὶ φανῆναι τῷ τυράννῳ C
καὶ τὰ τῆς ὑποσχέσεως ζητοῦσι τελεσθῆναι.
πλὴν οὐ χρυσὸν οὐκ ἄργυρον αἰτοῦσιν, οὐδὲ λίθους,
οὐκ ἄλλο τι τῶν ταπεινῶν καὶ τῶν κοσμικωτέρων,
ἀλλὰ καθαίρεσιν σεπτῶν εἰκονογραφημάτων,
ἀλλὰ κατάλυσιν στηλῶν θείων ἀξιοσέπτων,
αὐτόχρημα καταστροφὴν τῆς δυσσεβοῦς θρησκείας
τοὺς πύργους ἀνατρέπουσαν αὐτῆς ἀπὸ κρηπίδων.
πείθεται τούτοις ὁ σκαιὸς κακοῦργος τοῖς κακούργοις,
ὁ τῆς ἐχίδνης τοκετὸς τοῖς τῆς ἀσπίδος γόνοις,
καὶ μετακαλεσάμενος τὸν ἱεροθυτοῦντα

4214 τὴν τύχην ἐγνωκότες M 4217 ἐπένευσεν M 4218 ἀρχῆς A τῶν AM 4219 ταγματαρχοῦσι M 4223 ἐκεῖνοι A 4225 φθάνουσι AM φαίνονται AM 4231 κατασκευὴν τῆς εὐσεβοῦς R 4232 αὐτοὺς M 4235 τοὺς ἱεροθυτοῦντας R

dam ex disciplina vel arte improba vel certis indiciis id quod futurum esset coniectantes. simul ab eo pro hac praedictione remunerationem contingere sibi petebant, qualem scilicet postulaturi essent ubi iam ad imperium ipse pervenisset. his auditis vir ferocissimus suae cum animae felicitatisque Romanorum detrimento annuit. hinc audaciam suam paulatim probans, ubi regionum praefectis innotuisset, patricius, copiarum ductor et (nonne hic mecum gemitus coniungis tuos, o iustitia?) demum imperator creatur. Hebraei Leonis renuntiatione cognita mox ad imperatorem advolant, et ut promisso satisfaciat orant. non tamen illi vel aurum vel argentum vel gemmas petebant, sed sanctarum imaginum picturarum statuarum veneratione dignarum abolitionem, hoc est ipsam religiosi cultus eversionem, cuius turres atque munitiones hoc facto de fundamento subrui oportebat. imperator pravus pravis, viperae soboles aspidis fetibus assentitur; et arcessito sacrorum antistite, qui tum tem-

(ἦν δὲ προστάτης Γερμανὸς τότε τῆς εὐσεβείας)
καὶ κοινωσάμενος αὐτῷ τὰ τῆς κακοτροπίας
D αὐτὸν μὲν μὴ πειθόμενον αὐτοῦ τῇ δυσσεβείᾳ,
μᾶλλον μὲν οὖν ἐλέγχοντα τὴν τόλμαν καὶ τὴν λύσσαν,
τῆς ἐκκλησίας ἔξωθεῖ, φεῦ τὸν ποιμένα λύκος,
ὁ Κέρβερος ὁ λυσσητὴρ τὸν πρᾶον ἀγελάρχην.
εὐθὺς δὲ προσλαβόμενος προβατοφθόρους λύκους
σπαράσσει φεῦ τὸ ποίμνιον, καὶ καθαιρεῖ τοὺς τύπους
τοὺς τῆς παρθενομήτορος καὶ τῶν Χριστοῦ μαρτύρων,
ἀπαγλαΐζει τοὺς ναούς, ἀποκοσμεῖ τεμένη,
ὀρφναίαν σκοτεινότητα τούτοις κατασκεδάζει,
καὶ καταχέει σκυθρωπὴν ἡμέραν μελαντάτην.
ὅσον μὲν οὖν κατὰ Χριστοῦ καὶ τῶν αὐτοῦ μαρτύρων
ἰὸν ἀπήμεσε πικρὸν χυμόν τε σιελώδη,
ἐξ ὧν ἀναβεβλάστηκε βοτάνη θανασίμη,
P 87 ὁπόσαις τε τοὺς ἄζυγα μετερχομένους βίον
κακώσεσιν ἐξέθλιψεν ἄλλος φανεὶς Βαλτάσαρ,
βίβλοι καὶ λόγοι φέρουσιν ἀνθρώπων παλαιτέρων·
ἐγὼ δ' ἀπολεξάμενος ἓν ἀπὸ πάντων τούτων
τὸν Πέρσην ἐκ τοῦ κάνδυος καὶ τοῦ στρεπτοῦ γνωρίσω
καὶ κόρακα τὸν κρωκτικὸν ἐκ τῆς μελαντηρίας.
Τοῦ τεμενίσματος ἐγγὺς τῆς τοῦ θεοῦ σοφίας
οἶκος λαμπρὸς δεδόμητο τοῖς πάλαι βασιλεῦσι,
κῆπος ἂν εἴπῃ τις ἁβρὸς βιβλιοφόρων δένδρων,

4238 δὲ A αὐτῷ τῆς δυσσεβείας R 4241 λυσσητὴς AM 4244 αὐτοῦ M 4246 τούτων M 4249 χυμῶνα R συαλώδη A, συελώδη MR 4256 βρωτικὸν M, καρτερὸν A 4259 λαμπρὸς M

poris erat Germanus, de perverso dogmate cum eo communicat. cum ille non tantum non assentiretur ipsius impietati, sed etiam imperatoris audaciam ac furorem reprehenderet, heu pastorem lupus, heu furens Cerberus mitem gregis ducem ecclesia pellit et exturbat. deinde adiunctis sibi corruptoribus ovium lupis, gregem (heu) dilaniat, virginis matris et Christi testium simulacra tollit, decus suum templis adimit, ornamenta delubris aufert, caliginem eis offundit, diem tristem ac nigerrimum inducit. et quantum quidem veneni ac furoris plenae salivae adversus Christum eiusque testes eructaverit, unde letalis enata est herba, quantis vexationibus, velut alter quidam Baltasarus, afflixerit eos qui expertem coniugii vitam in solitudine degebant, libri commentariique veterum satis declarant. ego de omnibus unica re tantum selecta, Persam ex candye ac torque, crocitantem corvum ex nigredine commonstrabo.

Non procul a divinae Sapientiae fano splendida domus a priscis imperatoribus erat exstructa, quam nuncupare licuisset amaenum hortum

ἄλσος ἀγλαοφύτευτον παντοδαπῆς σοφίας·
βίβλοι γὰρ ἦσαν ἐν αὐτῷ προτεθησαυρισμέναι
εἰς τρισμυρίας φθάνουσαι πρὸς ἄλλαις τρισχιλίαις
εἰς τρισχιλίους φθάνουσα πρὸς ταῖς πεντακοσίαις. B
τὸν τηλικοῦτον κῆπον δὲ καὶ τὸ τοσοῦτον ἄλσος
θεῖος ἀνὴρ πεπίστευτο, προέχων ἐν σοφίᾳ
καὶ πλέον πάντων ταῖς αὐγαῖς τῆς γνώσεως ἐκλάμπων,
ἄλλος, ἂν εἴποι τις, Ἀδὰμ ἔνθεος δενδροκόμος,
τοῖς τῆς Ἐδὲμ ἐπεντρυφῶν καλλιβλαστήτοις κλάδοις,
καὶ φυτευμάτων γεωργὸς τῶν μὴ μαραινομένων.
τούτῳ συνῆσαν ἕτεροι καὶ συνδιῆγον ἄνδρες,
καθάπερ ὑποστράτηγοι γενναίῳ στρατηγέτῃ,
ἀστέρες ἀντικρὺς φαιδροὶ καὶ τῆς νυκτὸς δᾳδοῦχοι.
ἐπλήρουν δὲ τὸν ἀριθμὸν τοῦ ζῳοφόρου κύκλου.
ἄμισθοι δ' ἦσαν παιδευταὶ τοῖς ἐρασταῖς τοῦ λόγου·
ἀφῄρουν γὰρ τὸ κάλυμμα τῆς σκοτεινολογίας, C
ὁπόση τῆς Ἑλληνικῆς τερθρείας καὶ σαπρίας,
ὁπόση τε τῆς καθ' ἡμᾶς ἱεροπρεπεστάτης.
αὐτὸς δ' ἐν πᾶσιν ἔστιλβεν ἥλιος ὥσπερ γίγας.
τοσοῦτον δ' ἦν τὸ περιὸν τῆς ἀρετῆς ἐκείνοις
ὡς μηδ' αὐτοῖς τοῖς ἄναξι καινοτομεῖν ἐξεῖναι
ἢ πράττειν τι καινοπρεπὲς καὶ πέρα τοῦ συνήθους,
ἂν μὴ μετέσχον τῆς βουλῆς ἐκεῖνοι καὶ τῆς γνώμης.
τοιούτους οὖν σεμνοπρεπεῖς ὄντας καὶ σεμνοβίους

4265 *προΐστατο* M   4268 *δένδροις* MR   4271 *γενναῖοι* M
4281 *καὶ*] *ἢ* M   *πέραν* R, *παρὰ* A

arboribus libros ferentibus plenum, adeoque lucum pulcherrimis omnigenae doctrinae sapientiaeque plantis consitum. nam erat in ea congestus librorum thesaurus, quorum numerus tricena et tria milia complectebatur. talis hortus tantusque lucus divini cuiusdam hominis curae fideique commendatus erat, qui doctrina praestabat et supra ceteros omnes radiis scientiae collucebat: non inepte dixeris alium quendam Adamum fuisse, divinum curatorem arborum, de pulchris Edenis arboribus delicias capientem, eiusque plantarum non marcescentium agricolam. vivebant cum hoc et alii, tanquam secundarum partium duces, ab illo imperatore primi, luculenta reapse sidera noctisque collustratores. hi tot numero quot circuli Zodiaci signa sunt, absque mercede literarum et doctrinae cupidos instruebant, et caliginis velum tam in putri praestigiisque referta Graecorum quam religiosissima nostra disciplina suis auditoribus adimebant, uno illo, de quo diximus, inter omnes solis instar lucente. tanta vero in opinione virtutis erant, ut ne ipsi quidem imperatores novi quiddam et inusitati agendum sibi putarent illis in consilium non adhibitis. tales ergo viros, auctoritate singulari et innocentia vitae conspicuos, vario-

καὶ χύσει πελαγίζοντας παντοδαπῶν χαρίτων
ἐντὸς ἀρκύων συλλαβεῖν ὁ βασιλεὺς ἐδίψα,
καὶ σχεῖν κἀκείνους κοινωνοὺς τῆς λύσσης τῆς δυσθέου.
ὡς δὲ κινήσας μηχανὰς ἁπάσας ἀπεκρούσθη
D (οὐ γὰρ φοβῶν οὐκ ἀπειλῶν ἴσχυσε τούτους πεῖσαι,
καὶ τῷ χρυσῷ χρησάμενος, συμμάχῳ δυσμαχήτῳ,
ἔγνω διώκων ἀετὸν ἢ βάλλων εἰς ἀστέρας),
τὸ τελευταῖον ἀπογνούς, ἀλλὰ γὰρ πῶς ἐξείπω;
βουλὴν βουλεύεται σκαιὰν ἔκτοπον ἀνοσίαν,
ἣν οὐδὲ Σκύθης ἄγριος, ἀλλ' οὐδὲ Μασσαγέτης.
ὕλης σωρεύει φορυτὸν κύκλῳ περὶ τὸν οἶκον,
ὕλην ξηράν, εὐέξαπτον, δᾳδῖτιν, φρυγανῖτιν,
καὶ πῦρ ὑφάπτει λιπαρόν, καὶ καταφλέγει πάντας
τοὺς ἄνδρας φεῦ τοὺς ἱεροὺς καὶ σὺν αὐτοῖς τὰς βίβλους.
αἲ αἲ μισόκαλος ψυχή! φεῦ γνώμη θηριώδης!
ἐκ τῶν ὀνύχων ὁ δεινὸς πάντως ἐγνώσθη Λέων.
P 88 ἦσαν ἐκεῖ τὰ κάλλιστα πάντων τῶν παιδευμάτων,
καὶ τόμος εἷς ἐξαίσιος ἐκ δράκοντος ἐντέρου,
τὰς δέλτους τὰς Ὁμηρικὰς φέρων ἐγγεγραμμένας,
τὴν Ἰλιάδα τέ φημι καὶ τὰ τῆς Ὀδυσσείας.
Ὡς δ' ἐπὶ χρόνους εἴκοσι τοῦ κράτους ἀπολαύσας
ὁ θὴρ ὁ κακομήχανος, ὁ κρεωβόρος Λέων
σὺν ἄλλοις πέντε δυσσεβῶς, ἢ μᾶλλον τυραννήσας,
(τὰ γὰρ κακὰ μακρόβια καὶ μόλις ἀπορρέει)

4284 χρήσει M 4287 ἀνεκρούσθη A 4290 ἀέρα A 4298 γνώμης θηριώδους A 4304 χρόνοις ἱκανοῖς A v. 4305 om M

rumque donorum ubere copia praestantes, imperator intra sua retia comprehendere suique furoris impii participes efficere multum sitiebat. cum autem cunctis molitionibus adhibitis eliderelur (nec enim vel metu vel minis eos in sententiam suam pertrahere poterat, cumque etiam auro uteretur, ceteroquin inexpugnabili socio, tamen aquilam se persequi vel sidera iactu contingere velle deprehendebat), tandem re desperata (quinam haec, obsecro, exponam?) consilium saevum absurdum impium capit, quod ne Scytha quidem immanis vel Massagetes cepisset. materiem siccam et concremabilem ex aridis fascibus coacervat, eaque succensa cunctos exurit, homines inquam illos (heu) religiosos cum ipsis libris. proh infestum virtuti animum, proh mentem belluinam! nimirum ex unguibus saevus ille leo iam agnitus est. pulcherrima quaeque de disciplinis omnibus istic asservabantur, et inter alia volumen exstabat admirabile, confectum de draconis intestino, cui erant inscripti libri Homerici, tam Ilias tota quam Ulissea.

Posteaquam solers in designandis malis bellua carnivorusque Leo, satis longo tempore percepto imperii fructu, iam sub terram condendus

ἔμελλε τάφῳ κρύπτεσθαι καὶ γῇ τῇ παντοδόχῳ,
ἐλπίδες μὲν οὐκ ἀγεννεῖς ὑπέσαινον τοὺς τότε
τὸν τῆς ἀρχῆς διάδοχον ἐπιεικῆ φανῆναι
καὶ γνώμῃ μετριώτερον καὶ μὴ μιαιφονοῦντα.
ἀλλὰ γὰρ ὥσπερ Εὔριπος, ὡς ἔοικεν, ἡ φύσις
εἰς τοὺς ἰδίους ἀγωγοὺς ἀνθυποστρέφειν χαίρει·
καὶ γὰρ ὑπνοῦντος Λέοντος ἀγκάλαις ἐνταφίοις B
ἡ πάρδαλις ἐξέθορε πολλῷ θυμικωτέρα,
καὶ καλυφθείσης ἐπὶ γῆς τῆς ῥίζης τῆς δυσχύμου
πολλῷ πικροκαρπότερος κλάδος ὑπανεφύη,
ὁ μυσαροκοπρώνυμος ἐκεῖνος Κωνσταντῖνος,
ἐκ τῆς ἀσπίδος ἔχιδνα, προσφόρως ἄν τις εἴποι,
ἐξ ἐλλεβόρου κώνειον, ἀπὸ σκορπίου δράκων,
ἄλλος Βαλτάσαρ ἀναιδὴς ἐκ Ναβουχοδονόσορ.
Κατῆρξε γοῦν ὁ βδελυρὸς αἱματοπότης λύκος,
ὦ πάντα βλέπων ἥλιε, καὶ βασιλεῖς καὶ νόμοι!
ἄνθρωπος γόης, φαρμακός, ζωοσφαγίαις χαίρων
καὶ τελεταῖς ταῖς μυσαραῖς τῆς ἡπατοσκοπίας,
ἄντικρυς τελματόβιος βορβοροφάγος χοῖρος. C
οὗτος ὁ δοῦλος τῆς γαστρὸς καὶ τῆς ἀκολασίας
τί μὲν οὐκ ἐπενόησε τῶν θλίβειν δυναμένων,
τί δὲ παρ' ἄλλων εὑρεθὲν αὔξειν οὐκ ἐπεχείρει;
νύμφην τὴν χρυσοκόσμητον καὶ τρυφερευομένην,

4309 ἐπέσαινον M   4311 μιαιφονῶντα A   4314 γοῦν AR   4316 δυσμάχου AM   4318 μυσαρὸς κοπρώνυμος A   4323 οἱ νόμοι?   4328 θλίφειν R   4330 καὶ] τὴν R

esset, spes non mediocres eius aetatis homines concipiebant, futurum ut imperii successor aequum se subditis praeberet, animi moderatioris esset, a caedibus abstineret. verum natura in morem Euripi, ceu videtur, intra suos alveos reverti perlubenter solet. etenim leone sub terra consopito pardalis prosiliit multo iracundior, et radice mali succi sub terra condita longe acerbiorem fructum ferens ramus enatus est, nimirum Constantinus ille, cui foedum et abominabile cognomen a stercore datum fuit, quem non inconvenienter prognatam ex aspide viperam, ex elleboro cicutam, ex scorpio draconem, ex Nabuchodonosore Baltasarum quis appellaverit.

Hic ergo detestabilis et sanguinarius lupus imperio potitus est, hic, inquam (o sol cunctorum inspector, o imperatores, o leges!) praestigiator, veneficus, animalium mactationibus et exsecrabilibus illis sacris extispicinae deditus, in coeno plane degens porcus stercore vescens. quidnam illud ventris ac gulae mancipium non excogitabat ad divexandos homines? quid ab aliis inventum augere non conabatur? nympham illam

ἥνπερ ἡρμόσατο Χριστὸς ὁ καθαρὸς νυμφίος,
αἴφνης ἁρπάσας ἀπ᾽ αὐτῶν φεῦ τῶν παστοπηγίων
χήραν ῥυσσὴν ἀπέδειξε καὶ μελανειμονοῦσαν.
τὴν ἄμπελον τὴν βρύουσαν βοτρύων καλλιράγων
κάπρος ποθὲν ἀπὸ δρυμοῦ πηδήσας χαυλιόδους
αὐτόρριζον ἐξώρυξεν, ἐλήστευσε τὸ κάλλος,
ἐξέκοψεν ἐκ τῶν ναῶν τὰς ἱερὰς μορφώσεις,
ἀντενεχάραξε δ᾽ αὐτοῖς χρώμασι καὶ ψηφῖσιν
τὰ φίλα κυνηγέσια καὶ τὰς ἱππηλασίας.
D *οὐ ταῦτα δὲ τετόλμητο μόνα τῷ καταράτῳ,*
ἀλλὰ καὶ τοὺς μονάζοντας ὡς κύων ἀνιχνεύων
ὡς ἄρνας φεῦ κατέθυεν ἐθελοσφαγουμένους.
ἐξεκενοῦντο τοιγαροῦν οἶκοι μελενδυτούντων,
σεμνείων ἦν κατασκαφὴ καθάπερ ληστηρίων.
ἐστενοχώρηντο φρουραὶ τοῖς ἐγκαθειργνυμένοις,
καὶ πάντοθεν ἠλαύνετο τὸ μέλαν ὥσπερ μύσος.
Τοιαῦτα τοίνυν καθορῶν Ἀρτάβασδος ἐκεῖνος,
ὃν φθάσας προεγνώρισεν ὁ δρόμος ὁ τοῦ λόγου
εἰς γάμον ἁρμοσάμενον τοῦ Λέοντος τὴν παῖδα,
καὶ τὴν ἀγριοβάρβαρον μισήσας τυραννίδα,
συνάπτει πόλεμον αὐτῷ, δείκνυσι φυγαδίαν,
P 89 *καὶ κράτωρ ἀναδείκνυται Ῥωμαίων γῆς αὐτάναξ.*
καὶ πάλιν ἀπαστράπτουσιν ἀκτῖνες εὐσεβείας

4334 *γέμουσαν* AM 4336 *ἐξώρυξεν*] *ἐξέκοψεν* A 4337 *ἐξώρυγεν* A 4338 *ἀντανεχάραξε* A 4340 *τετόλμηται* M 4341 *καὶ*] *γὰρ* M 4342 *κατήσθιεν* R 4343 *μελενδυτοῦντες* A 4344 *καταστροφὴ* R 4346 *μῖσος* R 4350 *μυώσας* A, *αἰτήσας* M

exornatam auro et delicatam, quam sibi Christus, sponsus ille purus et castus, despondit, ab ipsis (heu) thalamis abreptam viduavit, rugis deturpavit, vestibus nigris operuit. consimiliter vitem pulcherrimis uvis refertam ceu prosiliens aper alicunde quapiam e silva radicitus effodit, eiusque venustatem depraedatus est. sacras e templis imagines excidit, earumque loco pingi sculpique curavit praeclaras scilicet venationes et equestres ludos. nec contentus hisce facinoribus vir exsecrabilis, etiam canis in morem pervestigans solitariae vitae deditos, tanquam agnos minime repugnantes iugulabat. monasteria veluti conventicula latronum evertebat: carceres ob inclusorum monachorum multitudinem prorsus arti erant; ubique niger vestitus ceu piaculum quoddam expellebatur.

Quae cum Artabasdus ille, quem iam ante diximus uxorem duxisse Leonis filiam, aspiceret, tyrannidem immaniter barbaram perosus bellum Constantino facit, quo fuga sibi consulente Romanorum imperator renuntiatur. tum vero pietatis radii de integro fulgere, venerabiles

καὶ πάλιν πυριμάρμαροι χαρίτων στιλβηδόνες,
καὶ πάλιν ἀνατέταλκε τῆς πίστεως ὁ λόγος.
ἀναστηλοῦνται τὰ σεπτά, λάμπουσιν αἱ μορφώσεις
αἱ τῶν μαρτύρων καὶ Χριστοῦ καὶ τῆς αὐτὸν τεξάσης.
Ἀλλὰ γὰρ ἐξῃτήσατο καὶ πάλιν ὁ Βελίαρ
τὸν Ἰσραὴλ τὸν ἐκλεκτὸν ὡς σῖτον σινιάσαι
(οὔπω καὶ γάρ, ὡς ἔοικεν, ἀρκούντως ἐκολάσθη),
καὶ πάλιν ἐπεστράτευσε τοὺς εὐσεβεῖς ἐκθλίψων
ὡς Ἰσραὴλ Χουσαρσαθὲμ ὁ Σύρων σατραπάρχης.
τί δὲ καὶ ποῖον τὸ συμβάν, ὁ λόγος ἱστορήσει. B
Οὐ στέγει τὴν ἀπόπτωσιν τὴν τῆς ἀρχῆς ὁ δράκων.
βαρυθυμεῖ, παθαίνεται, κοινοῦται τοῖς στρατάρχαις,
προσφέρεται κολακικῶς, ἐλπίσιν ἐκθερμαίνει,
εἰς ἑαυτὸν ἐφέλκεται χωράρχας κλιματάρχας,
καὶ δύναμιν κτησάμενος βαρεῖαν στρατευμάτων
μάχην συνάπτει καρτεράν, ἡττᾷ τοὺς ἀντιμάχους,
τροποῦται τὸν Ἀρτάβασδον, νικᾷ, χειροῦται ζῶντα,
καὶ τὴν ὁρμὴν καὶ τὴν ὀργὴν καὶ τοῦ θυμοῦ τὴν ἀλκὴν
τοῦ δυστυχοῦς καὶ τληπαθοῦς ἄκρατον καταχέει,
καὶ τῶν ὀμμάτων σβέννυσι τὰς φεραυγεῖς λαμπάδας.
καὶ πάλιν ὁ μισόθεος φορεῖ τὴν ἁλουργίδα,
πάλιν ὁ θὴρ σκηπτροκρατεῖ, πάλιν Ῥωμαίων ἄρχει, C
καὶ γίνεται πικρότερος καὶ Ναβουχοδονόσορ.
τί τοῦτο τὸ παλίνστροφον, ἄστατε τροχὲ βίου;

v. 4355 om R 4357 καὶ τῶν μ. τοῦ R 4359 ἀνιάσαι A 4361 ἐκθλίψας M, κολάσων A 4366 ἐκθερμαίνων A 4367 πρὸς M 4377 παλίντροπον A, παλίντροχον R κύβε A

imagines suum in locum reponi, virginis matris et Christi testium imagines splendorem pristinum recuperare.

Sed enim rursus Belial electum Israelem instar frumenti expetivit cribrare: nondum enim, ceu credere par est, satis afflictionum et poenarum habebat. quapropter expeditionem novam instituit ad premendos homines religiosos, perinde ac Syrus ille satrapa Chusarsathemus olim Israelicos vexabat. quid autem acciderit, narratione sequenti declarabitur.

Aequo ferre animo amissionem imperii nequaquam ille draco poterat. quamobrem dolenter sortem suam copiarum ducibus exponit, adulatorie cum eis agit, spe promissorum inflammat, provinciarum praesides suas ad partes traducit. exercitu maximo coacto pugnam cum adversariis conserit, victoria potitur, Artabasdum vivum capit, iram in eum suam universam evomit, et oculis infelicem spoliat. rursus igitur infestus ille deo purpuram gestat, et ipso iam Nabuchodonosore fit truculentior. quaenam haec vicissitudo est, o instabilis vitae rota! rosa vix

τὸ ῥόδον μόλις ἐξανθεῖ, τάχιον δ' ὑπορρέει,
ἡ κεντροφόρος ῥάμνος δὲ μέχρι πολλοῦ νεάζει.
ὁ Τίτος μόνον ἔβλεψε τοῦ κράτους τὸν λειμῶνα,
καὶ τάχιον ἀνήρπαστο μὴ μετασχὼν ὀπώρας·
οὗτος δ' ὁ μυσαρώνυμος, τὸ σκύβαλον τοῦ γένους,
ἐγένετο μακρόβιος, ὢ τύχης ἀνωμάλου!
καὶ τὴν ὀπώραν τῆς ἀρχῆς ἐτρύγησεν εἰς κόρον.
οὗτος ὁ τρισεξάγιστος ἐξήγαγε τοῦ βίου
τὸν Στέφανον τὸν ἱερόν, τῶν μοναστῶν τὸ στέφος·
ἦν γὰρ στερρὸς ὑπέρμαχος τῶν ἱερῶν εἰκόνων,
D καὶ τὸ θηρίον τὸ δεινὸν εὐστόχως διαπείρων
καὶ βάλλων κατακάρδια βελέμνοις τῶν ἐλέγχων.
ὀστᾶ τῆς καλλινίκου δὲ μάρτυρος Εὐφημίας
βοῶν ὀστέοις καὶ κυνῶν ὁ βέβηλος συμμίξας
γνάθοις πυρὸς παρέδωκε. ποῦ κεραυνοῦ τὸ βέλος;
τριάκοντα δ' ἐν ἔτεσι πρὸς τέσσαρσι κρατήσας
ταῖς Ἅιδου παραπέμπεται κολάσεσιν ἐνδίκως.
Ἐπεὶ δ' ἐξέρρηξέ ποτε ψυχὴν τὴν μιαιφόνον,
Λέων ὁ παῖς τοῦ βδελυροῦ χειρίζεται τὰ σκῆπτρα.
ἀλλὰ καὶ Λέων τάχιον γῆθεν μεταναστεύει,
τῆς βασιλείας ἔτεσι μόνοις πέντε κατάρξας,
Εἰρήνην τὴν ὁμόζυγον καὶ τὸν ἐκ ταύτης παῖδα
τὸν Κωνσταντῖνον κράτορας λιπὼν ἐννομωτάτους.

4378 τάχιον ἀπορρέει M 4379 ὁ M ῥάβδος R 4383 αἲ AR v. 4385—6 om R 4397 μεταναστεύσας M v. 4398 om R 4399 ὁμόζυγα A

florem nacta celeriter marcescit: at spinosa rhamnus longum ad temporis intervallum viget. Titus imperii campum inspexit modo, et aequo citius abreptus particeps autumni fructuumque fieri non potuit: at impurissimus iste, humani generis excrementum, longaevam nactus est vitam (o fortunam inaequalem), imperiique fructum ad satietatem usque decerpsit. interfecit etiam scelestissimus homo sanctum illum virum Stephanum, monachorum decus, quod sacrarum imaginum propugnator constans esset, ac saevam belluam feliciter configeret, eiusque viscera sagittis argumentorum vulneraret. denique telum fulminis ossa victricis illius testis Euphemiae, boum ossibus canumque permista, concremavit. in hunc modum annis ubi triginta quattuor regnasset, ad Orci supplicia iusto iudicio detrusus est.

Cum tandem inquinatam caedibus animam exspirasset, Leo filius eius impurus sceptra consequitur: sed tamen et ipse terras cito relinquit, post annum imperii quintum, Irene coniuge Constantinoque filio, quem ex ea susceperat, successoribus in imperio longe optimis designa-

οὗτοι καὶ γὰρ ἀθροίσαντες ἄνδρας θεοφορήτους P 90
τὴν ἄκανθαν αὐτόρριζον τῆς εἰκονομαχίας
ἀνέσπασαν τὴν κνίσασαν τὰς εὐσεβεῖς καρδίας,
καὶ ταῖς ἀρούραις τῶν ψυχῶν ταῖς ὑλομανησάσαις
τὸν σπόρον κατεβάλλοντο τὸν τῆς ὀρθοδοξίας.
ἄμφω μὲν οὖν ἐφ' ἱκανὸν παῖς τε καὶ μήτηρ ἦρχον,
καὶ μήτηρ ἦν, τὸ τοῦ Δαβίδ, ἐπὶ παιδὶ τρυφῶσα.
ἐπεὶ δ' ὁ παῖς ὁ βασιλεὺς λοιπὸν ἡλικιοῦτο
καὶ μεῖραξ ἦν καλλιφυής, κροτάφους ἰουλίζων
(καὶ γὰρ παιδίσκος ἁπαλὸς λέλειπτο τῷ τεκόντι),
παρεισφθαρέντων εἰς αὐτὸν τῶν πονηροκολάκων
καὶ δαπανώντων τὴν αὐτοῦ καρδίαν κολακείαις
ὡς δένδρα τὰ γλυκύχυμα σκώληκες ξυλοφάγοι,
ὑπερφρονεῖ μεγαλαυχεῖ κατὰ τῆς βασιλίδος, B
αὐτός τε μόνος ἐπαρκεῖν τοῖς πράγμασι νομίσας
τῶν ἀνακτόρων ἔκπτωτον ποιεῖται τὴν μητέρα
καὶ σὺν αὐτῇ τὴν κοσμικὴν εἰρήνην κουροτρόφον.
ἐντεῦθεν ἐκκυλίεται πρὸς ἀθεσμοπραγίας,
καὶ κείρει μὲν τὴν σύνοικον τὴν σωφρονικωτάτην,
ἄλλης δὲ μῖξιν γυναικὸς τοῖς λέκτροις ἐπεισάγει.
καὶ γὰρ ῥανὶς ἐνδελεχὴς πέτραν σκληρὰν κοιλαίνει,
καὶ κάμπαι τὰς δενδρίτιδας φυλλάδας ἀναλοῦσι,
καὶ κόλακες ἐσθίουσιν ἀνθρώπους μικροσπλάγχνους.

4405 τῆς εἰκονομανίας M   4407 ἐπὶ παιδὶ τὸ τοῦ Δαβίδ R
4411 πονηροκαρδίων R

tis. nam hi religiosorum et gubernatorum divinitus hominum coetu coacto spinas oppugnationis imaginum, quae pias mentes iamdudum punxerant, radicitus evulserunt, et in arvis animorum luxuriantibus rectae veritatis doctrinae semina conseverunt. administrabant autem coniunctis operis imperium tam mater quam filius satis longo tempore, cum quidem mater, uti Davides loquitur, ex filio voluptatem caperet. sed ubi filius imperator adolevisset iamque lanugo malas eius vestire coepisset, amisso prima in pueritia patre, sceleratis quibusdam assentatoribus in eius amicitiam se insinuantibus et adulando cor adolescentis exedentibus, quemadmodum tineae dulcis arbores succi corrodere solent, non solum matrem imperatricem iactabundus prae se contemnebat, verum etiam rerum se gubernationi iam idoneum satis arbitratus, ex regia matrem Irenen (hoc est pacem) una cum pace mundi totius eiiciebat. deinde ad nefanda quaedam facinora exorbitat. coniugi modestissimae pudicissimaeque capillos radit, et a priori matrimonio secundas ad nuptias transit. nimirum gutta continuo stillans durum etiam saxum excavat; et arborum folia erucae absumunt; et assentatores ad extremum

ἀλλ᾽ ἔνηψεν ὀψέ ποτε τῆς ἄκρας φιλαυτίας,
συνῆκεν ὡς συνείληπται μέσος κακοῖς ἐσχάτοις,
C *καὶ πάλιν τὴν βασίλισσαν ἐκλιπαρεῖ μητέρα*
ἰθύνειν τὸ καλλίπρωρον τῆς βασιλείας σκάφος.
κάμπτεται λόγοις τοῦ παιδὸς ἡ βασιλὶς Εἰρήνη,
καὶ πάλιν ἦν σὺν τῷ παιδί, καὶ σὺν αὐτῷ διεῖπε
τὸ κράτος καὶ τὰ πράγματα καὶ τὴν Ῥωμαίων τύχην·
ἦν γὰρ καὶ φύσει φίλαρχος καὶ τοῦ κρατεῖν διψῶσα.
ἀλλ᾽ ὁ λαλήσας ψίθυρα ταῖς ἀκοαῖς τῆς Εὔας,
καὶ τῆς κακίας τὸν ἰὸν εἰς τὴν ψυχὴν ἐμέσας,
καὶ πείσας ἀπογεύσασθαι ξύλου τοῦ καλλικάρπου,
καὶ θάνατον ἐπενεγκὼν ἀντὶ ζωῆς ἀλύτου,
καὶ τὸ τερπνὸν μεταβαλὼν εἰς ἄκρατον πικρίαν
καὶ τὸ γλυκάζον εἰς χολήν, τὸ θέλγον εἰς ὀδύνην,
κἀντεῦθεν τὴν τριτάλαιναν εἰς πέλαγος ποντώσας
D *καὶ πειρασμῶν εἰς θάλασσαν καὶ συμφορῶν εἰς κῦμα,*
οὗτος καὶ τότ᾽ ἐπίβουλος καὶ σύμβουλος Εἰρήνῃ
τῇ βασιλίδι γεγονώς, καὶ θέλξας τὴν καρδίαν
τῆς μοναρχίας ἔρωτι καὶ μονοκρατορίας,
πείθει κατὰ τοῦ μείρακος τούτου τοῦ βασιλέως
βουλὴν βουλεύσασθαι σκαιάν, φεῦ, ἀπανθρωποτάτην,
ἣν οὐδὲ τιγροπάρδαλις, οὐ λέων βρυχητίας,
οὐκ ἄρκτος ἀγριόθυμος, οὐ δράκων ὠμοφάγος.
ὁρῶσα γάρ τοι τὸν υἱὸν ἀσέμνως τε βιοῦντα
καὶ πᾶσι προσφερόμενον κατὰ τὸ βουλητέον,

4425 *μέσοις* MR   4441 *γέγονε* M   4445 *καὶ* R

homines pusillis praeditos animis excedunt. vicissim tamen ex hoc amore sui nimio resipiscit, extremis se malis inclusum teneri deprehendit, matrem imperatricem exorat ut ad gubernationem se rursus accingat. Irene filii verbis flectitur, ad eum revertitur, oneris in gubernatione partem in se transfert, quod etiam a natura sic comparata foret ut imperium affectaret ac mirifice dominari cuperet. verum is qui susurros in aures Evae ingessit, mali venenum in eius animum evomuit, ut ligni pulcherrimi fructum gustaret persuasit, mortem pro aeterna vita substituit, voluptatem cum amariore mero commutavit, cum bile dulcedinem, cum dolore delectationem, quique deinceps Evam illam miserrimam in mare tentationum calamitatumque demersit, is igitur etiam hoc tempore non tam consiliarius quam insidiator Irenae factus, ubi cor eius demulsisset amore dominatus, quo sola frueretur, denique persuadet ut adversus imperatorem adolescentem crudele consilium et heu longe immanissimum iniret, quod ne tigropardalis quidem, nec rugiens leo, nec iracundus ursus, nec crudivorus draco caperet. cum enim filium quodam modo

αὐτὴν δὲ διαπράττεσθαι μηδέν τι δυναμένην, P 91
Πάτροκλον δῆθεν πρόφασιν εὔλογον εὑραμένη,
ὡς οὐ καλῶς ὁ βασιλεὺς ἀλλὰ καὶ παρανόμως
τὰς κόρας ἀπησβόλωσεν αὐτοῦ τῶν πατραδέλφων,
κοινοῦται φεῦ τοῖς ἀμφ' αὐτὴν τὴν θηριώδη γνώμην,
εὑρίσκει πάντας εὐπειθεῖς, ἀνήκοον οὐδένα·
καὶ τί γὰρ ἂν οὐκ ἔδρασαν οἱ θαλαμηπολοῦντες
εὐνοῦχοι ῥυπαρόψυχοι, πάντων κακῶν ἐργάται;
τυρεύει τὴν ἐπιβουλὴν φεῦ κατὰ τοῦ φιλτάτου,
τοὺς τρόπους ὑποτίθεται. τί δὴ τὸ μετὰ ταῦτα;
ὕπνωττε μὲν ὁ βασιλεύς, ἀλλ' ὕπνον σκοτοδότην,
ὕπνον μεθ' ὃν οὐκ ἔμελλε κάλλος ἡλίου βλέπειν·
οἱ δ' εἰσπηδῶσι κόρακες ὥσπερ ὀφθαλμορύκται, B
καὶ τῶν ὀμμάτων φεῦ αὐτοῦ τὸ σέλας ἀμαυροῦσι.
καὶ γλῆναι μὲν κατέρρεον ἐκ τῶν αὐτοῦ βλεφάρων,
καὶ σταλαγμὸς αἱματηρὸς ἐμόλυνε τοὺς πέπλους,
καὶ χάλαζα κατέβαινεν ἐκ φόνου σφαιρουμένη·
αὐτὸς δ' ὁ τλημαθέστατος ἔκειτο σφακελίζων,
θέαμα φεῦ ἐλεεινόν, πεῖθον πενθεῖν καὶ λίθους,
ἐκεῖ τὰς ὄψεις ἐκκοπείς, ἐκεῖ σβεσθεὶς τὰς κόρας,
ὅπου τὸ πρῶτον ἔβλεψεν ἡλίου τὰς λαμπάδας·
Πορφύραν ὀνομάζουσιν ἐκεῖνον τὸν οἰκίσκον.
τίς τηλικαύτην ἤκουσε βαρύθυμον μανίαν,

4450 ὅ φασιν A 4471 ἔβλεψε A

vitam indecoram agere proque animi sui arbitratu cuncta gerere videret, ipsa parum admodum efficere valente, reperta scilicet opportuna, ceu dici solet, occasione, quae speciem aliquam aequitatis et rationis haberet, quasi praeter ius atque fas imperator suis patruis oculos eruisset, cum suis immane consilium communicat, et quidem omnes obtemperandi cupidos reperit, adversantem neminem. quid enim cubiculorum custodes eunuchi, foedis animis praediti, cunctorum malorum perpetratores, non facerent? igitur insidias filio carissimo per speciem, quasi male se gereret, struit; quem conatum huiusmodi quaedam consecuta sunt. forte somnum capiebat imperator, peracerbum ipsi profecto, post quem non iam solis pulchritudinem amplius visurus esset. tum illi corvorum in morem, oculos eruentium, imperatoris in conclave irrumpunt, et lumen oculorum eius (proh foedum facinus!) exstinguunt. mox pupillae oculorum delabi, stillae sanguineae peplos inquinare, cruor in morem grandinis conglobari, imperator ipse calamitosissimus ad terram proiectus animo deficere, spectaculum (heu) miserabile, quod ipsis lapidibus dolorem excuteret. et quidem eo ipso in loco visum oculis effossis amisit, quo in loco primum omnium radios solis aspexerat. solent autem domum illam nuncupare Porphyram, hoc est purpuram. quis unquam tantum furorem fando audivit, quem mater in filium evomuerit?

μητρὸς μανίαν εἰς υἱόν; αἲ πάθους φιλαρχίας!
C *οὐ πάρδαλις ἐκμαίνεται κατὰ τῶν σκύμνων οὕτως·*
οὐχ οὕτως ἀγριαίνεται κατὰ τῶν σκυλακίων
οὐ τίγρις, οὐδὲ κάρχαρος οὐδὲ λυσσώδης κύων.
Μήδειαν μόνην λέγουσιν τέκνοις ἐπιβουλεῦσαι,
καὶ ταύτην ἀπὸ Σκυθικῆς ἀγριογνωμοσύνης.
μόνον ἀκούω τὸν ἰχθὺν τὸν πελαγίτην θύννον
πεινάσαντα καταρροφεῖν τὸν γόνον τὸν οἰκεῖον,
ἄλλο δ' οὐδὲν οὐκ ἔνυγρον, ἀλλ' οὐδὲ χερσοπόρον·
αἱ γὰρ Εἰλείθυιαι δειναὶ μητέρας δυσωποῦσι.
ἔσβη τὰ σελαγίσματα τότε τὰ τοῦ φωσφόρου,
φῶς οὐκ ἐδίδου λαμπραυγὲς παντοφανὴς ὁ λύχνος,
ἐπέμυε τὸ βλέφαρον ἡ φωτοφόρος κόρη,
D *ζόφος δ' ἐφήπλωτο βαθὺς ἐπὶ συχναῖς ἡμέραις·*
καὶ τὰ στοιχεῖα γὰρ αὐτὰ τὴν συμφορὰν ἐπένθουν.
αἲ πάθος ἐλεούμενον οἰκτρῶς καὶ τοῖς ἀψύχοις!
οὕτω δὲ τοῦτο δράσασα τὸ πάντολμον ἐκείνη
ἀρχηγετεῖ καὶ μοναρχεῖ (τοῦτο καὶ γὰρ ἐπόθει)
καὶ μόνη περιζώννυται τὴν αὐτοκρατορίαν.
Τότε καὶ Ῥώμῃ τῇ λαμπρᾷ, τῇ γηραλέᾳ Ῥώμῃ,
λόγου καὶ μνήμης ἄξιον πρᾶγμά τι συνηνέχθη.
ἣν ἁγιστεύων ἐν αὐτῇ τὰς ἱερὰς θυσίας
τῶν ἄλλων τε πρωτόαρχος ἱεροπόλων Λέων·
πάπας κατονομάζεται τῇ τῶν Ῥωμαίων γλώσσῃ.

4472 *πάθος* AR 4480 *οὐκ*] *οὐδ'* AM 4484 *ἀπέμυε* R *φωτοτρόφος* A 4487 *οἰκτρὸν* AR versibus 4491—4527 usus est P. Pithoeus Annal. et hist. Franc. scriptor. coaetan. p. 290—1 ed. Francofurt. 4495 *γλώττῃ* R

hei dominandi libidinem! non sic pardalis suos adversus catulos furit, non ita saevit in sobolem tigris, non aper, non canis furiosus. solam Medeam suis liberis insidiatam perhibent, et quidem ex immanitate Scythica. solum thynnum audio, piscem marinum, si esuriat, sobolem propriam deglutire; nec ullum aliud animal esse, vel aquatile vel terrestre, quod eiusmodi quiddam perpetret. quippe parturigines ipsae ad efficiendam in matribus reverentiam erga sobolem efficacitatem singularem habent. tunc et solis splendor extinctus est et luna defecit, et compluribus diebus ingens caligo fuit: nimirum ipsa elementa Constantini calamitatem deplorabant. heu facinus inanimis etiam rebus miserabile! tam atroci flagitio designato sola deinceps Irena regnat: quod unum sane quaesiverat, sola sibi usurpat imperium.

Id temporis etiam illustrissimae Romae veteri quiddam accidit, dignum quod literarum monumentis memoriae prodatur. erat in ea sacrorum antistes Leo, reliquorum sacerdotum primus, quem Romana lingua

τούτῳ πικρῶς βασκήναντες ἄνδρες τινὲς ἐκ Ῥώμης P 92
οἱ προσγενεῖς Ἀδριανῷ τῷ πρὸ βραχέος πάπᾳ,
καὶ στάσεως κλυδώνιον κυμάναντες βαρύθρουν,
τοῦ θρόνου καὶ τῆς πόλεως ἐλαύνουσι φυγάδα.
ὁ δὲ σημάνας ἐν γραφῇ ταῦτα τῇ βασιλίδι
ἐπικουρίας τε τυχεῖν ἐκ ταύτης ἱκετεύσας,
ὡς ἔγνω πάντα μάταια τεχνώμενος καὶ πράττων
καὶ γράφειν τὸ λεγόμενον ἐπιχειρῶν εἰς ὕδωρ,
καὶ πανταχόθεν ἀπογνοὺς προσφεύγει τῷ Καρούλῳ
(ἦν δὲ τῶν Φράγγων φύλαρχος ὁ Κάρουλος ἐκεῖνος·
ῥῆγας τοὺς σφῶν κατάρχοντας οἴδασι Φράγγοι λέγειν)
καὶ δεῖται τούτου τῆς χειρὸς ὡς μεγαλοδυνάμου, B
ὡς ἐπαρκέσειεν αὐτῷ κατὰ τῶν ἀδικούντων.
δέχεται τοῦτον Κάρουλος (ἦν γὰρ παπποπατρόθεν
ὑπὸ Χριστοῦ καλούμενος καὶ σέβων Χριστοῦ νόμους),
αἰδεῖται λιταζόμενον τὸν ἱεροθυτοῦντα,
δίδωσι τούτῳ σύμμαχον μεγασθενῆ παλάμην,
καὶ πάλιν ἐγκαθίστησι τῇ πόλει καὶ τῷ θρόνῳ.
ἐντεῦθεν ἀμειβόμενος τὸν Κάρουλον ὁ Λέων
ἀναγορεύει κράτορα τῆς παλαιτέρας Ῥώμης,
καὶ στέφος περιτίθησιν ὡς οἱ Ῥωμαίων νόμοι.
οὐ μὴν ἀλλὰ χρησάμενος καὶ νόμοις Ἰουδαίων
ἐκ κεφαλῆς μέχρι ποδῶν ἐλαίῳ τοῦτον χρίει,
οὐκ οἶδα τίσι λογισμοῖς ἢ ποίαις ἐπινοίαις. C
οὕτως ὁ πρώην σύνδεσμος τῶν πόλεων ἐρράγη·

4507 ὡς] τῆς A 4509 τοῦτο A 4510 ἀπὸ AR 4520 πρῶτος R

papam vocant. huic cum acerbe Romani quidam, propinqui Adriani eius qui non ita pridem papa fuerat, inviderent, seditione concitata non throno tantum hominem deiiciunt, sed etiam ab urbe pulsum cogunt solum vertere. tum ille re tota mox Cpoli nuntiata opem sibi ferri postulat. ubi frustra se omnia moliri et agere animadvertit, et in aqua, ceu proverbio dicitur, literas exarare, re ab omni parte desperata ad Carulum confugit. erat is Francorum nationis princeps, quem lingua sua Franci regem nuncupare consueverunt. huius manum potentissimam implorat, ut auxilium sibi ferret adversus eos qui laeserant. Carulus Leonem benigne accipit, ut qui ab avis et atavis usque Christianus esset Christique leges coleret: sacerdotem supplicem reveretur, auxiliarem ei manum porrigit, solio pariter et urbi restituit. tum vero vicem Carulo referens Leo Romae veteris eum imperatorem renuntiat, neque tantum corona caput eius more Romano cingit, verum etiam legibus Iudaeorum usus a capite ad pedes oleo totum perungit. quod sane posterius quibus ex causis ac rationibus factum fuerit, equidem scire nequeo. sic pristinum

οὕτω μητρὸς καὶ θυγατρὸς μέσον ἐπέπτη σπάθη,
διχάζουσα καὶ τέμνουσα μετὰ θυμοῦ ῥομφαίας
νεᾶνιν τὴν εὐπρόσωπον, τὴν νεωτέραν Ῥώμην,
ἐκ τῆς ῥυσσῆς καὶ παλαιᾶς καὶ τριπεμπέλου Ῥώμης.
Καὶ ταῦτα μὲν τετύχηκε τοιουτοτρόπου τέλους·
ἡ βασιλὶς Εἰρήνη δὲ πολλὰ προθυμουμένη
μανίαν τὴν τριβάρβαρον ἐκείνην ἀφανίσαι
καὶ μύσος ὅπερ δέδρακεν εἰς τὸν υἱὸν ἐκπλῦναι,
χρημάτων ὅλους θησαυροὺς ἐκένωσε τῇ πόλει,
καὶ τὸν χειμῶνα τῶν χρειῶν ἔτρεψεν εἰς εὐδίαν,
ἔαρ χρυσοῦν ἐκχέασα τῆς μεγαλοδωρίας.
D πλὴν ἀλλ' ὁ βλέπων τὰ κρυπτὰ καὶ συνιεὶς εἰς πάντα,
ὁ παντεπόπτης ὀφθαλμός, ὁ τὰς καρδίας κρίνων
προσέσχεν, εἶδεν, ἔβλεψεν, ἐζήλωσεν, ἠχθέσθη,
καὶ πρὸς βραχὺ τῆς ἡδονῆς τοῦ κράτους γευσαμένη
ἀψινθιάζοντα πικρὸν ἐκέρασε κρατῆρα,
καὶ τὸν τρυγίαν τῆς ὀργῆς τῇ παρανομησάσῃ.
ἐπαναστάντος γὰρ αὐτῇ τινὸς τῶν τῆς συγκλήτου,
τῶν περιλάμπρων καὶ γνωστῶν, τοὔνομα Νικηφόρου,
ἐκβάλλεται τοῦ τῆς ἀρχῆς ἀγλαοδένδρου κήπου,
ἀντὶ τρυφῆς καρπίζεται δακνοκαρδίους πόνους,
πόνους οὐ πόνους τοκετοῦ, τῶν συμφορῶν δὲ κέντρα,
ἅλμην τε πίνει θλίψεως ὡς πένησσα χερνῆτις.

4530 ἄδειαν A

illud harum urbium vinculum ruptum fuit, sic matrem a filia gladius divisit ac resecuit, Romam dico recentiorem, formosam illam iuvenculam, ab altera rugosa planeque vetusta.

Ceterum imperatrix Irena, cum magno studio furorem illum barbarissimum et ingens piaculum, quod in filium commiserat, eluere delereque cuperet, totos pecuniarum thesauros in urbis usum exhauriebat, et vexantem obaeratos tempestatem in serenitatem commutabat, munificentia sua quoddam velut aureum ver effundens. verum oculus ille qui occulta perspicit, omnia intelligit, corda iudicat, ad Irenam se convertit, eam adspexit, fervore quodam accensus est, graviter molesteque facinus eius tulit; cumque perexiguum ad tempus imperii voluptatem illa degustasset, amarum flagitio pollutae craterem, suae videlicet irae faeces miscuit. quippe concitata seditione per quendam ordinis senatorii virum illustrem et clarum, cui nomen Nicephorus, imperio deiecta est, pro voluptate molestias cor exedentes consecuta, molestias inquam non tam appellandas molestias quam calamitatum filii stimulos. quare deinceps mare afflictionum hauriebat, tanquam paupercula mulier et nendo victum quaerens. eiusmodi efficere vitae mortalis inconstantia consuevit, et hoc modo deus

τοιαῦτα τὸ παλίνστροφον ἐργάζεται τοῦ βίου·
οὕτως ἀνταποδίδωσι θεὸς τοῖς ἀδικοῦσι. P 93
μόνη μὲν οὖν τετύχηκεν ἐπὶ μικρὸν τοῦ κράτους,
σὺν Κωνσταντίνῳ δὲ υἱῷ χρόνοις ἑπτὰ πρὸς δέκα.
Τοῦ κράτους τοίνυν ὁ τροχὸς ἐξ ἄλλων εἰς ἑτέρους
κυλινδηθεὶς καὶ συστραφεὶς ἐν δρόμοις ἀνωμάλοις
φθάνει ποτὲ μετέωρον ἄρας καὶ Νικηφόρον,
ἄνθρωπον φονικώτατον, δύστροπον, κακοήθη,
δοῦλον χρυσοῦ χρυσομανῆ, κίμβικα σμικρολόγον,
ἄντικρυς Μίδαν τὸν ποτὲ κατάρξαντα Φρυγίας,
ὃς τὰς ἀρχὰς τῶν πόλεων ὠνίους ἐποιεῖτο,
οὐκ ἀριστίνδην τὰς τιμὰς ἀλλὰ πλουτίνδην νέμων.
εἶχε χρυσὸν ἐν χείλεσι, βοῦν ἐπὶ γλώττης εἶχε,
χρυσὸν ἐπιτραπέζιον, χρυσὸν ὠνειροπόλει. B
καὶ τοῖς μὲν ἄλλοις σκυθρωπὸς καὶ κατηφὴς ἐῴκει,
ἂν δέ χρυσοῦ τις ἔφερεν ὁλκὴν ἐπικολπίαν,
τότε δὴ τότε προσηνὲς τὸ βλέφαρον ἐδείκνυ,
καὶ σκυθρωπότητος ἀχλὺς οὐκ ἦν ἐν τοῖς προσώποις.
ἐντεῦθεν πάσας μηχανὰς ὑπώρυττε καὶ τρόπους,
καὶ πάντας ὑπεβόθρευεν εὑρεσικάκους δόλους,
ὡς εἴ που παρευρίσκοιτο χρυσίον κενωθείη
καὶ πρὸς αὐτὸν μετενεχθῇ. τῆς φιλοχρηματίας!
οὗτος ἐπέθηκε βαρὺ τοῖς Βυζαντίοις ἄχθος,

v. 4544 om M vv. 4546—47 om R μακρὸν M 4549 κυλινδρηθεὶς R 4552 κυμβικοσμικρολόγον M 4557 χρυσὸς ἐπιτραπέζιος A 4561 τῷ προσώπῳ R 4563 ὑπετρόπευεν M 4564 παρευρίσκεται R, παρευρίσκετο M 4565 τὸν φιλοχρηματίαν M 4566 οὕτως A

iniuriarum auctoribus mercedem tribuit. contigit autem ipsi longo tempore, tam soli quam cum filio Constantino, imperio frui, nimirum ad 17 annos.

Igitur imperii rota cum ab aliis ad alios volutata conversaque foret inaequalibus sane cursibus, nunc tandem Nicephorum in sublime sustulit, hominem sanguinarium, moribus perversis, improbum, auri mancipium sordidum, Midae Phrygum quondam regi per omnia similem. magistratus urbium venales habebat, neque dignitates ex virtutis sed opum respectu conferebat. aurum habebat in labris, bovem in lingua gerebat; de auro loquebatur in mensa, per quietem aurum somniabat. et erat erga ceteros quidem severo tristique vultu: verum si quis auri pondus sinu ferret, eum blande intuebatur, nec ullum tristitiae vestigium in vultu restare patiebatur. hinc fiebat ut quidvis auri conquirendi causa moliretur, eoque nomine fraudes astutissimas universis clanculum strueret. Byzantiis

οὐ κοῦφον οὐδ' εὐάγκαλον, οὐδ' ἐλαφρὸν βαστάσαι,
ἀνανεώσεως τειχῶν χάριν τῶν γηρασάντων,
C *ὃ λέγουσι δικέρατον οἱ τούτου τελωνάρχαι.*
σφίγγων δὲ πάντα ταῖς κλεισί, καὶ θύραζε μὴ φέρων
οὐκ ἄργυρον οὐδὲ χρυσόν, οὐκ εὐυφάντους πέπλους,
καὶ τοῦτο τὸ λεγόμενον ἐν μύθοις Αἰσωπείοις,
πλεῖστα μὲν ἴχνια δεικνὺς χρημάτων εἰσιόντων,
ἐξερχομένων δ' οὐδαμῶς οὐδ' ἀποκενουμένων,
ἐστέρησε καὶ τὸν στρατὸν τῶν ἐποφειλομένων.
ἐντεῦθε θροῦς δυσκέλαδος καὶ στάσις ὀλεθρία
καὶ λαλαγὴ κακόχαρτος καὶ δυσφημοῦσαι γλῶσσαι.
καὶ συνδραμόντες εἰς ταὐτὸ μετὰ κραυγῆς ἀσήμου
αὐτάνακτα Βαρδάνιον τὸν τότε στραταρχοῦντα
γενέσθαι καθικέτευον, προσφέροντες καὶ βίαν.
ὁ δ' οὐ γινώσκων τὴν ῥοπὴν τῆς ταλαντούχου τύχης,
D *καὶ τὴν ἀμφίρροπον αὐτῆς θέλησιν ὑποτρέσας,*
ἀνθρώπῳ θείῳ προσφοιτᾷ καὶ θεοφορουμένῳ
καὶ ταῖς τοῦ πνεύματος αὐγαῖς πλουσίαις πυρσουμένῳ,
ἐκφαίνει τὸ κρυπτόμενον, ἅπαντα καταλέγει,
τὴν στάσιν καὶ τὸν τάραχον καὶ τοῦ λαοῦ τὴν βίαν.
ἀκούει ταῦθ' ὁ πολιὸς τὰς φρένας καὶ τὰς τρίχας,
ὁ κύκνος ὁ τοῦ πνεύματος, ὁ κελαδῶν τὰ θεῖα·
ἀπαγορεύει, νουθετεῖ μηδὲν νεωτερίζειν,
"μὴ καὶ τὰς κόρας κεντηθῇς" φησὶ "τὰς τῶν ὀμμάτων,
καὶ πάντα προσαποβαλεῖς, πάντα προσαπολέσεις."

4575 *ὑστέρησε* M 4577 *δυσφημοῦσα γλῶσσα* M 4579 *στρατηγοῦντα* M 4581 *εὐ?* 4584 *καὶ*] *ἐν* M

onus gravissimum imposuit, veterum murorum reficiendorum causa, quod tributorum exactores diceratum vocant. cumque clavibus occluderet omnia, nec foras quidquam prodire sineret vel argenti vel auri, textarum vestium, et plurima quidem, velut est in Aesopicis fabulis, vestigia pecuniarum introeuntium apparerent, exeuntium vero et expensarum nulla, milites etiam debitis stipendiis spoliabat; quo facto murmur infaustum, noxia seditio, voces insolentes, linguae maledicae passim excitabantur. adeoque concursu facto cum clamore inarticulato Bardanium milites, qui copiarum id temporis dux erat, ut imperium ab se oblatum acciperet, non tantum precibus sed etiam vi adhibita cogebant. at ille non agnoscens initium hoc adversissimae fortunae, et tamen voluntatem eius instabilem reveritus, divinum quemdam ad hominem sese confert, arcanum sui cordis aperit, indicat omnia, seditionem, tumultum militarem, vim populi, quam sibi adhibeat. audit haec canus ille tam capillis quam animo cygnus spiritualis, divina carmina concinens: ne militibus obtemperet edicit, a rebus ut novis abstineat hortatur, ne forte iacturam oculorum fa-

βλέπει βαρυθυμήσαντα Βαρδάνιον ὁ γέρων,
βλέπει τοὺς ἕλκοντας αὐτοῦ τὸν ἵππον τῷ ῥυτῆρι,
καὶ μετακαλεσάμενος αὖθις τὸν στρατηγέτην
"σὺ μέν, λαμπρότατέ" φησι, "τρισμέγιστε στρατάρχα,
οὐκ ἐπιτεύξῃ τῆς ἀρχῆς, εἰ καὶ μυρία κάμῃς· P 94
τῶν ταττομένων δέ τινες ὑπὸ τὴν σὴν παλάμην
τὴν ζώνην ἀναζώσονται τὴν τῆς ἡγεμονίας.
ὁρᾷς τοὺς σοὺς ὑπασπιστὰς ἐκείνους τοὺς τρεῖς ἄνδρας;
Λέων Θωμᾶς καὶ Μιχαὴλ αἱ κλήσεις τοῖς ἀνδράσι.
τούτων ὁ Λέων τῶν ἀνδρῶν πρῶτος ἀρχηγετήσει,
καὶ μετ᾽ αὐτὸν τῷ Μιχαὴλ τὸ κράτος προσφοιτήσει.
ὁ δὲ Θωμᾶς ὁ τρίτατος σφαδάσει μὲν ἐκθύμως
καὶ βασιλείας ὄνομα πρὸς ἑαυτὸν ἑλκύσει,
πλὴν οὐκ εἰς τέλος ἐνεγκεῖν τὸ θελητὸν ἰσχύσει,
τῶν ὀφθαλμῶν δὲ τὰς αὐγὰς ἀπεσβεσμένας ἕξει."
Καὶ ταῦτα μὲν ἀπέβησαν ἐν χρόνοις τοῖς ἰδίοις, B
ὡς ἡ πνευματοκίνητος ἐθεσπιῴδει σάλπιγξ.
ὁ δὲ σμικρολογώτατος αὐτάναξ Νικηφόρος
Βουλγάροις ἰστρογείτοσι μάχην στεῤῥὰν συνάψας
ἔργον μαχαίρας γίνεται, βρωματισμὸς ῥομφαίας,
τῷ Σταυρακίῳ τῷ παιδὶ καταλιπὼν τὰ σκῆπτρα.
ἀλλὰ γὰρ καὶ Σταυράκιος τάχιον ἀποφθίνει
ἐν ταύτῃ δορατότρωτος ἀναφανεὶς τῇ μάχῃ
καταβελής τε γεγονώς, ἔξαιμος, τραυματίας.
τῷ Μιχαὴλ δὲ προσγελᾷ τῷ Ῥαγγαβὲ τὸ κράτος,

4595 καὶ μέγιστε R 4596 κἂν καὶ A 4598 ἀναζ. τῆς αὐτοκρατορίας A 4604 τοὔνομα A

ciat. his dictis Bardanium senex perturbatum animo videt, simulque conspicit eos qui equum eius freno ducebant. quapropter revocato duce "tu quidem" ait, "illustrissime potentissimeque dux, imperium non consequeris, etiamsi labores infinitos suscipias. at subditi quidam tui eo potientur. vides hic tres illos tuos satellites, Leonem Thomam et Michaelum. ex his primus Leo principatum adipiscetur. et post ipsum imperium perveniet ad Michaelum. tertius Thomas toto quidem is pectore discruciabitur, et imperatorum nomen ad se pertrahet: verum obtinere tandem id quod affectabit nullo modo poterit, sed in hoc conatu oculos amittet."

Atque haec deinceps ita suis temporibus evenere, quemadmodum vir ille sacro afflatus spiritu praedixerat. ceterum sordidissimus imperator Nicephorus gravi praelio contra Bulgaros Istro vicinos inito caesus est; filioque Stauracio possessionem imperii reliquit. verum et Stauracius in eo praelio vulneratus hasta, nimia vi sanguinis profusa, celeriter exstinctus est. quapropter imperium Michaëlo Rangabae delatum fuit, quocum

τῆς Νικηφόρου θυγατρὸς γαμέτη Προκοπίας.
ἔβλεψε τότε Βυζαντὶς ἡμέραν ἐλευθέραν,
ἄτερ αἱμάτων καὶ σφαγῶν, βιαίων ἁρπαγμάτων,
C ἀσκότωτον, ἀθόλωτον, οὐκ ἐξαμαυρουμένην
ἀνδροκτασίας ζοφερῷ καὶ ταραχώδει νέφει.
ἔβλεψε τότε Βυζαντὶς ἡλίους εὐποιίας
καὶ στιλβηδόνας ἀγαθῶν καὶ δωρεῶν ἀκτῖνας.
ἦν γὰρ καλοῖς ὁ Μιχαὴλ παντοίοις ἀπαστράπτων,
καὶ φιλελεύθερος ἀνὴρ καὶ γαληνὸς καὶ πρᾶος,
οὐχ αἵμασι τερπόμενος, οὐκ ἐπιχαίρων φόνοις,
ἀλλ' ἄλσος θεοφύτευτον, ἀλλὰ λειμὼν χαρίτων,
παράδεισος κηπεύσιμος νάμασι θεοβρύτοις.
Ἀλλὰ καὶ πάλιν ἔρρευσε τὸ ῥόδον πρὸ τῆς ὥρας,
ὡς ἄγρωστις δροσότροφος ἐψύγη καὶ παρῆλθεν,
ὡς ἄνθος, ὅ φασι, λοκρόν, ὡσεὶ καπνός, ὡς ὄναρ,
ἀνθῆσαν ἐπὶ τέσσαρσιν χρόνοις μῆνας ἐννέα,
D ἀνέβη δ' ἄχερδος πυκναῖς φρίσσουσα ταῖς ἀκάνθαις
καὶ ῥάμνος ἀγριόκεντρος αἱμάσσουσα καρδίας.
ὁ Λέων ὁ δυσώνυμος ἐπιπηδᾷ τῷ κράτει,
ὁ κρεωβόρος ὁ δεινὸς τῶν τοῦ Χριστοῦ προβάτων.
ὁ τοίνυν κράτωρ Μιχαὴλ τὴν τόλμαν τοῦ τυράννου
καὶ τὴν ὁρμὴν ἀναμαθὼν καὶ τὴν ἀποστασίαν
αὐτὸς ἑκὼν ἐξίσταται τοῦ πολυζήλου θρόνου,
πληρῶν κἀν τούτῳ τοῦ Χριστοῦ τοὺς νόμους τοὺς ἐνθέους,

4617 γαμετῆς AM 4621 φοβερᾶς R 4626 αἵματι M
4630 δροσόπωρος R 4631 λευκὸν M v. 4632 om R

Procopia Nicephori filia nupta erat. diem id temporis liberum urbs Cpolitana vidit, et immunem a caedibus iugulationibus direptionibus violentis, expertem malorum et turbarum: vidit et solem urbs Cpolitana beneficum et bonorum scintillas et radios munerum. nam Michaelus omnigenis virtutibus collucebat, vir libertatis amans, placidus, mitis, non caedibus et sanguinis profusione gaudens, sed lucus quasi quidam divinitus consitus, gratiarum campus, paradisus rivis caelitus manantibus irriguus.

Enimvero haec etiam rosa plane ante tempus emarcuit, inque morem graminis a rore nutriti contabuit atque periit, cum ad annos quattuor et novem menses floruisset. eius in locum acherdus enata est, frequentibus horrens spinis, et rhamnus asperrime corda pungens atque vulnerans. nam infausti nominis Leo prosiliit ad imperium, fera carnivora, Christi ovibus immitis. at Michaelus quidem imperator, audita tyranni ferocia impetu defectione, suamet sponte throno imperiali cessit, hoc ipso facto divinis Christi iussis satisfaciens, et erga persecutorem non

καὶ τῷ διώκτῃ πεφηνὼς ἄντικρυς ἄλλος κάστωρ.
λέγουσι γὰρ αἱ παλαιαὶ τῶν ζωογράφων βίβλοι
ὡς ἔστι ζῷον χέρσυδρον κάστωρ ὠνομασμένον,
καὶ τούτου χρησιμεύουσιν οἱ κύλινδροι τοῦ γόνου
πρὸς ἀποσόβησιν οἰκτρῶν παθῶν δυσαπαλλάκτων·
ὅπερ εἰδότες οἱ πολλοὶ τῶν θηροδιωκτούντων P 95
τὸ ζῷον μεταθέουσι δικτύοις λινοπλόκοις,
καὶ τοῖς κυσὶ τοῖς δρομικοῖς χρώμενοι συνεργάταις.
ὁ κάστωρ τοίνυν συνιδὼν τῆς μάχης τὴν αἰτίαν,
καὶ κατιδὼν ὡς ἄφυκτοι τῶν θηρατῶν αἱ πάγαι,
τοὺς σπερμογόνους ἐνδακὼν καὶ παιδουργοὺς κυλίνδρους
χαρίζεται τοῖς θέλουσιν, ὁ δ' ἀποτρέχει φεύγων,
κἀντεῦθεν πάντα περιττά, καὶ δρόμοι καὶ διώξεις,
καὶ τῶν δικτύων αἱ πλοκαὶ καὶ τῶν κυνῶν τὸ τάχος.
οὕτως ἑκὼν καὶ Μιχαὴλ παραχωρεῖ τοῦ στέφους
τῷ θηροτρόπῳ Λέοντι, τῷ δυσωνυμουμένῳ,
ὃς ἦν βλαστὸς κακόβλαστος ἐξ ὅρων Ἀρμενίων.
πάλιν ἀνέζησε πικρὰ ῥίζα τῆς πρὶν ἀκάνθης, B
πάλιν ἐξήνεγκε βλαστοὺς τῶν πρὶν κεντρωδεστέρους
καὶ τὸ χρυσοῦν γεώργιον ἠπείλησε συμπνῖξαι,
καὶ πάλιν τὸ τοῦ δράκοντος οὐραῖον ἐκινήθη.
ἡ βδελυρότης δή φημι τῆς εἰκονομαχίας
ὡς δράκων μέγας εἵρπυσε φρικώδης χασματίας,
ἐρροίζησε καταπιεῖν πάλιν τὴν ἐκκλησίαν
ὡς ὀρτυλίχους νεοσσοὺς στρουθίου μικροπτέρου.

4642 ζωϋγρίων R 4643 χέρσυγρον A 4645 οἰκτρῶν] τινῶν A 4646 ἰδόντες A 4655 κράτους A 4659 καρπὸν τῶν πρὶν κεντρωδεστέρων R 4665 σμικροτέρου M

aliter sese gerens atque castor sive fiber facere consuevit. legimus enim in priscis illis monumentis eorum qui de animalibus scripsere, fibrum animal esse quod in utroque vivat elemento, et testes habeat arcendis quibusdam morbis sane gravibus conducibiles. quod cum plerique venatores norint, animal canibus longe velocissimis insectantur. huius pugnae causam cum ipse fiber etiam cognitam habeat, perhibent eum morsu resectos testes abiicere atque ita currentem saluti suae consulere; quo facto venatores feram persequi desinant. sic nimirum Michaelus quoque volens imperium resignavit Leoni, belluinis moribus et indole ferina praedito, qui oriundus erat ex Armenia. tum vero rursum enasci prioris spinae radix acerba, rursum germina proferre, magis pungentia quam priora, aureaeque segeti suffocationem minitari: rursum moveri draconis illa cauda, imaginum inquam oppugnationis abominatio, quae iam instar magni horribilis hiantisque draconis serpebat et cum sibilo stridebat, devoratura rursus ecclesiam velut implumes exiguis alis praeditos

αἱ τῶν ἁγίων καὶ Χριστοῦ μορφώσεις ἠσβολοῦντο,
τιτάνῳ κατεχρίοντο, πυρὶ κατεμπιμπρῶντο,
ἀνηρευνῶντο σπήλαια, καταγωγαὶ σεμνείων
καὶ φροντιστήρια ψυχῶν αἳ κατ' ἀγγέλους ἔζων,
καὶ πᾶς ἠλαύνετο σεπτῶν προσκυνητὴς εἰκόνων.
C *ἐπένθει τότε καὶ Σιὼν ἡ τοῦ θεοῦ θυγάτηρ,*
καὶ δάκρυον σταλάττουσα πένθους ἐφόρει σάκκον,
ἀντὶ στολῆς δὲ νυμφικῆς χηρείας χιτωνίσκον.
ἐπένθει τότε καὶ χορὸς ἀστέρων οὐρανίων,
καὶ πρὸς τὴν γῆν ἠντράνιζεν ἐν σκοτεινοῖς βλεφάροις.
Οὗτος τὸ γένος Μιχαὴλ φιλονεικῶν ἐκτρῖψαι
τὰ παιδογόνα τοῦ παιδὸς ἐξέτεμε Νικήτα,
μή πως τεκνώσειέ ποτε καὶ τοῦτον ἀμυνεῖται.
ὁ τοίνυν παῖς τοῦ Μιχαὴλ τομίας χρηματίσας
εἰς ὕστερον ἀρχιερεὺς Ῥώμης τῆς νέας ὤφθη,
μετακληθεὶς Ἰγνάτιος ἐν μεταθέσει βίου.
Οὗτος ὁ θὴρ ὁ χαλεπός, ὁ βρυχητίας Λέων,
ἀναπολῶν καθ' ἑαυτὸν τὰς ἱερὰς προρρήσεις
D *τοῦ θαυμασίου γέροντος, τοῦ χρυσοπτέρου κύκνου,*
καὶ δεδιὼς τὸν Μιχαὴλ ὃς ἦν ἐξ Ἀμορίου,
μὴ πρὸς αὐτὸν ὁ κύλινδρος τοῦ κράτους μεταπέσῃ,
δεσμώτην ἐγκαθείργνυσι φρουρᾷ λαβυρινθώδει,
καὶ κατὰ νοῦν ἐσκέπτετο πῶς ἀναλώσει τοῦτον.

4670 *σεμνῶν* R 4675 *ἠντράνησεν* M 4680 *ἐς* R, *ὃς* M

passeris pullos. Christi et divorum imagines in favillas redigebantur, calce viva perungebantur, igne concremabantur. speluncae perquirebantur, itemque sacrarum aedium hospitia, loca exercitationibus animorum dicata, qui quoquo modo vitam angelicam redolebant. adoratores venerandarum imaginum expellebantur. lugebat hoc tempore Sion, Christi filia, lacrimasque profundens saccum lugubrem gestabat. lugebat hoc tempore siderum caelestium coetus, et tenebricosis palpebris terram aspiciebat.

Ut autem imperator Leo praeter caetera genus etiam Michaeli extingueret, Nicetae Michaeli filio membra destinata procreationi exsecuit, ne liberos gigneret, qui paternam et avitam iniuriam ulciscerentur. hic Michaeli filius, quem castratum fuisse diximus, deinceps novae Romae pontifex factus est, cum vitae genere mutato etiam nomine prisco et Ignatii assumpto.

Secundum haec crudelis ille rugiensque leo, sacras secum ipse praedictiones expendens illius senis admirandi et cygno consimilis, simulque formidans Michaelum oriundum ex Amorio, ne ad ipsum forte imperii rota devolveretur, hominem vinctum in carcerem labyrintho non absimi-

ἀλλ᾽ ἀσθενὴς πᾶς ἄνθρωπος πρὸς τὰς θεοῦ παλάμας·
ἀλλὰ γὰρ μικροδύναμος ἰσχὺς τοῖς γηγενέσιν,
ὁ δὲ θεὸς μεγασθενὴς καὶ μεγαλοβραχίων,
καὶ τίς ἀντιπαλαίσειεν αὐτοῦ τῇ δυναστείᾳ;
ὁ Μιχαὴλ δὲ πεποιθὼς τοῖς θεσπιῳδηθεῖσι
τῷ καλλιγλώττῳ γέροντι, τῷ προφητικωτάτῳ,
ἀνακαλύπτει φανεροῖ γυμνοῖ τὸ κεκρυμμένον. P 96
πρὸς τὸν τῶν οἴκων φύλακα τὸν ἐν τοῖς ἀνακτόροις
(παπίαν λέγομεν αὐτὸν κατὰ Ῥωμαίων γλῶσσαν),
καὶ σὺν αὐτῷ καὶ δι᾽ αὐτοῦ τὸ δρᾶμα συσκευάζει
καὶ σκύφον τῆς ἐπιβουλῆς ἀρτύει τῷ κρατοῦντι.
καὶ τοίνυν συνεισάγουσι νύκτωρ τοῖς ψαλτῳδοῦσι
θωρακοφόρους αἰχμητὰς ἄνδρας ῥομφαιοφόρους,
οἳ συμπεσόντες τῷ θηρὶ τῷ παλαμναιοτάτῳ
τελοῦντι τὸ λειτούργημα τῶν ὑπορθρίων ὕμνων
τοῖς ξίφεσι συγκόπτουσι καὶ θύουσιν ὡς ἄρνα,
πέντε μησὶ πρὸς τοῖς ἑπτὰ χρόνοις κεκρατηκότα.
καὶ Μιχαὴλ καθίσταται κράτωρ, ἀντὶ δεσμώτου
ἐλεύθερος, ἀπὸ φρουρᾶς αὐτάναξ αὐτοκράτωρ.
Καὶ ταῦτα μέντοι τοιαδί, τὰ δ᾽ ἐφεξῆς ὁποῖα; B
ἐστύγει μὲν καὶ Μιχαὴλ τὰς ἱερὰς εἰκόνας,
ἀλλ᾽ οὐκ ἐνεπικραίνετο τοῖς ταύταις προσκυνοῦσιν,
οὐδὲ τὰς σάρκας τὰς αὐτῶν μάστιξιν ἐχαλάζα.
ἐν οὐκ ὀλίγοις τοιγαροῦν ἀποσφαλεὶς ταῖς μάχαις

4692 τὴν τούτου δυναστείαν M 4696 τῶν ἐν M v. 4698 om M 4700 ψαλμῳδοῦσι A v. 4705 om R 4707 ἀντὶ A 4710 ταύτας M 4711 ἐχαλάζον R

lem concludit, secum praeterea dispiciens quo pacto illum de medio tolleret. verum enimvero imbecillis est omnis homo, si cum dei manibus conferatur: immo perexiguum robur est mortalium, cum deus plurimum possit et lacertos robustissimos habeat. quis est enim, ipsius oppugnare potentiam qui possit? interim Michaelus vaticiniis diserti senis maximique vatum fretus exponit patefacit aperit arcanum ei qui aedium regiae custos erat, lingua Romanorum papias dictus. simul una cum ipso, et per ipsum, rem totam componit, et insidias imperatori struit. noctu ergo cum psalmorum cantoribus armati quidam introducuntur, qui belluam immanissimam hymnorum matutinorum sacrum peragentem aggressi gladiis confodiunt et ut agnum mactant, cum annos in imperio septem et quinque menses exegisset.

Post haec Michaelus ex captivo creatur imperator, libertatem una cum regno consecutus. qualia deinceps acciderint, videamus. oderat etiam Michaelus imagines sacras, sed earum adoratoribus acerbe non succensebat, nec flagris eorum corpora violabat. praeliis aliquot infe-

τοῖς ἐκ τῆς Ἄγαρ ἐμπαιγμὸς καὶ χλευασμὸς ἐφάνη,
οἳ τὰς Ῥωμαίων φάλαγγας σπαράσσοντες συχνάκις
καὶ δορυκτήτους ἄγοντες τοὺς τούτων ταγματάρχας
δειλὸν μαλακοκάρδιον ἐκάλουν τὸν κρατοῦντα.
ἐντεῦθεν εἶχε Μιχαὴλ ὀδύνας ἐγκαρδίους
καὶ συμφορὰς θυμοδακεῖς καὶ θλίψεων πικρίας·
τὴν γὰρ δεινὴν καὶ φαυλουργὸν δυσσέβειαν ἐνόσει,
ἀποτειχίζουσαν αὐτὸν ἀπὸ θεοῦ βλεφάρων.
ἀλλεπαλλήλων οὖν κακῶν ἐπεμπιπτόντων τούτῳ
C καὶ δίκην πολυκύμονος θαλάσσης ἐκθροούντων,
δεινότερος ἐπέφλασε μεγαλοκύμων φλοῖσβος,
καὶ τὴν αὐτοῦ συνέσεισε καρδίαν ὡς ὁλκάδα.
ὁ γὰρ Θωμᾶς, οὗ πρότερον ὁ λόγος ἐπεμνήσθη,
ἄνθρωπος πολυμήχανος, ἐμπύριος τὸ θράσος,
στρατεύσιμον συνηθροικὼς ἰσχὺν μυριαχόθεν,
ὁπλίτας αἱματοχαρεῖς, ἀλκίμους, εὐκαρδίους,
φονοεργούς, ἀρεϊκούς, εὐτόλμους, θρασυμάχους,
ἐπιπηδᾷ τῷ Μιχαὴλ μετὰ σφοδρᾶς τῆς ῥύμης
καθάπερ σῦς ἀπὸ δρυμοῦ καὶ λόχμης πολυξύλου
ἢ σκύμνος ὀρεσίτροφος λεαίνης φιλαιμάτου,
καὶ πᾶσαν περιθράκιον περιστοιχήσας πόλιν
D ἐν ναυτικαῖς δυνάμεσι χειρί τε πεζομάχῳ,
καὶ πᾶσαν κάκωσιν αὐταῖς ἐπενεγκὼν βαρεῖαν,
καὶ καταδουλωσάμενος καὶ ῥήξας καὶ σπαράξας,
ἕως αὐτῆς ἐπέδραμε πόλεως τῆς ὀλβίας.

4714 σπαράττοντες R 4722 ἐκκρουόντων R 4726 τῷ θρά-σει M

liciter commissis coepit Agarenis ridiculus videri, qui Romanorum phalanges saepius perrumpentes, et earum duces captivos abducentes, imperatorem formidolosum et mollis animi virum nuncupabant. ea res Michaelo magnos animi dolores aerumnas afflictionesque peperit. nimirum horrendae scelerataeque impietatis morbo laborabat, qui eum ab oculis dei secludebat. cum igitur aliis post alia malis ille premeretur, maris instar cum strepitu irruentibus, etiam gravior quaedam tempestas incubuit, eiusque cor veluti navim onerariam succussit. Thomas enim ille cuius antea mentionem fecimus, vir industrius et audacia flagrans, copiis undiquaque collectis maximo cum impetu Michaelum invasit instar apri de silva lustrisque suis proruentis vel leonini catuli; cumque urbes universas Thraciae totius tam nauticis copiis quam pedestribus cinxisset, omnibus modis divexasset, in servitutem redegisset, diruisset, lacerasset, ad ipsam usque Cpolin, urbem fortunatam, excurrit. enimvero si deus ille praepotens mortalibus adversetur, omne consilium omnisque conatus

ἀλλ' ἂν Θεὸς ὁ πανσθενὴς θνητοῖς ἐναντιῷτο,
ἱστὸς ἀράχνης ἄντικρυς πᾶσα βουλὴ καὶ πρᾶξις.
τὸ θεῖον τοίνυν ὁ Θωμᾶς ὑπερμαχοῦν οὐκ ἔχων
εἰς ψάμμον τῆς ἐπιβουλῆς τοὺς πύργους ᾠκοδόμει,
ἐπ' ἀσθενοῦς ἐπήγνυεν αὐτοῦ τοὺς θεμελίους.
κἀντεῦθεν τὸ κτιζόμενον ῥιζόθεν ἀνετράπη,
καὶ φόνοις χράνας τὰς αὐτοῦ φιλοπολέμους χεῖρας
καὶ δόρυ πᾶν καταβάπτον τοῖς αἵμασι ποιήσας
τὸ τελευταῖον ζωγρηθεὶς ὀρύττεται τὰς κόρας
καὶ σβέννυται καλλιφεγγεῖς λύχνους τοὺς τῶν ὀμμάτων, P 97
καὶ μετὰ ταῦτα ξίφεσι δεινῶς κρεωκοπεῖται.
Ὁ βασιλεὺς δὲ Μιχαὴλ μέλλων τὸν βίον λείπειν,
ἐφ' ὅλοις ἔτεσιν ὀκτὼ Ῥωμαίων βασιλεύσας,
τῷ Θεοφίλῳ τῷ παιδὶ τὸ σκῆπτρον ἐγχειρίζει·
ὃς ἐν τοῖς ἄλλοις ἅπασι τὴν ἅλμην τὴν τοῦ βίου
κακοτυχῶς καὶ σφαλερῶς ἀλλ' οὐκ εὐδίως πλέων
τοῦτο καὶ μόνον τὸ καλὸν εὕρατο παραδόξως,
τὴν πάνσεμνον ἐν γυναιξὶ καὶ θείαν Θεοδώραν,
ὡς μάργαρον κατάλευκον, ὡς λίθον ἀνθρακίαν.
ταύτην οὖν σχὼν κοινολεχῆ, ταύτην ζυγεὶς εἰς γάμον, B
καὶ παίδων γέγονε πατὴρ εἰς γῆν γονίμην σπείρων,
καὶ πλέον ἐπευτύχησεν Ἀδὰμ τοῦ πρωτοπλάστου.
τὸν μὲν γὰρ ἡ πλευροφυὴς καὶ πρωτομήτωρ Εὔα
ἐκ τῆς τρυφῆς τῶν τῆς Ἐδὲμ ἐξήγαγε δενδρέων·

v. 4750 om R   4755 πάνσεπτον A   4757 γοῦν M   4758 ὡς εἰς AR   4759 πρωτογόνου AR

reapse nihil est aliud quam aranearum tela. quapropter cum Thomas a numine divino non propugnaretur, insidiarum suarum turres in arenis exstruebat, inque re perimbecilli fundamenta sua collocabat, et iccirco totum aedificium radicitus corruit. nam ubi caedibus manus illas pugnarum avidas inquinasset et hastas sanguine tinxisset, tandem vivus in hostium potestatem pervenit, oculisque spoliatus et postea gladiis sine omni misericordia obtruncatus est.

Michaelus autem excessurus e vita, cum annis octo Romanis praefuisset, Theophilo filio suo imperium tradidit; qui caetera per omnem vitam infelix, unum bonum mirabiliter nactus est, Theodoram coniugem, feminam plane divinam, venerabilem inter mulieres alias, unioni candidissimo et carbunculo persimilem. huic ille matrimonio iunctus non solum liberorum pater ex fecunda coniuge factus est, verum etiam felicitate principem illum hominem Adamum superavit. nam Adamum orta de costa materque princeps hominum Eva voluptate, quam ex arboribus Edenis percipiebat, privavit: haec maritum vitaeque socium ad dexte-

ἡ δὲ τὸν συνοικήσαντα καὶ κοινωνὸν τοῦ βίου
τῆς δεξιᾶς πεποίηκε καὶ σωζομένης μοίρας.
κἀνταῦθα μόνον τῷ Δαβὶδ ἤχησε παρὰ μέλος
ἡ καὶ τοὺς λίθους θέλγουσα καλλιμελὴς κινύρα.
ἡ μὲν γὰρ ἀποφαίνεται θεῷ ψαλαττομένη
"τοὺς μονοτρόπους ὁ θεὸς ἐν οἴκῳ κατοικίζει·"
ἐνταῦθα δὲ συνέδραμε κόπρος εὐώδει μύρῳ
καὶ ῥόδον ἐρυθρόφυλλον ἀχέρδῳ κεντροφόρῳ
C καὶ χρῶμα χολοβάφινον βάμματι πορφυρέῳ.
ἡ μὲν γὰρ πάσαις ἀρεταῖς κατάφυτον ἦν ἄλσος
καὶ κῆπος χαριτόβλαστος καὶ δένδρον εὐκοσμίας,
ὁ δὲ χωρίον ἄντικρυς τριβόλων δυσσεβείας
καὶ βάτος ἀκανθοβελὴς καὶ ῥάμνος σπλαγχνοτύπος.
καὶ γὰρ ἀπεχθανόμενος ταῖς ἱερογραφίαις
καὶ τοῖς ἀπεικονίσμασι Χριστοῦ καὶ τῶν μαρτύρων,
τοὺς ἀπονέμοντας αὐτοῖς τὸ κατὰ σχέσιν σέβας
ἀνυποφόροις καὶ δειναῖς στρεβλώσεσιν ἐκάκου.
ἀλλὰ καὶ τοὺς ἐκλάμποντας τῷ βίῳ καὶ τῷ λόγῳ
D ὑπὲρ ἀστέρων καλλονάς, ὑπὲρ ἡλίου σέλας,
τὸν ἱερὸν Θεόδωρον, τὸν θεῖον Θεοφάνην,
ἐπιφοραῖς βαρυαλγῶν βασάνων ἐκπιέσας,
καὶ φλοῦν τοῦ σώματος αὐτῶν βουνεύροις ἐκλεπίσας,
ἔστιξε καὶ τὰ μέτωπα μέχρις αὐτῶν ὀφρύων,
καὶ τύπους ἐνεχάραξεν αὐτοῖς ἰαμβοπλόκους.

4764 κατὰ M   v. 4766 om M   v. 4777 om R   4778 κακώσεσιν ἐστρέβλου A   4782 βασανίσας M   v. 4783 om M

ram partem eorum traduxit qui salutem consequuntur. et quidem hic tantum suavis illa cithara Davidis, ipsa quoque saxa demulcens, quiddam absonum cecinit, cum ait deum unius et eiusdem indolis atque morum homines in unum domicilium collocare. nam hic stercus et unguentum fragrans, rosa rubens et acherdus spinosa, tinctura bilis et purpurae coiverunt. Theodora enim lucus erat cunctis virtutibus ornatus, consitus gratiis hortus, arbor omnis elegantiae modestiaeque. Theophilus e diverso ager erat merae impietatis tribulis refertus, rubus asper, laedens viscera rhamnus. nam sacris literis et Christi martyrumque imaginibus infestus, eos omnes intolerantibus et gravissimis tormentis excruciabat qui cultum eis religiose deferrent. praeterea sanctis viris Theodoro ac Theophane, qui tam vita quam doctrina supra siderum pulchritudinem et solis iubar lucebant, tristissimis cruciatibus afflictis et flagris excoriatis, etiam vultus ad ipsa usque supercilia notis deformavit, et versus iambicos ipsis impressit; quas illi notas fronti inustas non aliter gestabant atque coronam unionibus et gemmis exornatam.

Οὗτοι μὲν οὖν τὴν κέντησιν τὴν ἐπιμετωπίαν
ὡς στέφος καταμάργαρον λιθολαμπὲς ἐφόρουν·
ὁ κράτωρ δὲ Θεόφιλος περὶ μὲν τὰς εἰκόνας
καὶ τὰ στηλογραφήματα τῶν ἱερῶν προσώπων
ἄγαν σκαιῶς καὶ πονηρῶς καὶ κακοτρόπως εἶχεν,
τὰ δ' ἄλλα καὶ λαμπρόψυχος ἦν καὶ μεγαλογνώμων
καὶ τοῦ δικαίου φροντιστὴς καὶ τῶν ἐνδίκων νόμων.
σημεῖον ἐναργέστατον τῆς μεγαλοπρεπείας
ὀργάνων φιλοτέχνησις τῶν χρυσιοκροτήτων, P 98
ἐξ ὧν ἀναπεμπόμενον ἐν μηχανῇ τὸ πνεῦμα
τὰς εὐκελάδους καὶ τερπνὰς ἀπήχει μελουργίας
καὶ λιγυρὸν μουσίκευμα γάργαλον ἀπορρέον.
σὺν τούτοις τὰ κατάχρυσα καὶ τηλαυγοῦντα δένδρα,
χρυσίου τῇ χλωρότητι πυρράζοντα μακρόθεν,
ἐν οἷς στρουθία μουσικὰ χρυσότευκτα καθῆστο,
ὡς ἐν πετάλοις πίτυος ἢ πεύκης ἀκροκόμου,
ἐκ μηχανῆς ἐκχέοντα λάλημα μελιτόεν.
οὕτως ἀνθρώπων τεχνουργοὶ πολυμηχάνων χεῖρες
ἀντιφερίζουσι μικροῦ τῇ ψυχωτρίᾳ φύσει.
Εἰ δέ τις ἀκριβέστερον καταμαθεῖν θελήσει B
τὸ μεγαλόψυχον αὐτοῦ καὶ τὴν φιλοκοσμίαν,
εἰς τοὺς θαλασσογείτονας βλεψάτω περιβόλους,
οἳ τὴν λαμπρὰν ἐν πόλεσι περιφρουροῦσι πόλιν.
χειμὼν γὰρ ἄγριός ποτε κατενεχθεὶς βαρύθρους
τὴν ἅλμην ἐκρυστάλλωσεν ἕως ἀπλέτου βάθους

4802 ἐκπέμποντα M   4809 κατασκεθεὶς R. an καταχεθείς?

Tam impie autem immaniter et maligne imperator Theophilus erga imagines et sacrorum vultuum picturas, in statuis expressas, affectus caetera generosus erat, praeclari iudicii, iuris et aequi sanctarumque legum observantissimus. magnificentiam viri licet ex hoc evidentissimo indicio colligas, quod artem excogitavit condendi organa musica, de quibus machina quadam spiritus emissus iucundos ac suaviter resonantes cantus efficit. adde his arbores illas aureas lateque splendentes, in quibus aviculae musicae ex auro factae considebant tanquam in pinus aut procerae piceae ramis, itidem machinae cuiusdam opera melleum carmen modulantes. nimirum ita mortalium varia excogitantium artificiosae manus parum abest quin ipsa cum natura, res vivas producente, in certamen descendant. quodsi quis accuratius cognoscere cupit Theophili magnificentiam et in rebus ornandis studium, is mihi velim muros illos mari vicinos intueatur.

Accidit enim ipso imperante ut hiems saeva mare cogeret in glaciem ad profunditatem sane immensam, humidumque illud elementum lapidis ad duritiem fluxione prorsus adempta redigeret, frigore nimirum

καὶ τὴν ὑγρὰν ἐλίθωσε πήξας αὐτῆς τὴν φύσιν,
καὶ θάλασσαν ὠστράκωσε δυσάνεμος ψυχρία.
μετὰ μικρὸν δ' αὐγάσασαι θερμότητες ἡλίου
τὸ συνεχὲς διέσπασαν τῆς λιθωθείσης ἅλμης,
κἀντεῦθεν ἀπερράγησαν κρυστάλλων ἀποσπάδες,
καὶ λίθους ἁμαξοπληθεῖς νικῶσαι τῷ μεγέθει.
C *εἶπέ τις ἂν ὡς κορυφαὶ βαθυφαράγγων λόφων*
ὑψόθεν ἀποσπώμεναι κυλίνδονται σὺν κτύπῳ,
ἢ λίθοι ῥιψεπάλξιδες πέτονται τειχοσεῖσται,
περιρροιζοῦντες τὸν λεπτὸν ἀέρα τῇ κινήσει.
καὶ τοίνυν καταβαίνουσαι πελάγους ἐκ Ποντίου
προσήρασσον τοῖς τείχεσι τοῖς παραιγιαλίοις
καὶ συνεδόνουν τὰ στερρὰ τῶν πυργοδομημάτων.
ὧνπερ ἰδὼν ὁ βασιλεὺς τὰς καταμωλωπίσεις
καὶ τοὺς πυκνοὺς τραυματισμοὺς ἢ μᾶλλον παραλύσεις,
συγκατεσείσθη τὴν ψυχὴν ἐπὶ τῷ γεγονότι,
καὶ θέλων ἐπιδείξασθαι φιλοτιμίας πλοῦτον
ὡς κάχληκας ἐκένωσεν ἀχρείους τὸ χρυσίον,
D *καὶ τὸ σαθρὸν ἐνίσχυσε καὶ τὸ πεσὸν ἐγείρας*
τοῖς τείχεσιν ἐπέγραψε τὴν κλῆσιν τὴν ἰδίαν.
Καὶ ταῦτα μὲν κατάξια γλώσσης ὑμνητηρίας·
ἐγὼ δ' ὑπερεκπλήττομαι τὴν δικαιοπραγίαν
καὶ τὴν ἀπροσωπόληπτον περὶ τὰς κρίσεις γνώμην.
καὶ δὴ παρατιθέσθω μοι δεῖγμα μικρὸν τοῦ τρόπου,
ὡς ἐκ θαλάττης κύαθος, ὡς ἀπὸ πίθου γεῦμα,

4819 *πέτανται* M

ex acribus ventorum flatibus orto mare totum ceu testaceum efficiente. non multo post, radiorum solarium calores ad saxi formam indurati maris continuitatem solvebant; unde fiebat ut glaciei fragmina reliquo a corpore avellerentur, quae lapides etiam plaustrales magnitudine superabant. non inepte dixerit aliquis vertices quasi quosdam collium, profundis convallibus imminentium, de sublimi avulsos ingenti cum strepitu volutatos fuisse; vel lapides propugnaculorum et murorum subversores ita volasse, ut motu suo strepitum in aëre tenero excitarent. haec ergo fragmina, e medio mari delata, muros litori vicinos feriebant et validas etiam turres succutiebant. imperator moenium turriumque rimis, quae laesae ruptaeque fuerant, conspectis animo commotus est propter id quod accidisset. simul declarare volens magnificentiam suam, aurum ea copia profundit quasi silices inutiles expenderet; atque hoc modo stabilitis iis quae vetustate labascerent, et excitatis quae collapsa fuerant, suum muris nomen inscripsit.

Et haec sane praedicatione digna fuerunt. iustitiam vero Theophili et animum in iudiciis nullam rationem personarum habentem non possum

βραχύ τε σπινθηράκισμα καμίνου πολυξύλου.
γυνὴ προσῆλθε πενιχρὰ τούτῳ τῷ Θεοφίλῳ
καταβοῶσα Πετρωνᾶ τινὸς μεγαλοτίμου·
βίγλας γὰρ ἦν δρουγγάριος, εἴποιεν ἂν Ῥωμαῖοι,
καὶ ῥιζωμάτων τῶν αὐτῶν ἐξέφυ Θεοφίλῳ.
ἐφώνει γοῦν περιπαθῶς καὶ δάκρυον κατῆγεν, P 99
ἀμύντορα τὸν κράτορα γενέσθαι λιπαροῦσα
καὶ τὰς παλάμας ἐπισχεῖν τὰς γιγαντοπαλάμους
τοῦ Πετρωνᾶ, λυττήσαντος ἐκ φιλαδίκου γνώμης
καὶ τὸ λυπρὸν δωμάτιον αὐτῆς ἐπισκοτοῦντος,
ὅπως μὴ φέρειν ἔχουσα τὸ τηλικοῦτον σκότος
ἀνέμων, ὅ φασι, πνοαῖς τὸν οἶκον καταλείπῃ.
ἤκουσε ταῦθ' ὁ βασιλεύς, ἐζήτησε τὸ πρᾶγμα,
ἔγνω τὸ φιλομόχθηρον τοῦ καταβοωμένου.
καὶ τὸν μὲν οἶκον κατασπᾷ μέχρι καὶ θεμελίων
τὸν νύκτα χειροποίητον τῇ γυναικὶ ποιοῦντα,
αὐτὸν δὲ μέσον ἀγαγὼν τῆς λεωφόρου τρίβου
ὠμοῖς βουνεύροις τὰς αὐτοῦ καταμελαίνει σάρκας. B
Τοῦτο μικρὸν τεκμήριον ψυχῆς τῆς Θεοφίλου,
δυνάμενον κατάδηλα καὶ τὰ λοιπὰ ποιῆσαι·
καὶ γὰρ καὶ Βόχχορίς, φασίν, ὁ κράτωρ Αἰγυπτίων
ἀπὸ ψελλίσματος ἑνὸς ἀρτιγενοῦς νηπίου
τὴν παλαιτέραν ἁπασῶν διάλεκτον ἐπέγνω.

4857 βρεφίου M   4858 παλαιώτριαν πασῶν M

non summopere admirari. ac libet hic ipsius hac in parte indolis indicium quoddam adiicere, quod sit instar hausti de mari cyathi vel gustus e dolio vel exiguae scintillae ignis magni. accedebat aliquando Theophilum paupercula, Petronam magnae dignitatis virum accusans. erat enim is biglae, ceu Romani loquuntur, drungarius, et eodem cum Theophilo genere natus. dolenter illa quiritare, lacrimas fundere, opem imperatoris implorare, giganteas ut manus Petronae coërceret, qui per summam iniuriam in se debaccharetur suaeque domunculae, satis per se tenuis, luminibus officeret, ne tandem nimia cogente caligine domum solam desertamque ventis, quod aiunt, perflandam invita relinqueret. his auditis imperator de re inquirit, accusati nequitiam cognoscit, ac aedes quidem illas, quae lumina domui mulieris obstruebant, ad ipsa usque fundamenta demolitur: Petronam vero publicam in viam deductum flagris caedi iussit.

Hoc tibi argumentum animi huius imperatoris, exiguum quidem illud, esto; de quo tamen aestimare caetera non difficulter possis. nam et Bocchoris, uti perhibent historiarum scriptores, Aegyptiorum rex, de balba quadam infantis voce linguarum omnium antiquissimam agnoscere potuit. iam quod liberalem eius animum attinet in contemnendis

τὸ δ' ἐλευθεροκάρδιον πρὸς τὰς αἰσχροκερδείας
καὶ τὸ μὴ βούλεσθαι χρυσὸν ἔχειν ἐκ καπηλείας
ἰσχύσουσι πιστώσασθαι τὰ μέλλοντα ῥηθῆναι.
Ἔτυχεν ἄνωθεν ἑστὼς τῶν βασιλείων οἴκων,
ἔνθα γλυφεῖσα δεξιῶς μάρμαρος χιονόχρους
βοῦν μεγαλόπλευρον τυποῖ, καὶ λέοντα μορφάζει
ἐπιπηδῶντα τῇ βοῒ καὶ πίνοντα τοῦ φόνου·
C καὶ γέγονε τὰ γλύμματα ταῦτα τῷ τόπῳ κλῆσις.
ἐνταῦθα γοῦν ὁ βασιλεὺς ἑστὼς καὶ τῇ θαλάσσῃ
τοὺς ὀφθαλμοὺς ἐπαφεὶς (γαλήνη γὰρ ἐγέλα)
καὶ ταῖς ἐκεῖθεν χάρισι ψυχαγωγῶν τὰς ὄψεις
πλοῖον ὁρᾷ κατάφορτον τῇ χέρσῳ πλησιάζον.
ἐπέπνει μὲν ὁ ζέφυρος πνοαῖς ἁπαλοπνόοις,
ἐτέτατο τὰ λαίφη δὲ κολπούμενα τὸ πνεῦμα,
καὶ πρὸς λιμένας ἤπειγον τὸ σκάφος εὐγαλήνους.
εἴκασε δ' ἄν τις καὶ μακρὰν ἀφεστηκὼς τῆς ἅλμης
τοῦ πλοίου τὸ κατάφορτον τοῦ προσορμιζομένου·
ἐπὶ γὰρ τρίτον τῆς νηὸς τῆς φορτηγοῦ ζωστῆρα
τὴν θάλασσαν ἀνέθλιβε τῶν ἀγωγίμων βάρος.
ὡς ἔβλεψεν, ἐπύθετο τίς καὶ τίνος ἡ σκάφη.
D "τῆς βασιλίδος" ἤκουσεν "ἡ ναῦς καὶ τὰ φορτία."
καὶ λύπην μὲν δακέθυμον ἔσχε κατὰ καρδίας,
μεταστειλάμενος δ' αὐτὴν καὶ γνοὺς περὶ τοῦ πλοίου
"αἲ αἲ βασίλισσα" φησίν, "εἰς οἷον φθάνω βίον;
οἵαν ἀνθ' οἵας εὐτυχοῦς ἀντηλλαξάμην τύχην!

4861 ἰσχύουσι AM 4863 γλυφεῖσαν AR 4872 ἐπέπτατο AR
4873 εὐγαλήνας A 4878 τινων M 4879 τὸ φορτίον M
4883 τύχης A

turpibus lucris, et quod aurum corradere institorio quodam quaestu noluerit, ex iis quae commemoraturi sumus colligi satis liquido poterit.

Forte stabat imperator sublimi loco in regia, ubi nivei coloris marmor ingeniose sculptum vaccam ingentium laterum repraesentat, et leonem in vaccam insilientem eamque cupide necantem; ex qua sculptura nomen loco datum est. hic ergo stans imperator et oculos in mare dirigens, quod caelum sudum esset ipseque maris intuitu sese recreare vellet, navim mercibus oneratam appellere videt, molli vento australi flante ac navigium plenis velis tranquillum in portum deferente. poterat autem aliquis etiam longo ex intervallo existimare navim appellentem ingens onus vehere: nam mercium pondus ita navim deprimebat ut e mari tertium modo cingulum exstaret. hac imperator navi conspecta, quaenam et cuius esset, interrogat. ubi tam navim quam merces imperatricis esse cognovit, animi dolore compresso et arcessita coniuge "heu mea" inquit "imperatrix, quo res meae redactae sunt! heu qua-

φορτίων ἀπεμπολητὴς ὁ τῶν Ῥωμαίων κράτωρ
καὶ κάπηλος γεγένημαι φεῦ τῶν ἐμπόρων χείρων."
καὶ ταῦτ' εἰπὼν ἐκέλευσε γνάθοις πυρὸς παμφάγου
τὴν ναῦν τὴν μυριόφορτον αὐτόφορτον βρωθῆναι.
Οὗτος αὐτὸς ὁ βασιλεὺς Μεθόδιον τὸν πάνυ
θέμενος ὑπερόριον ἔν τινι νησιδίῳ
εἰς σπήλαιον κατέκλεισεν ὡς εἰς μνημεῖον νέκυν,
ὡς ἐν ὀστράκῳ μάργαρον, ὡς ἐν ἀκάνθῃ ῥόδον,
καὶ σὺν αὐτῷ καὶ μετ' αὐτοῦ δύο λῃστὰς κακούργους. P 100
τούτων θατέρου τῶν λῃστῶν τὸν βίον ἐκλιπόντος
καὶ ῥεύσαντος ἐκ φυσικῆς ἀφύκτου κατ' ἀνάγκης
τὴν δύσοσμον ἀποφορὰν καὶ τὴν ἐκεῖθεν λύμην
ὁ καρτερόνους ἀθλητὴς ἐκεῖνος ἐκαρτέρει,
ἣν οὐδ' αὐτὸς ἂν ἴσχυσεν ὑπενεγκεῖν ἀδάμας.
ὁ δ' ἕτερος ἀπολυθεὶς οὐκ ἤθελεν ἐκβῆναι,
ἀλλ' ἐν αὐτῷ τῷ ζοφερῷ σπηλαίῳ καταμείνας
καὶ ζηλωτὴς γενόμενος ἐνθέου πολιτείας
ὡς ἥλιος ἀπήστραψεν ἀκτῖνας σεμνοῦ βίου.
ἔτι δ' ἐμφρούρου μένοντος τοῦ θείου Μεθοδίου
οἱ κεντηθέντες τὰ σεπτὰ πρόσωπα θεηγόροι,
ὧνπερ καὶ μνήμην ἔθετο φθάσας ὁ λόγος ἤδη, B
βιαίως ἐλαυνόμενοι πρὸς τὴν ὑπερορίαν,
ἄνδρα τινὰ σαγηνευτὴν ἰχθυοθήραν ἄγραν
εὑρόντες δικτυεύοντα γράφουσι τῷ δικαίῳ
ὀλιγοσύλλαβον γραφὴν ἐν ἰαμβείῳ μέτρῳ,

4894 ῥεύσαντα μὲν φυσικὰ M   4903 μέτωπα AR

lem fortunam cum opulentissima commutavi! nimirum iam Romanorum imperator merces venales habeo; et ipsemet (heu) institor factus sum, negotiatoribus etiam inferior." his dictis navim una cum mercibus, quarum immensa erat copia, concremari iussit.

Idem Theophilus imperator virum praestantissimum Methodium quandam in insulam relegatum speluncae cadaveris instar inclusit, tanquam unionem in concham, rosam inter spinas. praeterea duos ei latrones adiunxit, quorum altero extincto et iam marcescente naturali quadam necessitate, foedum illum odorem et pestiferum aërem tolerantissimus athletes animo tulit aequissimo, quem ne adamas quidem sustinere potuisset. alter libertate donatus exire noluit, sed intra speluncam illam caliginosam manens divinaeque vivendi rationis aemulator factus solis instar vitae religiosae radios sparsit. dum adhuc Methodius in hoc carcere detinetur, homines illi rerum divinarum periti quos notis in vultu foedatos fuisse diximus, per vim solum vertere coacti, piscatore

ἣν οὐ καλὸν νενομικὼς κατά τι παραφθεῖραι
αὐτοὺς ἐκείνους τῇ γραφῇ δίδωμι τοὺς ἰάμβους.
"τῷ ζῶντι νεκρῷ καὶ νεκρῷ ζωηφόρῳ,
ναίοντι τὴν γῆν καὶ πατοῦντι τὸν πόλον,
γραπτοὶ γράφουσι δέσμιοι τῷ δεσμίῳ."
πρὸς οὓς αὐτὸς ἀντιγραφὴν ἀντιχαράξας γράφει
"τοὺς ταῖς βίβλοισιν οὐρανῶν κλησιγράφους
quendi usurpat, vatis verbum implet, dei testimonium coram regibus exponens nec minas ullas eo nomine reformidans. sic dei metus longe timorem abigit a viris potentia praeditis et rerum potientibus incussum. itaque Nicolaus grege suo et cathedra pellitur et solum vertere iubetur: substituitur autem ipsius loco quidam alius, sacrarum rerum longe peritissimus, qui a teneris unguiculis et aetate prima solitariam in Olympo Mysiae monte vitam egerat et dono vaticinandi praeditus erat. hic de mandato divino ecclesiam ad unitatem reduxit, multipliciterque distractam ac in partes divisam propter delictum Leonis quartas ad nuptias progressi.

Cum autem Leo doctissimus inter imperatores morbo correptus periculum vitae minitante, administrato iam per viginti sex annos Romanorum imperio, mortem imminere sibi animadverteret, Alexandrum fratrem et Constantinum filium imperatores creat, hoc solo in extremis re-

"βλέπω καὶ τὸν Ἀλέξανδρον ὡς κακοδότην χρόνον
κατὰ τρισκαίδεκα μηνῶν," ἄντικρυς τοῦτο λέγων,
ὅτι τοσοῦτον ἔσσεται τὸ κράτος Ἀλεξάνδρου.
Καὶ γοῦν οὐ διαπέπτωκεν ὁ λόγος, οὐδ᾽ ἐσφάλη.
ὁ γὰρ Ἀλέξανδρος τρυφαῖς ἐσχολακὼς καὶ πότοις C
καὶ μόνον τὸν γαργαλισμὸν τοῦ σώματος φροντίσας,
ἄλλο δ᾽ οὐδὲν κατάξιον τοῦ τηλικούτου κράτους
οὐ δράσας, οὐ φθεγξάμενος, οὐ σχὼν κατὰ καρδίαν,
ὡς ἄνθος ἔρρευσεν ὑγρὸν ἐκμαρανθὲν ἡλίῳ,
καὶ τάχιον ἐξέλιπε νόσοις τακεὶς φθινάσι.
καὶ Κωνσταντῖνος γίνεται μόναρχος μονοκράτωρ,
ἔτι παιδίσκος ἁπαλὸς καὶ τρυφερὸς ὑπάρχων
καὶ βασιλείας κυβερνᾶν τὸ σκάφος οὔπω σθένων·
τῆς γὰρ ἡλικιώσεως ἕβδομον ἦγεν ἔτος.
ὃ καὶ πολλῶν παραίτιον γέγονε κακοτήτων,
καὶ θλίψεων ἐπότισεν ἅλμην τὸν βασιλέα,
εἰ καὶ τὸ τέλος αἴσιον τῶν πειρασμῶν ἀπέβη.
ὥσπερ γὰρ νεομόσχευτον ἀρτίφυτον δενδρίον, D
μήτε χειμῶνα κρυερὸν ὑπενεγκεῖν ἰσχύον
μήτε πνευμάτων προσβολὰς ἀγρίων δυσανέμων
μήτε ῥαγδαίους ὑετοὺς μήτε καυσώδη θάλψιν,
μὴ χαλαζῶν σφαιρώματα μηδὲ κρυστάλλου πῆξιν,
πνοαί ποθεν βαρυηχεῖς τινὲς ἐκφυσηθεῖσαι
ἢ χαλαζῶν πετρώματα νεφόθεν δισκευθέντα

5414 μετὰ M 5415 ἔσεσθαι M 5416 οὐδὲ σφάλλει M 5417 ἠσχοληκὼς M 5419 βασιλείου M 5420 καρδίας AR 5421 οἰκτρὸν M 5425 οὔπω τὸ σκάφος AM 5427 γίνεται M 5431 χειμῶνος M 5434 μήτε MR 5336 ποθὲν ἐκδισκευθέντα R

spirationibus iamque eo animam agente pronuntiato, "Alexandrum etiam (proh parcum malignumque tempus) post tredecim menses exactos video."
Volebat autem significare regnum Alexandri tantillum temporis duraturum; quae sane Leonis vox minime vana aut fallax fuit. nam Alexander voluptatibus avocatus et compotationibus nimium indulgens et corporis tantum titillationibus deditus, nec ulla re tanto imperio digna vel opere vel verbis perfecta vel animo denique concepta, ceu flos solis efficacitate marcescens exstinctus est et a morbis celeriter absumptus. itaque solus mortuo Leone imperium Constantinus obtinuit, aetatis adhuc tenerae puer, qui imperii gubernationi parum aptus esset, annis immaturus, annos scilicet id temporis septem modo natus; quae res multis etiam malis occasionem praebuit mirificeque imperatorem afflixit, tamen etsi felicem exitum procedente tempore habuerit. quemadmodum enim arbor recens plantata, quae propter teneras adhuc radices frigi-

χειμάζουσι καὶ κάμπτουσι καὶ κλίνουσιν εἰς γόνυ,
καὶ καταμωλωπίζουσιν αὐτοῦ τὴν τρυφερίαν,
καὶ πάντοθεν προσβάλλουσιν ὡς ἐν πολιορκίᾳ,
φιλονεικοῦσαι τὸ φυτὸν προθέλυμνον ἐκτρῖψαι.
ἂν δὲ τὰς ζάλας δυνηθῇ φυγεῖν τὰς κακοπνόους
καὶ τὸν χειμῶνα τὸν βαρὺν καὶ τὴν ἐκεῖθεν βίαν,
P 111 *γίνεται δοκιμώτερον ἅτε πολλὰ παλαῖσαν*
καὶ χειμασθὲν πικροποιοῖς καὶ κακωτρίαις ὥραις·
φυτὸν γὰρ ἀνεμοτρεφὲς καὶ γυμνασθὲν ἀνέμοις
πολύ τι τὸ στερέμνιον, ὥς φασί, φύσει φέρει.
οὕτω κἀκεῖνος ὁ βραχὺς τὴν ἡλικίαν ἄναξ,
ὁ παῖς ὁ πορφυρόφυτος Λέοντος Κωνσταντῖνος
μόλις ποτὲ μετὰ μακροὺς ἡλίου περιδρόμους
τῶν συμφορῶν ἀποφυγὼν τὰς ἀλλεπαλληλίας
καὶ πειρασμῶν ἐπαγωγὰς καὶ θλίψεις δακεθύμους,
σύνεσιν ἐκαρπώσατο πολλῷ παγιωτέραν,
ὥσπερ ναυβάτης κυκηθεὶς πολυκυμίας ζάλαις
καὶ μόλις εἰς εὐγάληνον λιμένα καταντήσας.
πρῶτα μὲν γὰρ ὁ καρτερὸς ἐκεῖνος Κωνσταντῖνος,
B *ὃν σχεῖν γενέτην λέγουσιν Ἀνδρόνικον τὸν Δοῦκαν,*
χεῖρα πολλὴν συναγαγὼν εὔοπλον ἐσταλμένην
ἀθρόον ἐπιτίθεται τῷ πορφυροβλαστήτῳ,
τῆς νηπιότητος αὐτοῦ πάντως καταφρονήσας.
ἀλλὰ ψευδής, ὡς ὁ Δαβὶδ ψάλλει, πρὸς σωτηρίαν
ἵππος ὑψαύχην εὔσκαρθμος πτηνόπους φρυακτίας.

5440 τῷ φυτῷ A 5445 αὐτὸ M 5449 μικροὺς R 5450 ὑπενεγκὼν M 5453 κυκωθεὶς R πολυκυμίαις MR 5461 φρυγματιας AM

dam hiemem perferre nondum potest, neque ventorum saevissimos impetus neque imbres vehementiores nec aestus fervidos nec grandinem tempestatesque volantes tolerare, si ab ortis alicunde ventis aut grandine vexata nihilominus vim eorum graviorem effugiat et evadat illaesa, multo fit exploratior, cum arbor a ventis et sole exercita plurimum a natura roboris habere perhibeatur; sic etiam Constantinus hic, Leonis filius, in prima pueritia consecutus imperium, posteaquam vix multis elapsis annis de continuis calamitatibus aerumnis afflictionibus evasisset, prudentiam longe solidiorem ceu fructum quendam nactus est, instar nautae gravibus procellis iactati et vix tandem tranquillum in portum delati. nam primum fortissimus ille Constantinus, quem natum aiunt Andronico Duca patre, magna manu coacta praeclare armatorum hominum imperatorem subito invasit, puerili nimirum eius aetate contempta. verum enimvero fallax res est, uti Davides canit, ad salutem equus ferox, agilis, volucer, fremens. quippe Constantinus etiam de sella eque-

κἀκεῖνος οὖν ἐκσφαιρισθεὶς τῆς ἕδρας τῆς ἱππείας
πίπτει πρὸς γῆν κατενεχθείς, καὶ παρευθὺ τὸ ξίφος
γεύεται τούτου τῶν σαρκῶν καὶ βάπτεται τῷ φόνῳ.
ἄρτι δὲ τούτου τοῦ δεινοῦ χειμῶνος παρελθόντος
ἕτερος ἐπεγείρεται βαρύτερος ἐκείνου,
πολλῷ τοῦ πρὶν πικρότερος καὶ τῆς προτέρας ζάλης.
ὁ γὰρ Φωκᾶς ὁ μάγιστρος (ὄνομα τούτῳ Λέων), C
ἀνὴρ μεγέθει σώματος καὶ ῥώμῃ διαπρέπων
καὶ πᾶσαν τότε πιστευθεὶς Ῥωμαίων στρατάρχίαν,
ἰδὼν προσλαμβανόμενον παρὰ τοῦ βασιλέως
τὸν γέροντα τὸν Ῥωμανὸν τὸν ἀπὸ τῆς Λακάπης,
τοῦ ναυτικοῦ δρουγγάριον ὄντα τὸ τηνικαῦτα,
καὶ πάλαι μὲν τὴν ἔκφυλον ὠδίνων τυραννίδα
καὶ σκευωρῶν καθ' ἑαυτὸν τὰ τῆς ἀποστασίας,
ὅμως ἐπέχων τὴν ὁρμὴν (οὐ γὰρ καιρὸς ἐκάλει),
τότε καιροῦ δραξάμενος, ὡς ᾤετο, προσφόρου
ἐξέρρηξε τοῦ τοκετοῦ τὸ βάρος τοῦ δυστόκου
κἀκ τῆς γαστρὸς τὴν ἔχιδναν ἐξήνεγκεν εἰς φάος,
καὶ τρέφων πάλαι παρ' αὐτῷ σπινθῆρα δυσμενείας
τότε πυρὰν ἐξέκαυσε καμίνου πυριβρόμου.
καὶ τοίνυν προσποιούμενος ὑπὲρ τοῦ βασιλέως D
πάντα σπουδάζειν καὶ ποιεῖν καὶ συμφερόντως τούτῳ
ὡς δὴ παρὰ τοῦ Ῥωμανοῦ καταστρατηγηθέντι
ὁπλίζεται μετὰ στρατοῦ ῥυέντος πολλαχόθεν,
ἐκ Λυκαόνων, ἐκ Θρᾳκῶν, ἐκ Κόλχων, ἐξ Ἰβήρων,

5462 *γὰρ* M 5466 *ὑπαγείρεται* M 5468 *μαΐστρος* A *τούτου* A 5475 *σκαιωρῶν* A 5479 *ἐξήγαγεν* A 5484 *καταστρατηγητοῦντος* M 5485 *πανταχόθεν* M

stri excussus in terram praeceps corruit, et gladio protinus confossus est. ubi vix gravis illa tempestas praeteriisset, alia longe gravior exorta fuit. etenim Leo Phocas, dignitate magister, vir proceritate corporis ac robore insignis, cui Romani exercitus omnes erant crediti, cum receptum ab imperatore videret Romanum Lacapenum seniorem, rei navalis drungarium, iam olim tyrannidem parturiens, impetuque propterea represso quod necdum se offerret occasio, tum demum opportunitatem nactus, uti quidem arbitrabatur, commodam fetum illum suum in lucem edidit et viperam enixus est; quique iamdiu scintillam animi male affecti apud se nutrierat, tunc rogum accendit camini igne stridentis. etenim prae se ferens omnia nomine imperatoris ab se suscipi et eius ad utilitatem referri, qui a Romano artificiose ac astute circumscriptus esset, copias undique coegit et instruxit, Lycaonia, Thracia, Colchide, Iberia,

ἐκ Παμφυλίων, ἐκ Μυσῶν, ἐκ Σύρων, ἐκ Κιλίκων,
καὶ φάλαγγας συνηθροικὼς ὡσεὶ θαλάσσης ψάμμον,
ἄνδρας γενναίους μαχητάς, πάντας ἀγκυλοτόξους,
πῦρ ἐν πολέμοις πνέοντας, ἄνδρας ἀγχεσιμάχους,
καταστρατοπεδεύεται παρὰ τῇ Χρυσοπόλει,
τῆς Βυζαντίων πόλεως κατέναντι κειμένῃ,
ἣν οὐρανόπολιν εἰπὼν οὐκ ἄν τις διαμάρτῃ.
P 112 καὶ πίμπλησιν ἀρεϊκῶν ἀνδρῶν τὰς πεδιάδας,
καὶ πᾶσαν γῆν κατάχαλκον. ἀπήστραπτον αἱ λόγχαι,
ἀνέλαμπον αἱ κόρυθες, ἀσπίδες ἐπατάγουν,
ἀὴρ ἐπυραυγίζετο ταῖς ἐπιδορατίσιν.
ἦσαν ἐκεῖ χρυσάσπιδες, ἦσαν φαρετροφόροι,
εὔιπποι, χαλκοχίτωνες, πάντες σιδηροφόροι.
ἔφριξαν ἂν καὶ γίγαντες παρεμβολὴν τοιαύτην.
αὐτὸς μὲν οὖν βασιλειῶν καὶ κατὰ τοῦ κρατοῦντος
πάντα τυρεύων καὶ ποιῶν οὐκ ἔλαθεν εἰς τέλος·
τότε δὲ τέως πρόφασιν τὸν Ῥωμανὸν εὑρίσκων
προσεποιεῖτο κατ' αὐτοῦ τοῦ Ῥωμανοῦ στρατεύειν
καὶ τηλικαύτην συγκινεῖν φάλαγγα στρατευσίμην,
B προσράπτων τὴν ἀλωπεκῆν ἄγαν κακομηχάνως·
οὐ πάντῃ γὰρ τὴν λεοντῆν εἶχεν ἐφικνουμένην.
ὁ γέρων γὰρ ὁ Ῥωμανὸς τοῦ ναυτικοῦ κατάρχων
κἀκεῖθεν περικείμενος ἰσχὺν οὐ τὴν τυχοῦσαν,
ἰδὼν περιφερόμενον τῇδε κἀκεῖ τὸ κράτος

5488 ὅσον M 5489 γ. ὁπλίτας ἄνδρας ἀγκ. A 5492 Βυζαντίδος M κειμένης M 5493 εἰπεῖν A 5495 καταχαλκοῖ? 5496 ὑπέλαμπον M 6505 τηνικαῦτα M 5509 κἀντεῦθεν M

Pamphylia, Mysia, Syria, Cilicia, numero maris arenas aequante, quo continebantur milites egregie strenui, armati praeclare, ignem in praeliis spirantes, viros pugna stataria praestantes. hinc ad Chrysopolim castra metatur, sitam e regione Cpolis (quanquam non peccaverit qui urbem illam Uranopolim, hoc est urbem caelestem, cognominaverit), et campos viris bellicosis replet. totum eius regionis solum ex hastarum aere fulgebat, galeae resplendebant, scuta sonum efficiebant, aër ab hastarum cuspidibus coruscabat. aderant milites scutati, aderant sagittarii, equites, loricati, universis ferrum gestantibus. vel ipsis gigantibus eiusmodi castra formidini fuissent. Leonem autem cupidum regni contra imperatorem omnia fuisse molitum obscurum esse demum haud potuit. id quidem temporis Romanum occasionis loco nactus adversus eum se bellum gerere simulabat, et copiis amplissimis instructus nefarie vulpinam assuebat, leonina pelle non prorsus ad omnia se extendente. quippe Romanus senior, classis praefectus ideoque non exigua potestate

καὶ κυμαινόμενον δεινῶς ὡς ναῦν ἀστατουμένην,
ἣν ἄελλαι χειμέριοι στρέφουσι καὶ δονοῦσι
καὶ καταιγίδες ἄγριοι καὶ στρόφοι πνευματώδεις,
καὶ τὰ Ῥωμαίων πίπτοντα φύρδην καὶ κακοπότμως
ἅτε χειρὶ κρατούμενα παιδίου νηπιάχου,
τοῦ κράτορος ὑπέρχεται προσπόλους καὶ προκοίτους,
οἵπερ καὶ μᾶλλον εὐνοεῖν ἐδόκουν τῷ κρατοῦντι,
καὶ κοινωσάμενος αὐτοῖς βουλὰς κρυφιωτέρας
καὶ συσκεψάμενος αὐτοῖς καὶ συνδολοπλοκήσας C
καὶ μηχανὰς παντοδαπὰς πορφύρων βαθυβούλους
ἐσχηματίζετο τολμᾶν βιαίαν τυραννίδα
καὶ πᾶσαν φέρειν καὶ πτεροῦν πρὸς τοῦτο στολαρχίαν,
ὡς θροῦν ἐντεῦθεν ἄγριον κακόθρουν κυματίαν
ἐπικτυπεῖν καὶ σμαραγεῖν κατὰ τῶν βασιλείων,
καὶ πάντας κατασείεσθαι τῷ κλύδωνι τοῦ δέους,
ἕως ἡ πάντα στρέφουσα παλίπνοια τοῦ βίου
προσώκειλε τὸν Ῥωμανὸν αὐλαῖς ταῖς τῶν ἀνάκτων
ὡς ἐν ἀγκάλαις γαληναῖς ὅρμων ἀλεξανέμων.
τοῖς πρωτοβούλοις γὰρ πεισθεὶς ἢ μᾶλλον ἐπιβούλοις
ὁ βασιλεὺς τὸν Ῥωμανὸν ὡς φίλον οἰκειοῦται
καὶ τῆς ζωῆς καὶ τῆς ἀρχῆς φύλακα καθιστάνει,
εἴποι τις ἂν οὐκ ἀφυῶς, ἀλλ' οὐδ' ἀχαριτώτως,
τροχίλον ὁ κροκόδειλος, ἢ πίννα τὸν καρκίνον. D
ὁ τοίνυν Λέων ὁ Φωκᾶς, οὗ πρότερον ἐμνήσθην,

5512 χειμέριαι R 5520 πορφύρας R 5521 βιαίως A
5524 ἐπικύπτειν M ἐπὶ AM 5526 παλίνπλοια R, καλίπνοια M
5532 ἀφυῶς οὐδ' ἂν M

praeditus, animadverso imperii statum hinc et illinc fluctuare ceu navim quam hibernae tempestates gravissimae succutiunt, adeoque res Romanas collabi misere uti quae in tenerae admodum aetatis manu sitae forent, in amicitiam eorum imperatoris ministrorum et cubiculariorum se insinuat, qui praecipua complecti benevolentia imperatorem viderentur. cum his communicatis occultis consiliis, reque deliberata et fraudulenter instructa, tyrannidem aperta vi moliri se simulabat et ad invasionem eius classem universam adducere, quo factum est ut rumor dirus in aulam deferretur et universi gravissimo terrore percellerentur, donec tandem rerum humanarum vicissitudo, quae omnia solet immutare, Romanum ad aulam imperatoris traduxit velut ad tranquillum quendam portum. nam imperator a praecipuis consiliariis suis vel potius insidiatoribus persuasus Romanum tanquam amicum suum ad familiaritatem admittit, eumque tam vitae quam imperii sui custodem ac defensorem renuntiat, crocodilus scilicet trochilum, pinna cancrum: nam ita non inepte nec ineleganter quis de hoc facto pronuntiaverit. itaque Leo Phocas,

τὸν Ῥωμανὸν κατάρχοντα μαθὼν τοῦ βασιλέως
καὶ φέροντα καὶ στρέφοντα πρὸς τὸ δοκοῦν ὡς δοῦλον
τὸν ἄνακτα τὸν ἁπαλὸν ὄρπηκα τῆς πορφύρας,
ἐσκήπτετο παθαίνεσθαι δῆθεν ὑπὲρ ἐκείνου
καὶ τὸν στρατὸν εἰς ἄμυναν ἄγειν εὐνοίας νόμῳ,
τὸ δ' ἀληθὲς εἰς ἑαυτὸν ἐφείλκετο τὸ κράτος.
ἀλλ' ὁ δρασσόμενος σοφοὺς ἐπὶ ταῖς πανουργίαις
καὶ στρέφων διαβούλια καὶ τὰ κρυπτὰ γινώσκων
τὰς μηχανὰς τοῦ Λέοντος εἰς τοὐναντίον τρέπει,
καὶ λύκος μάτην ἐγχανὼν ὁ Λέων ἐγνωρίσθη.
P 113 ταῖς γὰρ βουλαῖς τοῦ Ῥωμανοῦ πειθόμενος ὁ κράτωρ
γραφὴν ἐρυθροσήμαντον πρὸς τὸν στρατὸν ἐκπέμπει,
κατηγοροῦσαν τῷ Φωκᾷ πρόδηλον τυραννίδα,
τῷ Ῥωμανῷ δὲ τἀγαθὰ προσεπιμαρτυροῦσαν.
ἐντεῦθεν φύρσις τῷ στρατῷ κακόχαρτος καὶ ζάλη,
καὶ κολοιὸς ξενόπτερος ἦν ὁ Φωκᾶς ὁ Λέων·
τὴν γὰρ γραφὴν τοῦ κράτορος, οἶμαι, δυσωπηθέντες
ἔφυγον πάντες, ἔρημον τὸν ἄθλιον λιπόντες.
ζωγρεῖται τοίνυν ὁ Φωκᾶς καὶ σβέννυται τὰς κόρας
καὶ λύχνους τοὺς τῶν ὀφθαλμῶν τυφλότητι ζοφοῦται,
καὶ πάλιν ἦν ὁ Ῥωμανὸς ἄγων καὶ φέρων πάντα.
B Πλὴν ἀλλ' ὡς μήτηρ πιστευθεὶς τὴν φυλακὴν τοῦ νέου
αἴφνης ἐφάνη μητρυιὰ δύσνους ἀντ' εὐνοούσης,
καὶ τοῦτο τὸ λεγόμενον, ἀποσοβῶν τοὺς λύκους,
ἵνα τὸ πρόβατον αὐτὸς σπαράττοι καὶ θοινῷτο.

5535 βλέπων M   5540 ἐφ' M

cuius mentionem modo faciebamus, intellecto imperatorem a Romano regi ceu mancipium quoddam, prae se ferebat quasi eam rem moleste ferret animoque benevolo copias eius defendendi causa secum adduceret, cum reapse imperium sibi quaereret. sed enim is qui callidos in versutia sua capit et consilia invertit secretaque cognoscit, molitiones Leonis in contraria vertit, ideoque Leo frustra rem aggressus hianti lupo similis factus est. nam Romani consiliis obtemperans imperator literas rubrica subscriptas ad exercitum mittit, quibus apertam Phocae tyrannidem accusabat et egregium Romano testimonium perhibebat. tum vero magna inter milites oriri perturbatio, et Leo Phocas mox graculus ille plumis alienis ornatus fieri. quippe universi literas imperatorias, ut arbitror, reveriti misero Phoca deserto aufugiebant. venit ergo vivus in hostium potestatem, et oculis spoliatur.

Ex eo tempore cuncta per Romanum administrari, qui recepta in se invenis custodia, tanquam si mater eius esset, subito se novercam hostilem probabat; et quod proverbio dici consuevit, lupos terrebat et abigebat, ut ovem ipse dilaniaret ac devoraret. imperator enim ratus

ὁ μὲν γὰρ ἄναξ Ῥωμανὸν εὔνουν νομίσας εἶναι
καὶ κηδεμόνα τῆς ζωῆς καὶ τηρητὴν τοῦ κράτους
πρῶτα μὲν μάγιστρον τιμᾷ, μέγαν ἑταιρειάρχην,
εἶτα τῇ δόξῃ προστιθεὶς ἄλλην μείζονα δόξαν
καὶ πρὸς ἀκρώρειαν ὑψῶν ἐκ τῶν χθαμαλωτέρων
πατέρα καὶ προφύλακα ποιεῖ τῆς βασιλείας.
καὶ πλέον ἐφελκόμενος τὸν Ῥωμανὸν εἰς φίλτρον
ἐχέγγυα προγάμια νέμει τῇ τούτου κόρῃ.
ἤδη δὲ γαμοδαίσια μέλλων τῆς νύμφης θύειν,
καὶ τὸν γυναικοπάτορα κράτορος στέφει στέφει. C
ταῦτα μὲν οὖν ὁ βασιλεὺς εἰς Ῥωμανὸν ἐποίει,
ἐκεῖνον ἐφελκόμενος, ὡς ᾤετο, πρὸς φίλτρον.
ὁ δὲ βαθύνους Ῥωμανὸς πολλὰ βυσσοδομεύσας
καὶ κρατυνάμενος αὐτῷ πάντοθεν τὰ τοῦ κράτους,
ὡς βασιλεῖ ὡς ἄνακτι ζεύξας τὴν θυγατέρα,
ἐκ τοῦ τετρώρου τῆς ἀρχῆς φεῦ τῆς παπποπατρῴας
τὸν πορφυρόβλαστον γαμβρὸν κύμβαχον ἐκδιφρίζει,
καὶ μόνον χαρισάμενος ὄνομα βασιλείας
τῷ δυστυχεῖ καὶ δυστυχῶς αὐτὸν προσλαβομένῳ
αὐτὸς ἐπιλαμβάνεται τῆς ἡνιοστροφίας,
καὶ βασιλεὺς ὁ Ῥωμανὸς κἂν ταῖς ἁπάντων γλώσσαις,
ὁ Κωνσταντῖνος δ' οὐδαμοῦ· τύχη γὰρ ἐνεκότει D
καὶ κατεκάλυπτεν αὐτὸν ὥσπερ ἀστέρα νέφος.
καὶ μὴν εἰς κόρον μετασχὼν τοιαύτης ἀμβροσίας
οὐ μέχρι τούτων ἔστησε τὸ λαιμαργὸν τῆς γνώμης,

5562 μάϊστρον A 5569 στέφος στέφει A 5574 βασιλεὺς AR
5579 τὰς A

cupere sibi Romanum quam honestissime, adeoque virum illum imperii sui patronum et conservatorem esse, primo magistrum creat et magnum societatis praesidem. deinde huic dignitati maiorem aliam adiiciens, deque humili condicione Romanum ad verticem rerum evehens, patrem et custodem imperatoris nuncupat. denique artiori amoris vinculo sibi hominem adiungens sponsalia cum eius filia contrahit; iamque nuptias celebraturus socerum imperatoria corona redimit. haec imperatoris erant in Romanum beneficia, quibus eum se putabat ad amorem sui excitaturum. at occulto praeditus animo Romanus, multa suo corde tegens et ab omni parte sibimet imperium stabiliens, ut qui iam imperator esset ac imperatoris socer, natum in purpura generum tandem avito patritoque imperio deiicit, et solo imperatoris illi nomine relicto gubernationem universam in se transfert. itaque Romanus imperator omnibus erat in ore, Constantinus nemini; cui scilicet adversaretur fortuna, quemque non aliter obscuraret atque nubes stellam occulere solet. quin etiam Romanus hac ambrosia fruens ad satietatem usque nequaquam hic animi sui libidini

ἀλλ' ὅλον τὸν ἀλλότριον ἄρτον κακῶς ἁρπάσας
ἐψώμισε τοὺς ἑαυτοῦ, τὸν ἔχοντα τὸν ἄρτον
καταλιπὼν λιμώττοντα· τοὺς γὰρ ἰδίους παῖδας
καὶ Χριστοφόρον τὸν υἱὸν παιδὸς τοῦ πρωτοσπόρου
κράτορας ἀνεκήρυξεν ἄνακτας αὐσονάρχας.
τὸ δέ γε θυμαλγέστερον καὶ μεῖζον εἰς πικρίαν
καὶ τῶν ὀστῶν ἁπτόμενον αὐτῶν καὶ τῆς καρδίας,
ἐπίπροσθεν ἐτίθετο πάντας τοῦ Κωνσταντίνου
ἐν ταῖς ἀνακηρύξεσιν, ἐν γράμμασιν, ἐν θρόνοις.
P 114 ἦν οὖν μυριοκέφαλος ἐν βασιλείοις ὕδρα,
καὶ λήϊον ἀνέβαινεν ἄντικρυς βασιλέων,
ὡς τοὺς σπαρτοὺς τοὺς γηγενεῖς ὁ μῦθος ἀναπλάττει,
πλασθέντας ἀπὸ δράκοντος ἄνδρας ὀδοντοφύτους,
καὶ μέσον ἦν ὁ τληπαθὴς τῆς ἁλουργίδος στάχυς
ὡς ῥόδον συμπνιγόμενον ἀκάνθαις ὀξυκέντροις.
Ἀλλ' ὅτε πάνθ' ὁ Ῥωμανὸς ἔφθη κατοχυρώσας
καὶ τεῖχος Σεμιράμιδος ἄντικρυς κρηπιδώσας
ἢ πύργον γιγαντόκτιστον χαλάνης ἀσφαλτώσας,
τότε πεσὼν ἐπὶ βρεχμὸν καὶ νῶτα κατεάγη
καὶ τῆς ἀρχῆς ἐκκυλισθεὶς τάλας ἐταρταρώθη.
ὁ γὰρ πορφυροφύτευτος αὐτάναξ Κωνσταντῖνος
ἤδη σφριγώσης ἐπιβὰς ἀνδρώδους ἡλικίας,
B ὅτε πυρσὸς φρονήσεως ἀνθρώποις ἐπιλάμπει,

5589 αὐσονάρχους A 5597 βλαστόντας R 5600 εἶχε AR καταχειρώσας A 5602 γιγαντόχαρτον M 5604 ἐταπαλώθη AR 5605 πορφυροβλάστητος M

modum statuere volebat, sed alieno pane toto quasi praerepto suos pascebat, esurire cogens illum ad quem is reapse pertinebat. filios enim suos, et cum eis Christophorum ex primogenito nepotem, imperatores renuntiavit; quodque dolorem gignere maiorem posset ipsumque cor et ossa penetrare, tam in praeconiis publicis quam literis et consessibus omnes ante Constantinum collocabat. quo fiebat ut hydra multorum capitum esset in regia, quasique seges imperatorum haud aliter enasceretur atque olim satos illos terrigenas provenisse fabulae perhibent, hominibus ex draconis dentibus, qui sparsi fuerant in terram, ortis. misera vero purpureae spica in horum medio premebatur, quemadmodum a spinis rosam suffocari videmus.

Cum autem omnia Romanus iam satis se muniisse crederet, ac aedificii Semiramidis fundamenta iecisse, vel quandam quasi Chalanes turrim a gigantibus exstructam ex asphalto condidisse, collapsus in occiput etiam tergum fregit, imperioque deiectus miser in praeceps corruit. quippe Constantinus ubi virilem aetatem attigisset, qua prudentiae fax

προβόλους προσλαβόμενος ἄνδρας ἀγαθοτρόπους
ὡς Ἡρακλῆς Ἰόλεων, ὡς ὁ Θησεὺς Πειρίθουν,
τὰς ὀφιώδεις κεφαλὰς τῆς ὕδρας ἐκθερίζει
καὶ πρὸς ἀλλήλων τοὺς σπαρτοὺς πεσεῖν παρασκευάζει,
τὸ δὲ παχὺ καὶ θολερὸν ἀπορραπίσας νέφος
καθαρωτέρας τῆς ἀρχῆς ἀκτῖνας ἀποστίλβει.
πρῶτα μὲν οὖν ὁ Ῥωμανὸς ἤδη πρὸς γῆρας φθάσας,
ἤδη τριγέρων γεγονὼς κατὰ τοὺς μακρογήρως,
καὶ πλεῖστον μὲν διηνυκὼς ἐπὶ τῷ κράτει χρόνον
καὶ πέντε πρὸς τοῖς εἴκοσι χρόνους σκηπτροκρατήσας,
πάντας δὲ πλήσας δωρεῶν καὶ πάντας εὖ ποιήσας, C
ὑπὸ τῶν παίδων ἑαυτοῦ ῥιπτάζεται τοῦ θρόνου
καὶ τρίχας ἀποκείρεται τὰς πρὶν στεφοκοσμήτους,
εἴποι τις ἄν, ὑπὸ Διὸς πρεσβυγενὴς ὁ Κρόνος.
εἶτα τοὺς παῖδας Ῥωμανοῦ τοὺς κακεντρεχεστάτους
ὁ πορφυρόρρηξ συλλαβών, ὁ κράτωρ Κωνσταντῖνος,
ἐξοστρακίζει θέμενος ἀθρόον νησιώτας.
καὶ τότε πρῶτον ἔβλεψε τὴν γραῦν τὴν βασιλείαν
ὡς κόρην χρυσοσπάτυλον, ὡς μαργαροφοροῦσαν,
ὡς ἁβροχίτωνα στιλπνήν, ὡς τρυφερευομένην,
καὶ προσγελῶσαν καπυρὸν καὶ προσλαλοῦσαν τούτῳ,
καὶ συνιοῦσαν νυμφικῶς ἐπὶ παιδογονίᾳ.
  Οὗτος τὸν Βάρδαν τὸν Φωκᾶν στρατάρχην καθιστάνει,
ὃν τῶν σχολῶν δομέστικον εἴποιεν ἂν Ῥωμαῖοι, D
τομίαν δὲ Βασίλειον, ἕνα τῶν ἀποκόπων,

v. 5611 om R 5613 ὁ αὐτὸς M v. 5617 om R
5624 ἀθρόως M 5627 τερπνὴν AM 5629 παιδικῶς R

in homine collucere solet, viris bonis in consilium adhibitis, uti nimirum Hercules Iolaum, Theseus sibi Pirithoum adiunxit, serpentina hydrae capita resecuit, et satis illis terrigenis inter se commissis effecit ut alter alteri mutuum exitium afferret. deinde densa et caliginosa nube pulsa radios imperii puriores emittit. primum igitur Romanus, iam senio confectus, longo tempore potitus imperio, totis nimirum 25 annis, omnibus sibi per munera beneficiaque devinctis, a suismet filiis raditur et throno deiicitur, non aliter atque priscus ille Saturnus a Iove regno spoliatus fuisse fertur. quo facto Constantinus imperator natus in purpura filios Romani longe nequissimos comprehendit et quandam in insulam relegavit. atque hoc primum tempore vidit imperium, anui simile, tanquam puellam auro luxuriantem et uniones gestantem, eleganti vestitu fulgere, sibique tum arridere tum familiariter adesse.

Bardam Phocam exercitibus praeficiebat, creatum scholarum, ut Romani loquuntur, domesticum: Basilium vero eunuchum, qui Lacapeni filius

φυέντα τῷ Λακαπηνῷ σκοτίων ἐκ σπερμάτων
παράκοιτον καὶ φύλακα τῆς βασιλείου κλίνης.
ἐπεὶ δ' ὁ Βάρδας ἔσβεστο τὴν πρὸς τὰς μάχας θέρμην
καὶ τὴν ὀξύρροπον ὁρμὴν (ἔψυχε γὰρ τὸ γῆρας),
εἰς Νικηφόρον τὸν Φωκᾶν τὴν στραταρχίαν τρέπει,
εἴποι τις ἄν, ἐκ λέοντος εἰς τὸν ἐκείνου σκύμνον.
υἱὸν δ' ἰδεῖν εὐτυχηκὼς ἰδίας ἐξ ὀσφύος,
ὃς ἐξ Ἑλένης Ῥωμανοῦ τῆς θυγατρὸς ἐξέφυ,
κατονομάζει Ῥωμανόν. ἐλάσαντα δ' εἰς ἥβην
καὶ γαμετῇ συζεύγνυσι, καὶ βλέψας υἱοῦ γόνον
Βασίλειον τὸν μέγιστον ἐπὶ τροπαιουχίαις,
P 115 καὶ βρέφος ἐπαγκάλιον βαστάσας τὸν τοσοῦτον,
καὶ πέντε χρόνους μετασχὼν τοῦ κράτους ἀθολώτου,
καὶ μέλλων ἀπολύεσθαι τῶν φυσικῶν συνδέσμων,
αὐτάνακτα καθίστησι τὸν Ῥωμανὸν τὸν παῖδα.
Ἀλλ' οὗτος ἅπασαν ἰσχύν, ἅπασαν δυναστείαν
κακοῖς καὶ μικρογνώμοσιν εὐνούχοις ἐπιτρέψας,
θήρας αὐτὸς ἐφρόντιζε καὶ κυνηγετημάτων
καὶ δαιμονίως ἔχασκε πρὸς τὰς κυνοδρομίας.
τότε τὴν Κρήτην δυσμενῶν Ἀρράβων κατασχόντων
καὶ κραταιὸν κρησφύγετον θεμένων τὰ τῆς νήσου
καὶ κακουργούντων τὴν ὑγρὰν καὶ πάντα λῃστευόντων,
ὁ Νικηφόρος ὁ Φωκᾶς (ἦν γὰρ ὀξὺς ἐν μάχαις
B καὶ τὴν ὁρμὴν ἐμπύριος καὶ δραστικὸς τὰς χεῖρας)
στολάρχης ἀναδείκνυται, πιστεύεται τὴν μάχην,

5633 κρυφίων A   5636 ἔψυξε A   5644 ὑπαγκάλιον AR   τὸ τοιοῦτον M   v. 5645 om R   5649 ἀνθρώποις M

naturalis erat, accubitorem fecit et imperatorii lecti custodem. exstincto autem propter senectam in Barda fervore quem praelia poscunt, et impetu celeri ad res gerendas, in Nicephorum Phocam copiarum gubernationem transtulit, hoc est a leone in eius catulum. nactus eam felicitatem ut filium ex se atque Helena Romani filia natum videret, eum ipsum Romanum appellavit. ubi iam adolevisset ac pubes factus esset, uxorem ei dedit; ex quo filii coniugio nepotem vidit Basilium, principem longe victoriosissimum. tandem exactis in imperio quinque annis absque socio et perturbatione, vitae finem facturus Romanum filium imperatorem renuntiat.

Is vero potestatem universam malis et imbellibus eunuchis tradens capiendis fetis et venando miserandus occupabatur. hoc imperante Cretam insulam Arabes ceperunt, et receptaculo in ea firmo collocato mare passim infestum praedis agendis reddebant. quapropter Nicephorus Phocas, vir acer in bello et tam animo quam manu promptus, classis imperator et belli dux constituitur; qui mox navibus universum mare com-

πληροῖ τὴν θάλασσαν σκαφῶν εὐστόλων καλλιπρώρων,
κατὰ θηρίων στέλλεται τούτων τῶν ὑγροχέρσων,
μάχην συνάπτει καρτεράν, ἡττᾷ τοὺς ἀντιμάχους,
βυθίζει τὰς πειρατικὰς ἀκάτους τῶν Ἀρράβων,
χειροῦται καὶ τὸν λῄσταρχον τὸν πάντολμον ἐκεῖνον,
καὶ τὸν γιγαντοπάλαμον ὡς βρέφος συλλαμβάνει.
ἐκεῖθεν ἀναζεύξας δὲ μετὰ λαμπρῶν τροπαίων
πολυτελέσι καὶ φαιδροῖς θριάμβοις ἐπομπεύθη.
Τότε καὶ πόλιν τὴν καλήν, τὴν πόλιν Ἀντιόχου
τὴν εὐγενῆ, τὴν εὐπρεπῆ, τὴν νυμφοκοσμουμένην
Ἰσμαηλῖται φονικοὶ δορύκτητον λαβόντες C
ὡς τρίδουλον κατῄσχυναν, ὡς τριοδῖτιν πόρνην.
καὶ πάλιν ὁ τρισαριστεὺς σπᾶται Φωκᾶς ῥομφαίαν,
πάλιν κινεῖται κατ᾽ ἐχθρῶν αἱμοχαρῶν ἐκφύλων.
τοὺς ἀλλοφύλους ῥήγνυσι, ὑπερμαχεῖ συμφύλων,
καὶ πάλιν τὴν εὐσχήμονα τὴν εὐχρουστάτην κόρην
ἐπανασώζει τῇ μητρὶ τῇ καλλιτεχνωτάτῃ.
Ἔτι δὲ τότε τοῦ Φωκᾶ τὴν μάχην συγκροτοῦντος
τὸν κράτορα τὸν Ῥωμανὸν θάνατος ἀναρπάζει,
τῇ γαμετῇ Θεοφανοῖ τὸ κράτος λελοιπότα
καὶ τοῖς παισὶ τοῖς ἐξ αὐτῆς νεογενέσιν οὖσιν,
κεκρατηκότα ἔτεσι τέσσαρσι πρὸς τοῖς δέκα.
ἀκούει ταῦτα καὶ Φωκᾶς, ἐκεῖθεν ἀποτρέχει
καὶ πρὸς τὴν μεγαλόπολιν καταταχήσας φθάνει,

5662 χειροῦται τὸν ἀρίσταρχον M 5663 γιγαντοπόλεμον M 5665 λαμπροῖς AM θεάτροις A ἐκπομπεύει A 5666 λαμπρὰν M 5671 καὶ μοχθηρῶν M 5672 ἀλλ᾽ R 5678 αὐτοῦ A v. 5679 om R 5681 καταταχύνας M

plet, et contra belluas pedestres pariter ac marinas ablegatur. pugnam inde cum hoste conserit, eumque magno praelio vincit: piraticas Arabum naves demergit, ipsum principem praedonum, hominem audacissimum et giganteum bellatorem, velut puerum capit. hinc e Creta splendidissimis cum tropaeis solvens triumphos magnificos et laetitiae plenos peragit.

Eodem tempore nobilem ac pulchram urbem in morem puellae ornatam Antiochenam Ismaelitae homicidae ceperunt et in servitutem redegerunt ac velut meretricem in trivio stantem habuerunt. quapropter rursum Phocas ille victoriosissimus hostem movet, alienigenas frangit, pugnat pro suis, rursum honestam et boni coloris puellam matri pulchrorum liberorum parenti, id est Romano imperio Antiochiam, restituit.

Dum istic bellum gerit, Romanus imperator e vivis excessit, uxori Theophanoni et liberis, quos ex ea susceperat, imperio relicto. cuius rei fama Phocas ad se perlata itinere celeri Cpolin proficiscitur, ibique

D καὶ πάλιν ἀναδείκνυται τῆς ἕω ταγματάρχης,
ὅρκοις φρικτοῖς καταδεθεὶς ὑπὸ τῆς βασιλίσσης
ὡς οὐκ ἐπιβουλεύσειε τοῦ Ῥωμανοῦ τοῖς τέκνοις,
καὶ πάλιν ἀναπόμπιμος γίνεται πρὸς Συρίαν.
ἀλλὰ γὰρ οὐκ ἠρέμησε τὸ χαλεπὸν θηρίον
ὁ φθόνος, ἡ τῶν γηγενῶν καρδιοφάγος ἄρκτος.
καὶ τοίνυν τις ἀπόκοπος τῶν ἐν τοῖς ἀνακτόροις,
ὁ τότε πᾶσαν τὴν ἀρχὴν ἄνω καὶ κάτω στρέφων,
ἀκάνθῃ φθόνου κεντηθεὶς κατὰ τοῦ στρατηλάτου
καὶ τηλικαύτην εὔπνοιαν τύχης οὐ φέρων βλέπειν
τὸν Νικηφόρον τὸν Φωκᾶν οὐρίως ναυστολοῦσαν,
γραφὰς ἐπὶ τὸν Τζιμισχῆν εὐπτέρους ἐγχαράσσει
(τῷ Τζιμισχῇ δὲ κλῆσις ἦν βρεφόθεν Ἰωάννης)
P 116 ἔργον μαχαίρας τὸν Φωκᾶν θέσθαι παρακινούσας,
αὐτὸν δ' εἰς τὸ Βυζάντιον ἥκειν ἐρεθιζούσας,
ἐσόμενον αὐτάνακτα καὶ κράτορα Ῥωμαίων.
δέχεται τὴν ἐπιστολὴν ἐκείνην Ἰωάννης
ὁ Τζιμισχῆς, ἐπέρχεται τοὺς τῶν γραφέντων τύπους,
καὶ γνώμην μισοπόνηρον αὐχῶν καὶ χρηστοήθη
χειρίζει ταῦτα τῷ Φωκᾷ, τὸ δρᾶμα καταγγέλλει,
μυσάττεται τὸ φονικὸν ἐκείνου τοῦ θλαδίου.
ἦν δὲ καλὸς ὁ Τζιμισχῆς, εὔοπτος, εὔχρους, εὔθριξ,
καρτερικός, ἀνδρόσπλαγχνος, εὐκάρδιος, ἀνδρόνους,
καὶ μαχητὴς ἀπρόσμαχος καὶ βουλευτὴς ὀξύνους,
ἄνθρωπος μεγαλόψυχος, σώφρων, ἀνδρεῖος, πρᾶος,

5683 γε φρικτοῖς αἰδεσθεὶς M 5687 πικρὸς καρδιοφάγος M 5692 ναυστολούσης R 5693 ἐγχαράξας AM 5699 τοῖς M γραμμάτων A τύποις M 5702 πονηρὸν ἐκεῖνο A

rursus exercituum Orientis dux declaratur, sacramentis horribilibus imperatrici pollicitus nunquam se Romani liberis insidiaturum; quo facto suum ad munus sese confert. sed enim quiescere non poterat invidia, bellua ferox, urso consimilis, hominum corda depascenti. nam quidam ex eunuchis aulicis, qui eo tempore res imperii solus arbitratu suo tractabat, adversus Phocam invidiae spina quasi quadam punctus, quod celebritatem nominis eius atque felicitatem aequo animo ferre non posset, literas ad Ioannem cognomento Zimischam penna non exaratas mittit, iisque cohortatur ut interfecto Phoca Byzantium, futurus imperator Romanorum, properaret. hanc epistolam ubi Zimisches accepisset, tanquam infestus improbitati et vir bonus eam Phocae tradit, eunuchi conatum aperit, eiusque sanguinarium animum abominatur. erat autem Zimisches formosus, facie colore capillis venustis: tolerans, misericors, fortis et virilis animi, pugnator inexpugnabilis, copia celeritateque consilii prae-

καὶ δόρυ δολιχόσκιον κραδαίνειν ἠσκημένος B
καὶ τόξον ἕλκειν τὴν νευρὰν ἐπὶ βελῶν γλυφίσιν,
ἀνὴρ ἐλευθερόψυχος, οὐχ ὑποτρέφων κότον,
οὐ τῆς κακίας φωλεὸν τεκταίνων τὴν καρδίαν,
οὐδὲ ζηλῶν τὸ ζάκοτον καμήλου βαρυχόλου.
εἰ χρὴ δ' ὀλίγοις τὰ πολλὰ καὶ τὰ μακρὰ γνωρίσαι,
ἔμψυχος ἦν παράδεισος χαρίτων φυτοτρόφος,
ἄλσος μυρίων ἀγαθῶν κατάφυτον ὀρχάτοις
θεοῦ φυτηκομούμενον παλάμαις αὐξιφύτοις,
πνεύματος κηπευόμενον νάμασι χρυσορείθροις,
ἐν ᾧ περιεχόρευε τῶν ἀρετῶν ὁ κύκλος,
ἀντίφθογγα δ' ὑπέψαλλε χαρίτων ἡ χορεία.
Τοιοῦτος ὢν τὴν ἀρετὴν ὁ Τζιμισχῆς καὶ τόσος,
καὶ τηνικαῦτα τῷ Φωκᾷ λαχὼν συνομαρτῆσαι C
καὶ χρείαν ὑποστρατήγου ἀποπληρῶν ἐκείνῳ
(ἦν δὲ Φωκᾷ καὶ προσγενὴς κἀκ τῶν αὐτῶν αἱμάτων),
ἅμα τὸ γράμμα ταῖς χερσὶν εἶχεν ὑπαναπτύξας,
καὶ καθ' αὑτὸν ἐπέδραμε τὸν νοῦν τῶν ἐγκειμένων,
καὶ πρὸς τὸν πρωτοστράτηγον πάντα διαπορθμεύει,
καὶ "φεῦ" φησίν, "ὦ στρατηγέ, τῆς τῶν Ῥωμαίων τύχης!
ἕως καὶ πότε τῆς ἀρχῆς τὸ σκάφος ἰθυνοῦσιν
εὐνοῦχοι γυναικόψυχοι, πόριμοι πρὸς κακίαν,
πάντων κακῶν ἐφευρεταί, πάντων κακῶν ἐργάται,
ἄνθρωποι μαλακόψυχοι, σκεύη πονηρευμάτων,

5708 τὰς νευρὰς AR ἐπιμελῶν γλυφίδαν M 5709 ὑποστρέφων M 5712 μακρὰ καὶ τὰ πολλὰ R 5714 κατάφρακτον M 5715 φυτοκομούμενον AM αὐξοφύτοις AM 5722 Φωκᾶς M αὐτοῦ M 5723 ἔχων M 5724 καθ' ἑαυτὸν M 5725 ἐναπορθμεύει πάντα M 5727 κράτος AM

pollens, liberalis, castus, mitis, hastarum vibrandarum et arcuum tendendorum peritissimus, ingenuus, alienus ab ira diuturna; ut paucis denique multa et prolixa complectamur, vivus quidam paradisus gratiarum erat, ipsis dei manibus consitus et aureis sancti spiritus rivis irriguus, in quo virtutum coetus universus choreas velut agitabat, Gratiis ex adverso illis cantando quasi responsantibus.

Talis ac tantus vir cum Zimisches foret, Phocam hoc tempore comitari decrevit, legati munus ab eo consecutus. et consanguineus erat Phocae, prognatus eodem genere. posteaquam scriptum eunuchi manibus suis aperuisset ac eo comprehensa percurrisset, omnibus ad copiarum imperatorem renuntiatis "proh miseram" inquit "Romanorum sortem et fortunam, imperator! quousque tandem imperium administrabunt eunuchi muliebres, fecundi ad malitiam, sordidi, facinorum instrumenta,

τῶν ἀθεμίτων ἀγωγοί, σωλῆνες κακουργίας."
ἤκουσε ταῦθ' ὁ στρατηγός, ἤγειρε θυμοῦ φλόγα.
κἀντεῦθεν ὁ κοιμώμενος ὀρεσιβάτης λέων
D ὑπήνοιξε τὸ βλέφαρον καὶ βρυχηθμὸν ἀφῆκε,
καὶ φόβος περιέδραμε λόχμας δρυμῶνας ὄρη.
κράτωρ δ' ἀναγορεύεται, φθάνει τὴν Κωνσταντίνου,
ἄνευ κινδύνων εἴσεισι, βλέπεται, βλέπει, τέρπει.
καὶ πᾶν τὸ πλῆθος προχυθέν, ὁπόσον ἐν δημόταις,
ὁπόσον τῇ λαμπρότητι τοῦ γένους ἐκυδροῦτο,
ὁπόσον ἐν ἐργατικοῖς, ὅσον ἐν εὐπαρύφοις,
πρὸ πάντων ἡ βασίλισσα σὺν τοῖς ἱερομύσταις,
ὑπτίαις ὑποδέχονται τὸν ἄνδρα ταῖς παλάμαις.
καὶ ψήφῳ γίνεται κοινῇ κράτωρ ὁ Νικηφόρος·
ἦν γὰρ στρατηγικώτατος, εὔτολμος, βριαρόχειρ,
καμάτοις ἀταπείνωτος, ἄκμων στεῤῥὸς εἰς πόνους.
P 117 καὶ μίγνυται Θεοφανοῖ τῇ πρῴην βασιλίδι,
καὶ πρὸς τοὺς παῖδας Ῥωμανοῦ σχέσιν πατρὸς δεικνύει.
Τότε Φωκᾶς τὸ τῆς ψυχῆς ἐγνώρισεν ἀνδρῶδες
καὶ τὸ τολμηροκάρδιον καὶ τὴν πρὸς μάχας θέρμην.
εἶχε μὲν γὰρ παράστημα ψυχῆς εὐγενεστέρας,
καὶ τὸ στεῤῥὸν μὲν καρτερὸν ὑπέφαινεν ἀρχῆθεν,
καὶ τὸν τεχνίτην ἱππαστὴν μακρόθεν παρεγύμνου·
τῆς δὲ τοῦ δρᾶν δυνάμεως κειμένης παρ' ἑτέροις
αὐτὸς τὸ γενναιόθυμον ἔσμυχε κατὰ βάθους,

5731 πονηρίας R   5733 ὀρεσιτρόφος AR   5738 ἐγχυθὲν M
5739 ἐκεδνοῦτο M   5741 ἱεροθύταις AR

rerum nefariarum tubuli, canales improbitatis?" his auditis animus ducis excandescit, et leo prius quiescens oculos aperit ac rugitum edit, ob quem formido lustra saltus montes est pervagata. mox imperator renuntiatur, Cpolin occupat, urbem absque ullo periculo ingreditur, a civibus conspicitur, conspectu suo omnium omnino animos recreat. simul obviam ei se offert urbana multitudo, necnon patriciorum ordo, praetextati, ex officinis operarii. ante omnes alios imperatrix cum sacerdotibus hominem supinis manibus excipit, iamque decreto communi omnium ordinum Nicephorus imperator creatur. erat enim artis bellicae peritissimus, audax, robustus, aerumnis haud quaquam cedens, incudis in morem labores constanter perferens. secundum haec imperatricem Theophanonem sibi matrimonio copulat, et erga Romani liberos affectionem quandam animi paternam declarat.

Praecipue vero probabat in imperio virilitatem pectoris et in praeliis ardorem. quippe generosi erant in Phoca impetus animi, suaeque constantiae documenta statim ab initio dabat, iamdudum ostendens se ar-

ὡς ὁ δαλὸν ἐν σποδιᾷ σπέρμα πυρὸς φυλάττων.
ὡς δ' ἐπελάβετο καιροῦ καὶ τῆς τοῦ δρᾶν ἰσχύος,
καὶ πάντα στρέφων ὁ τροχὸς τοῦ παλινδρόμου βίου
αὐτὸς αὐτὸν ἐπέστησε τοῖς εὐαρμάτοις δίφροις, B
τότε δὴ τότε καὶ Φωκᾶς ὡσεὶ πρηστὴρ ἐρράγη,
καὶ πάσας περιέδραμε φυλὰς βαρβαροφύλους,
πῦρ ἐμπεσόν, ἂν εἴποι τις, ἐν λόχμῃ πολυξύλῳ
καὶ πνεύμασι σοβούμενον καὶ πανταχοῦ διέρπον
καὶ πᾶν φυτὸν βοσκόμενον καὶ πᾶν χλωρὸν ἐκκαῖον.
ἔτρεσαν Ἄρραβες αὐτόν, ὑπέκυψεν ὁ Σύρος,
ὁ Κίλιξ ἐδραπέτευσεν, ὁ Φοῖνιξ ὑπεστάλη,
καὶ πάλιν ἀπεδίδοντο Ῥωμαίοις τὰ Ῥωμαίων·
οὕτως ἀπρόσμαχος Φωκᾶς ἦν τοῖς ὑπεναντίοις.
ὁ κύκλος γὰρ τῶν ἀρετῶν ἀμφέστεφε τὸν ἄνδρα,
καὶ πᾶν καλὸν ἠγλάϊζε, πᾶν ἀγαθὸν ἐκόσμει,
ἰσχύς, ἀνδρία, φρόνησις, πραότης, σωφροσύνη.
ἀλλὰ γὰρ ἄμωμος οὐδεὶς τῶν ἐπὶ γῆς ἀνθρώπων, C
κἂν ἐπὶ τὴν ἀκρώρειαν τῆς ἀρετῆς ἐλάσῃ.
καὶ γοῦν ὁ καλλιστέφανος Φωκᾶς ὁ τηλικοῦτος
ἐν μὲν τοῖς ἄλλοις ἔλαμπε καλοῖς τοῖς κατὰ σῶμα,
καὶ τὴν ψυχὴν ὑπέφαινε χάρισι λαμπομένην
ὡς νύμφην ἀβροκόσμητον, ὡς τρυφερόχρουν κόρην·
τοσοῦτον γὰρ τοῦ τῆς ψυχῆς ἐπεμελεῖτο κόσμου
ὡς τρύχειν τὸ σωμάτιον ἀκανθοκέντρῳ ῥάκει

5757 χορὸς R 5758 ῥείθροις R 5762 καὶ τὰ δρυμὰ συμφλέγον AR 5764 ὑπέπεσεν, M 5773 ὁ καλλ.] καὶ καλλ. AM 5776 καὶ τρ. A

tificem esse peritum agendi equi. sed dum facultas agendi penes alios est, ipse generositatem animi sui corde imo comprimebat, non aliter atque si quis titionem quasi quoddam ignis semen opertum cinere conservet. at ubi opportunitatem et rei gerendae facultatem nactus fuisset, translato in ipsum imperio, presteris in morem cum impetu maximo ferebatur, et barbaras nationes universas circumcursitabat, instar ignis in silvosum quendam saltum delati, qui a vento concitatus omnes depascit arbores et saltus exurit. itaque metuebant eum Arabes, Syrus se summittebat, Cilix fugiebat, Phoenix animum contrahebat: omnes denique restituebant ea quae Romanum ad imperium spectabant. adeo se Phocas adversariis invictum probabat, absoluta virtute praeditus omnibusque dotibus ornatus, robore corporis, animi fortitudine, prudentia, mansuetudine, castitate. sed enim mortalium in terris nemo plane labis expers est, etiamsi quis ad summum virtutis verticem perveniat. nimirum victoriosus ille Nicephorus Phocas ceteris tam corporis quam animi bonis

καὶ τὸν χιτῶνα τὸν σκληρὸν κρύπτειν τῇ πορφυρίδι
καὶ τραπεζῶν ἀπέχεσθαι τῶν τῆς κρεοβορίας.
τὰ μὲν οὖν ἄλλα λύχνος ἦν ἡμεραυγὴς παμφαίνων·
πλὴν ὡς φορῶν τὴν γηγενῆ καὶ χωματίνην σάρκα,
D ἔφερε καὶ σπιλώματα τινῶν προσοχθισμάτων,
ὥσπερ ἐν πέπλῳ καθαρῷ κηλῖδας δυσεκπλύτους.
ὡς γάρ φασιν οἱ γράψαντες πρὸ χρόνων παλαιτέρων,
τὸ κατὰ πνεῦμα συγγενὲς σχὼν πρὸς τὴν βασιλίδα
ὅμως αὐτῇ συμφύρεσθαι καὶ σαρκικῶς ἐτόλμα.
οὗτος ὁ πρῶτος μολυσμός, δεύτερος δ' αὖ ἐκεῖνος·
ἀνάξιον αὐτάνακτος εἶχε τὸ σμικρολόγον,
καὶ τὸ φιλόδωρον αὐτοῦ τῆς γνώμης ἀπεδήμει
ὡς ὀφθαλμὸς ἐκ σώματος κἀκ τερεβίνθου φύλλον.
κἀντεῦθεν ἅπαν τοῦ Φωκᾶ προτέρημα καὶ κάλλος
ἄσχημον κατεφαίνετο, δύσμορφον καθωρᾶτο.
P 118 καὶ γὰρ ἀπὸ τοῦ σώματος τῆς κόρης ἐκκοπείσης,
ἅπαν τοῦ σκῆνος ἀμαυρόν, ἅπαν λυπρὸν τὸ δέμας·
κἀκ τερεβίνθου τρυφερᾶς φυλλάδος ἐκρευσάσης,
οἱ κλῶνες ἀχαρίτωτοι, τὸ στέλεχος ἀχρεῖον.
κείσθω μοι δὲ καὶ γνώρισμα τῆς πτωχογνωμοσύνης.
λιμὸς τὴν γῆν ἐβόσκετο τὴν ὑπὸ τοὺς Ῥωμαίους,
καὶ τῇ πυράγρᾳ τοῦ κακοῦ τὸ πλῆθος ἠναλγοῦντο,

v. 5780 om AM 5781 ὧν M 5788 αὖθις ἄλλος M
5794 ἀποκοπείσης κόρης AR 5797 ἀχρεῖον A 5798 δέ μοι M
5799 λιμὸς ἐβόσκετό ποτε AR v. 5800 add R

atque dotibus insigniter lucebat, et usque adeo studiosus erat pulchritudinis internae, ut veste spinarum in morem pungente corpusculum suum affligeret, sub purpura tunicam prorsus asperam tegeret, a carnibus in victu abstineret. denique rebus in aliis erat instar facis clarissime per diem splendentis. verum ut homo, qui terrestrem et corpoream carnem gestaret, quasdam etiam labes habebat, quibus homines offenderentur, ac si maculae vestem mundam foedent, quae difficulter elui possint. nam ut prisci rerum gestarum scriptores tradunt, quamvis imperatrici spirituali cognatione iunctus esset, nihilo tamen minus eam matrimonio quoque carnali ausus est sibi copulare. praeter hanc labem accedebat et alia, prorsus indigna viro principe, nimirum avaritia. quippe aberat omnis liberalitas, velut oculus a corpore, a terebintho folia. per hanc causam virtus omnis atque pulchritudo Phocae plurimum deformabatur. nimirum si absit oculus a corpore, totum hominis tabernaculum caliginosum est; et cum terebinthus foliorum honorem amisit, tum rami gratiae venustatisque nihil habent, tum stipes inutilis est. atque hoc loco lubet indicia quaedam avaritiae Nicephori promere. premebat aliquando fames subiectas Romanis provincias adeo vix ut medimnus aureo num-

καὶ πάντες ἀπωδύροντο τὸ τῆς ἐνδείας βέλος·
χρυσίνου γὰρ ὁ μέδιμνος μόλις ἀπημπολεῖτο.
ἀνέβη ταῦτα πρὸς Φωκᾶν, ὁ δ' ἤλγησεν ἀκούσας,
καὶ τὸ κακὸν ἰάσασθαι δῆθεν παραζηλώσας
τὰς δημοσίας ἀπαντλεῖν κελεύει σιτοθήκας,
καὶ δύο τοῦ νομίσματος σιτοπωλεῖν μεδίμνους.
οὕτω Φωκᾶς μικροπρεπῶς τὸ πρᾶγμα διετίθει, B
καὶ ταῦτα χιλιόσιτα πλουτῶν σιτοδοχεῖα
κατάφορτα τοῖς βάρεσι καὶ σίτοις βεβυσμένα
ἐξ ὧν ἀπεθησαύρισαν αἱ πρὶν εὐετηρίαι,
μὴ τὸν πολὺν Βασίλειον ἐζηλωκὼς ἐν τούτῳ,
τὸν ὄντως βασιλεύτατον, τὸν ἐκ Μακεδονίας,
ὅστις ἰδὼν κατώδυνον τὸ Βυζαντίων πλῆθος
καὶ τὸν λιμὸν παραίτιον εἶναι μαθὼν τοῦ πένθους
ἐντέχνως ἀντετάξατο πάθει τῷ δυσπαλαίστῳ,
ἀντιπαλαμησάμενος γενναίως τῷ γενναίῳ,
καὶ φθείρας θῆρα τὸν βαρὺν πνιγμοῖς βιαιοτέροις·
δώδεκα γὰρ τὸ νόμισμα τὸ χρύσεον μεδίμνων
ἐκέλευσεν ἀντάξιον εἶναι τοῖς σιτωνοῦσι.
Καὶ ταῦτα μὲν ἕκαστος ὡς βούλοιτο λογιζέσθω· C
ὁ δὲ Φωκᾶς ὑποκνισθεὶς ἔκ τινος ὑποψίας
ὡς ἄρα πρὸς τὸν Τζιμισχῆν ἐρωτοδέσμην ἔχοι
ἡ βασιλὶς καὶ γίνοιτο τούτοις τὰ τῶν ἐρώντων,
μαθὼν δὲ καὶ τὸν Τζιμισχῆν θερμῶς βασιλειῶντα,
πάσης ἀρχῆς ἀποστερεῖ τοῦτον καὶ δυναστείας,

5820 ταῦτα μὲν οὖν AR   5823 ἐρώτων vulgo

mo comparari posset. qua de re monitus Phocas dolere se illo nomine significans, et medicinam malo facere studens, horrea publica iubet evacuari duosque medimnos uno aureo vendi. tam sordidum se in frumenti venditione declarabat, cum quidem horrea multa frumento referta passim haberet, in quae superiorum annorum, qui fertiles fuerant, fruges erant repositae, nequaquam insignem illum maximeque regium imperatorem Basilium Macedonem imitatus. nam cum is populum Cpolitanum forte tristem vidisset eiusque maeroris causam famem esse didicisset, huic malo remedium sollerter invenit, gravi violentis quasi pugnis contusa. iussit enim medimnos duodecim ex horreis publicis aureo uno vendi.

Sed enim de his quisque pro animi sui libitu statuat. caeterum Phocas suspicione quadam de imperatrice concepta, quod esset amore Zimischis capta quodque consuetudo quaedam inter eos clandestina intercederet, ac praeterea cognito Zimischem singulari libidine imperii fla-

καὶ καθ᾽ αὑτὸν ὡς θελητὸν διαβιοῦν κελεύει,
ἕτερον ἄχαρι μηδὲν περὶ τὸν ἄνδρα δράσας.
ἀλλ᾽ ἡ βασίλισσα βαρὺ τοῦτο λογισαμένη,
τὸν Τζιμισχῆν μὴ καθορᾶν αὐλαῖς ἐν βασιλείοις,
πείθει Φωκᾶν μετάκλητον πάλιν τὸν ἄνδρα θέσθαι
καὶ πάλιν τὴν λαμπρότητα τὴν πρώην ἀποδοῦναι.
καὶ τοίνυν καρδιότρωτος ἐπανελθὼν ἐκεῖνος
D *καὶ φέρων τραυματίσματα κατὰ ψυχῆς ὕπουλα,*
σχήματι μὲν τὸν ἀπαθῆ καὶ μὴ βαρυθυμοῦντα
πανοῦργος ὑπεκρίνετο καὶ φαιδρωπὸς ὡρᾶτο,
ἔσω δ᾽ ἐπόρφυρε δεινὰ καὶ κατὰ βάθους ὤργα
καὶ πάσας ὑπεβόθρευε δολομηχάνους σκέψεις.
ὁ δὲ Φωκᾶς ὁ βασιλεὺς οὐ κατειδὼς τὰς πάγας
καὶ τὰς βροχίδας τῶν βουλῶν τῶν ὑπορυσσομένων
ὡς ἀετὸς ἐφέρετο πτεροῖς αἰθεροπόροις,
καὶ κούφως ἠλαφρίζετο πρὸς ἀρετῆς ἀέρα.
ἐντεῦθεν ἐπὶ στόματος Δαβὶδ ὁ μελιτόεις,
καὶ κοίτασμα σκληρόστρωτον ἀχρείων χαμευνίων·
εὐνὰς μαλακοεύνους δὲ πορφυραντῶν δεμνίων
καὶ μίξεις τὰς σωματικὰς καὶ τὰ περὶ τὰς μίξεις
P 119 *οὐδ᾽ ὄναρ ἐφαντάζετο, κατὰ δὲ τὸν εἰπόντα*
ὡς ἄστροις ἐτεκμαίρετο πᾶσαν γλυκυθυμίαν.
μακρύνων οὖν ἐμάκρυνεν, ἔφυγε φυγαδεύων,
μονάζον ἐπὶ δώματος ἐγίνετο στρουθίον

5826 *βουλητὸν* A, *δυνατὸν* M *βιοῦν διακελεύει* AM 5830 *τὸν θαυμαστὸν* M 5838 *μὴ κατιδὼν* A 5839 *δεινῶν* M 5841 *κουφὸς ἐλαφύνετο* M 5843 *λιθόστρωτον* M 5844 *πορφυρωτῶν* M 5849 *ἐγένετο* M

grare, potestatem et magistratum ei abrogat vitamque privatam agere iubet, nihil aliud in eum durius statuens. verum imperatrix graviter molesteque ferens Zimischem ab aula remotum, persuadet Phocae ut hominem revocaret eique dignitatem pristinam restitueret. quapropter ille revertens animo laeso et vulnerato specie quidem tenus se affectionum expertem atque tristem fraudulenter simulabat, sed dira secum ipse mala machinabatur et animo succensebat. hos laqueos et occulta consiliorum retia Phocas non animadvertens instar aquilae per aëra subvolabat et ad virtutem contendebat. nimirum in ore melleos Davidis hymnos habebat, humi duris in stragulis cubabat, lectos purpureos aspernabatur: a re venerea, praesertim superflua, sic semet abstinebat ut ne per somnum quidem de ea quidquam imaginaretur; denique, sicut ille ait, argumenta voluptatum animi velut in caelo capiebat. quamobrem ab hominibus longe se removebat, quasique fuga quadam inita semet domi

καὶ νυκτικόραξ ἄϋπνος ἐπὶ τῶν οἰκοπέδων.
ἀλλ' ἦσαν οὐκ ἀρέσκοντα ταῦτα τῇ βασιλίδι·
ἔχρῃζε γὰρ περιπλοκῶν καὶ σωματομιξίας.
προσλαβομένη τοιγαροῦν τὸν Τζιμισχῆν ἐγκαίρως,
ἅτε κατάδετος αὐτοῦ τῷ φίλτρῳ γενομένη
(ἦν δὲ κἀκεῖνος δυσπαθῶν κατὰ τοῦ βασιλέως),
ἀνάγει τοῦτον σὺν πολλοῖς λάθρᾳ μαχαιροφόροις,
ἐφίστησιν ὡς θηρευτὰς τοῦ λέοντος τῇ κοίτῃ,
καὶ παραδίδωσιν ἐχθροῖς φεῦ τὸν ὁμοζυγοῦντα, B
ὡς τὸν Σαμψὼν ἡ Δαλιδὰς ἡ μιαιφονωτάτη,
ὡς Τύνδαρις τὸν σύλλεκτρον, τὸν μαχητήν, τὸν ἥρω.
τίς σκυμνοτρόφος λέαινα τετόλμηκε τοιοῦτον,
ἢ ποία τιγροπάρδαλις ἢ βαρύθυμος ἄρκτος;
ἢ βούπρηστις ἢ ζύγαινα, τὰ τῆς θαλάσσης ἄχθη;
εἰστρέχουσιν εἰς τὸν Φωκᾶν ἰχνηλατοῦντες κύνες,
εὑρίσκουσιν ἐν ταπεινῷ κείμενον ψιαθίῳ,
καὶ κτείνουσιν ἐμφέροντα τῷ στόματι τὰ θεῖα,
ἔτεσιν ἓξ αὐτάνακτα Ῥωμαίων γεγονότα.
  Καὶ τὸ μὲν αἷμα κατὰ γῆς κέχυτο τοῦ δικαίου,
ὡς Ἄβελ πρὶν ἐκ παλαμῶν ἀδελφοκτόνου Κάϊν, C
καὶ πρὸς θεὸν ἀνέπεμπε βοὰς θρηνητηρίους·
ὁ Τζιμισχῆς δ' ἀμφέθετο τῇ κεφαλῇ τὸ στέφος,
καὶ πάλιν Ἄρραβες αὐτὸν ἔβλεψαν στρατάρχοῦντα,
καὶ πάλιν Σύροι γεύονται δραστικωτέρας σπάθης,

5850 αγρυπνος R 5854 πόθῳ M 5856 ἐπείγει A 5865 χαμευνίῳ AR 5869 ἀδελφοκτόνων A 5871 ἐπέθετο M

continebat, in morem solitarii passeris et insomnis cuiusdam cicumae; quae res atque studia non placebant imperatrici, venereos amplexus requirenti. quapropter opportuno tempore Zimischem sibi adiungens, cuius amore tota flagrabat, graviter imperatori succensentis, clam hominem cum multis armatis in aulam intromittit, et quasi venatores quosdam ad cubiculum leonis deducit, torique consortem (proh facinus improbum) hostibus prodit, ut illa sanguinaria Dalida Samsonem, ut Helena maritum heroem, praeliatorem insignem. quaenam leaena tale quippiam fuit ausa facere? quae tigropardalis? quae ursa? quae buprestis? quae zygaena? nimirum canes illi Phocam indagantes introcurrunt, reperiunt eum cubantem humi tenuiter, divina quaedam verba pronuntiantem interficiunt, sextum iam annum imperantem.

Hoc modo iusti viri sanguis in terram profundebatur, ut Abelus olim a Caino fratricida necatus est, et ad deum querelas lamentabiles emittebat. secundum haec Zimisches coronam imperatoriam sibi vindicat, et rursum copias adversus Arabes educit, rursus ensem Syri effi-

πάλιν Χαβδὰν ὁ φύλαρχος ἔφευγε προτροπάδην.
οὗτος ὁ κράτωρ τοῖς ἐχθροῖς τὸ ξίφος ἐπισείσας
καὶ πᾶν Ῥωμαίοις πρόσοικον βάρβαρον ἐκφοβήσας
τὸ γαῦρον τοῦ φρονήματος ἔπεισεν ἀποθέσθαι,
καὶ στενωθέντας ὑπ' ἐχθρῶν τοὺς τῶν Ῥωμαίων ὅρους
ἐπλάτυνε σχοινίσμασι χωρῶν ἀπειροπλέθρων,
καὶ μέχρι ῥείθρων Τίγρητος ἔπηξε τὰς αὐλαίας.
D *ἔφριξαν τούτου τὴν αἰχμὴν Κιλίκων οἱ φρουράρχαι,*
ἔτρεσαν τούτου τὴν ἰσχὺν Ἀῤῥάβων οἱ στρατάρχαι.
ὁ Φοῖνιξ ἐδραπέτευσε τὰς ἐμπυρίους χεῖρας,
ὑπόχλωρος ἐγένετο φεύγων τὸ δόρυ Σύρος.
Ἔδεσσα τοῦτον ἔβλεψεν, Εὐφράτου πεδιάδες·
Ῥωμαίων ἵππος ἔπιε ναμάτων τῶν Εὐφράτου,
καὶ φρυαγμάτων ἔπλησε τοῦτον μυκτηροκόμπων.
ἔβλεψε τοῦτον Δάνουβις καὶ Σκύθης ἰστρογείτων
τὰς φάλαγγας συγκόπτοντα, ῥηγνύντα τοὺς Σκυθάρχας,
κτιννύοντα, διώκοντα, τρέποντα τοὺς προμάχους,
ὡς εἴ τις λέων ἐμπεσὼν βουσὶ μεγαλοπλεύροις
θοινῷτο καὶ σπαράγμασι βιαίοις κεραΐζοι.
τότε καὶ ῥεῖθρα ποταμῶν εἰς αἷμα μετετράπη,
καὶ γέγονε λυθρόφυρτος ὁ καλλιχεύμων Ἴστρος.
P 120 *Ῥωμαῖοι κατεχόρευον πεδίων παριστρίων,*
καρδίας δὲ βαρβαρικὰς τὸ δέος ἐκρυστάλλου.

5874 *Φρυγῶν* M *ἔφυγε* R 5878 *παρ'* M v. 5882 add R 5883 *ἐδραπέτευε τὰς ἐμπειρίους* M 5886 *τοῦ* M 5890 *προπέμποντα πρ.* M 5892 *θοινᾶ τε* M *βιαίαν κερανίζει* M

cacem gustant, rursum Phrygiae gentis princeps fuga sibi consuluit. etenim hic imperator gladio contra hostes vibrato, barbarisque finitimis Romanorum imperio territis, omnes ferociam animi superbiamque deponere coëgit, ac plurimum Romanis finibus, qui ab hostibus valde coartati fuerant, adiecit, castris ad Tigrim amnem usque promotis. metuebant robur eius Ciliciae praesidiorum munitionumque principes: manus rei militaris gnaras Phoenicum natio fugiebat: Syri cum pallore bellum reformidabant. conspexit hunc imperatorem Edessa, conspexerunt Euphratis campi, cuius amnis aquas Romanorum equi hauserunt, et ea loca passim suis hinnitibus repleverunt. conspexit eundem Danubius fluvius, conspexerunt Istro vicini Scythae caedentem hostium agmina, duces nationum perrumpentem, occidentem, persequentem, antesignanos in fugam coniicientem, non aliter atque leo delatus in boves eos ipsos mactat atque dilacerat. amnium aquae in sanguinem tunc commutatae fuerunt, ipso etiam Istro cruentato. percurrebant Romani vicinas ei planities, barbarorum animis formidine perculsis.

Τοιοῦτος ἦν ὁ Τζιμισχῆς ποιμὴν θηροδιώκτης,
προφυλακὰς ποιούμενος τῶν ἑαυτοῦ θρεμμάτων,
ἄγρυπνος οὐδὲ βλέφαρα πρὸς ὕπνον καταφέρων,
καὶ σιαγόνας καταθλῶν θηρῶν καρτερονύχων.
ἐν ἀνεσίμοις δὲ καιροῖς πρᾶος ἡδὺς ἀστεῖος,
ὄμμα χαριτοβλέφαρον, βλέμμα σταλάττον τέρψιν,
πρόσωπον ἱλαρώτατον, χεὶρ φιλοδωροτάτη,
καρδία μεγαλόψυχος, μεγαλοπρεπεστάτη,
ἄλλος παράδεισος θεοῦ τέτταρα βλύζων ῥεῖθρα,
δικαιοσύνην, φρόνησιν, ἀνδρίαν, σωφροσύνην,
ὡς εἴγε μὴ τῷ μολυσμῷ τοῦ φόνου κατεχράνθη, B
ἀστὴρ ἂν ἦν αὐτόχρημα φωσφόρος ζωογόνος.
Ὡς δέ ποτε καὶ Τζιμισχῆν ἀπήγαγε τοῦ βίου
τὸ πάγκοινον ὀφείλημα τῆς φυσικῆς ἀνάγκης
ἔτεσιν ἓξ μετὰ Φωκᾶν κρατήσαντα Ῥωμαίων,
ἐξήνθησε Βασίλειος σὺν ἅμα Κωνσταντίνῳ,
οἱ πορφυρόφυτοι βλαστοὶ τοῦ Ῥωμανοῦ τοῦ πρώην
Ῥωμαίων αὐταρχήσαντος παιδὸς τοῦ Κωνσταντίνου.
οἵτινες τὴν παππόπατρον κρυβεῖσαν βασιλείαν
κἀν τοῖς Φωκᾶ καὶ Τζιμισχῆ διακοπεῖσαν χρόνοις
πάλιν ἐξήνεγκαν εἰς φῶς, πάλιν ἐπισυνῆψαν,
χρυσῆν, ἂν εἴποι τις, σειρὰν ἀλυσιδοῦντες ταύτην. C
τοιοῦτον γάρ συνέβη τι τοῖς πορφυροβλαστήτοις
ὡς εἴ τι δένδρον μαρανθῇ χειμῶνος ἐπελθόντος,

5905 ῥεῖθρα βλύζων A 5907 συνεχράνθη M v. 5911 om R
5915 πατρόπαππον AR

Talis nimirum pastor erat Zimisches, qui belluas persequebatur, pro suis pecudibus excubias agebat, nec somnum oculis videbat suis, in hoc incumbens ut immanium ferarum maxillas contunderet. rursus idem pacis tempore mitis suavis urbanus erat. oculos habebat amabiles, vultus meram voluptatem stillabat, facie laetissimus, manu munificentissimus, corde magnanimus et plane magnificentissimus: erat denique paradisus quasi quidam novus, e quo fluvii quattuor promanabant, iustitia, prudentia, fortitudo, temperantia. quodsi Phocae imperatoris caede semet non contaminasset, reapse fuisset instar sideris luciferi.

Posteaquam naturae debitum persolvisset, exactis post Phocam in imperio sex annis, efflorescere ceperunt Basilius et Constantinus purpurigenae, Romani filii, qui pridem rebus praefuerat patre Constantino natus. hi patritum et avitum imperium aliquamdiu prorsus obscuratum, et tam Phocae quam Zimischae annis interruptum, rursus in lucem extulerunt quasique interpolatum continuarunt, aurea catena quadam colligatum. nimirum accidit hisce purpurigenis eiusmodi quiddam ac si ar-

καὶ πάλιν ἐκθηλάσειε καὶ πάλιν ἐξανθήσει
τῆς ἔαρος φαιδρότητος γλύκιον γελασάσης,
ἢ καὶ καθάπερ ἂν ἀστὴρ καλλιφανὴς κρυβείη
καὶ θολωθῇ καὶ καλυφθῇ τῷ πάχει τῷ τοῦ νέφους,
καὶ πάλιν ἀναλάμψειε λυθέντος τοῦ σκοτοῦντος.
Καὶ τοίνυν ὁ πρωτόφυτος τῶν τῆς πορφύρας κλάδων,
ζηλώσας τὸν πρωτόπαππον αὐτοῦ τὸν Μακεδόνα
καὶ τὸν καρτερικώτατον ἥρω τὸν Ἡρακλέα,
τὰς μὲν τρυφὰς ἀπέπτυσε καὶ τὰς ἡδυπαθείας,
καὶ βίον τὸν ἀνέσιμον ἀπέστυξε καὶ χαῦνον,
τὸ δὲ τραχὺ καὶ τὸ σκληρὸν τῶν ἐργομόχθων ὅπλων
D *καὶ θώρακας καὶ κόρυθας καὶ φάσγανα καὶ βέλη*
εἵλετο μᾶλλον νέκταρος γλυκαζουσῶν ψεκάδων.
ἐντεῦθεν τρυφερόπεπλον περιβολὴν ἐστύγει
καὶ τράπεζαν ἁβρόσιτον φλεγμαίνουσαν τοῖς ὄψοις
καὶ κλίνην πορφυρόστρωτον καὶ μαργαροφορίας,
ἀσπίδων δὲ δουπήματα καὶ πάταγον ἁρμάτων
ὑπὲρ ὀργάνων ἴυγγας θελξιμελῶν ἡγεῖτο.
ἐντεῦθεν περισφύρια καὶ σιδηραῖ κνημῖδες
καὶ δόρυ πολεμόχαρτον ἦσαν αὐτῷ στερκτέα.
πλὴν ἀλλ' ἡ τύχη βάσκανον ὄψιν ἐπιβαλοῦσα
ἀντέπιπτεν ἀντέπραττε τῇ τηλικαύτῃ θέρμῃ
καὶ τὸν φλογμὸν ἐμάραινε καὶ τὴν ὁρμὴν ἐπεῖχε.
P 121 *καὶ γὰρ ἀνακινήσασα πρὸς τὴν ἀποστασίαν*

5922 *τὴν ἔαρος φαιδρότητα — γελάσασαν* M   v. 5923 add R   5926 *ὁ τῆς π. κλάδος* M   5927 *τὸν Μακ.*] *καὶ Μακ.* AM   5930 *ἐμείωσε* M   5931 *καὶ τὸν τραχὺν καὶ τὸν σκληρὸν τὸν* M   5935 *τὰς ὄψεις* AR   5937 *πέταλον* M   5942 *τὴν τηλικαύτην γνώμην* A   5944 *ἀποκινήσαντα* M

bor, quae hiberno tempore marcuit, rursum venustate veris periucunde quasi arridente reflorescat, vel pulcherrimi splendoris sidus occultetur a nube, ac rursum dissipata re, quae luminibus eius officiebat, effulgescat. maior autem e fratribus natu Basilius abavum suum Basilium Macedonem laborisque tolerantissimum Herculem imitatus, ac voluptatibus repudiatis otiosam mollemque vitam perosus, asperitatem ac duritiem armorum, loricas, galeas, enses, tela cuivis nectari praeferebat. hoc studio ductus vestitum mollem, mensas delicatas, lectulos purpura constratos, unionum gestationes oderat: e contrario scutorum collisiones et armorum strepitus maioris quam quorumvis instrumentorum melicis numeris animos oblectantium illecebras aestimabat, adeoque calcaribus et tibialibus ferreis et bellicis hastis gaudebat. veruntamen fortuna invidis eum contuens oculis fervorem hunc impetumque restinxit et inhibuit.

Βάρδαν ἐκεῖνον τὸν σκληρόν, τὸν μέγαν ἐν ἰσχύϊ,
ἄνδρα πολεμικώτατον, εὔτολμον, φρυακτίαν,
αἱμάτων τε ταυτογενῶν τῷ βασιλεῖ παγέντα,
ἐξήγειρεν ὡς ἕτερον Ἄδερ τὸν παλαμναῖον,
καὶ τὴν ζωὴν ἐκύκησε τοῦ κράτορος ὡς πλοῖον
νέφους ποθὲν ἀπορραγεὶς ἄνεμος θυελλώδης.
ἐπὶ πολὺ δὲ τῷ σκληρῷ τῆς μάχης τριβομένης
καὶ κατεχόντων τὴν ἀρχὴν κινδύνων ἐφεστίων,
Ἀσία μὲν ἠφάνιστο τῇ τῶν Ἀῤῥάβων σπάθῃ
καὶ τὰ Ῥωμαίων ὅρια τοῖς Σύροις ἐστενοῦντο,
οἱ Βούλγαροι δ' ἐπήλαυνον κατὰ τῶν παριστρίων
καὶ Θρᾴκην ἐληΐζοντο τὴν ἀγχιτερμονοῦσαν. B
ἐν μέσοις δ' ἦν ὁ βασιλεὺς ὡς ἐν πελάγει σκάφος,
ὡσεὶ στρουθοῦ νεόττιον ἐν στόματι δρακόντων.
ἀλλ' αἴφνης ἀντεπηύγασεν ἀπὸ χειμῶνος ἔαρ,
ἀντὶ τῆς ζάλης ἔπνευσε τῆς κυματώδους αὔρα
ἡδύπνοος, ἐπάγουσα τοῖς πράγμασιν εὐδίαν.
καὶ Βάρδας μὲν ὑπέκυψε τῇ τοῦ κρατοῦντος ῥάβδῳ,
καὶ πάντες ὑπεστάλησαν λάθρᾳ βασιλειῶντες,
εἶχε δ' εὐθὺς Βασίλειον Ἀῤῥάβων ἐθναρχία
καὶ Φάσιδος τὸ πότιμον ἰβηροτρόφον ῥεῖθρον
καὶ γῆ Φοινίκων βλέψασα ταυτὸν ὡσεὶ πρηστῆρα.
ἔφριξαν τοῦτον Ἴβηρες, ἔπτηξαν Ταυροσκύθαι·
ὁ γαῦρος ἐδραπέτευεν ἐκεῖνος Ἰβηράρχης.
οὕτως ὀξέως ἅπασαν ἐπέδραμεν Ἀσίαν. C

5958 στόμασι A 5959 αὖθις A ἀντὶ M 5963 σφόδρα M

quippe concitato ad defectionem Barda Duro, magnae potentiae viro, bellicoso, audaci, arrogante, cognato imperatoris, velut alterum quendam Aderum commovit, atque ita vitam imperatoris conturbavit ut ventus procellosus ex nube prorumpens navigium succutere solet. dum hoc bellum diutius durat ac de industria protrahitur a Duro, periculis intestinis imperium exagitantibus, Asia per Arabes vastata est, fines Romani a Syris coartati, vicinae Istro regiones cum Thracia finitima Bulgarorum excursionibus vexata. medius inter hos imperator, tanquam in mari navicula, fluctuabat, aviculae pullo in ore draconum similis. verum mox hiemis loco ver effulsit, et pro tempestate procellosa spirare coepit aura iucunda, tranquillitatem rerum omnium secum ferens. nam Bardas imperatoris se virgae summisit, et omnes clam regnum affectantes se represserunt. ab eo tempore mox imperator Arabum dicionem, Phasidi vicinam terram, Phoenicem presteris in morem invasit; quo factum ut Iberi atque Tauroscythae vehementer expavescerent. ita celeriter uni-

οὐκ ἔδωκεν ἀνάπαυσιν τοῖς ἑαυτοῦ κροτάφοις,
οὐδὲ βλεφάροις νυσταγμόν, οὐδὲ ταῖς κόραις ὕπνον,
ἕως τοὺς λύκους ἤλασε τοὺς προβατοσπαράκτας.
ἐπέγνων τοῦτον τὴν ἰσχὺν οἱ δυνατοὶ Βουλγάρων·
ἐβάφησαν τοῖς αἵμασιν ἐκείνων πεδιάδες,
κορμοὶ δρυῶν ἐγένοντο τὰ τούτων θνησιμαῖα,
ἕλη συνέστη πολλαχοῦ τοῖς ἐκρυεῖσι φόνοις.
τότε στρατὸς Αὐσονικός, ὁπλίτης, οὐχ ὁπλίτης,
τῆς Θρᾴκης κατεχόρευε βήμασιν ἐλευθέροις·
ἁπανταχῇ γὰρ ἔστρωτο τὰ τῶν Βουλγάρων σκήνη,
οὐχ ἧττον ἢ τὰ πτώματα πάλαι τὰ τῶν Δαρδάνων
Τροίαν σκαμανδρογείτονα κείροντος Ἀχιλλέως.
D ἐπέσχεν οὖν ὁ βάρβαρος τοῦ θράσους πρὸς ὀλίγον·
τὴν γὰρ στρατεύσιμον ἀκμὴν εἶδεν ἐρημωθεῖσαν.
καὶ πάλιν ἀνηλάλαξε κραυγὰς ἐνυαλίους,
καὶ πάλιν θροῦν ἐσάλπισε σημάντορα τῆς μάχης,
καὶ πάλιν ὁ Βασίλειος ἀμφέθετο τὸ ξίφος
καὶ πάγχαλκον ἐδούπησε βαρύκτυπον ἀσπίδα,
καθάπερ πολεμόκλονος τειχεσιπλήτης Ἄρης,
καὶ πᾶν εὐθὺς κατάχαλκον ἐγίνετο πεδίον.
οὐδὲ γὰρ ἐνηυλίζετο θαλάμοις βασιλείοις,
ὡς τρυφερὸν κοράσιον ὄψεις ἀρρένων φεύγων,
ἀλλ' ἔτεγγον ἑωθιναὶ τούτου βοστρύχους δρόσοι,
οὓς πάλαι ἐκηπεύσαντο τὰ τῆς πορφύρας μύρα.

5971 κροτάφοις M 5976 ὕλη M 5979 ἔστρωντο A 5980 παλαιά M 5981 κείραντος M 5982 δάρδανος R το θράσος A ἐπ' M 5983 ἰσχὺν M 5985 ἐσάλπιζε A 5989 ἐγένετο M 5993 πόλλ' ἐκήπευσάν ποτε AR

versam Asiam percurrit, neque suis oculis quietem somnumve concessit ullum, donec laceratores ovium lupos exterminasset. senserunt et Bulgarorum optimates potentiam ipsius, campis eorum sanguine tinctis, et cadaveribus passim quercinorum truncorum more sparsis quasique silvam quandam efficientibus. milites Romani tam gravis quam levis armaturae per Thraciam liberrime tum vagabantur, examinatim prostratis non minus ubique Bulgaris atque olim Troiani passim caesi iacebant, Achille ipsos trucidante. quapropter de ferocia sua nonnihil remisit barbarus, qui suorum militum robur extinctum cerneret. at eodem mox clamores bellicos edente classicumque tollente, Basilius quoque gladio se accingebat, aheneumque scutum instar Martis bellici tumultus pleni et murorum expugnatoris quatiebat, campis armatorum multitudine completis. non enim solebat regiis in thalamis cubare, more delicatae ac tenerae puellae, quae virorum conspectum fugit: sed matutini rores cincinnos ipsius plerumque madefaciebant, qui olim unguentis imperatoriis perfundeban-

καὶ πάλιν μάχαι δύσμαχοι, πάλιν ἀνδροκτασίαι,
καὶ θράσος θυμοβάρβαρον ὁ βάρβαρος ἐδείκνυ, P 122
ὡς κάπρος δόρατος αἰχμὴν ὠθῶν ἐν τοῖς ἐγκάτοις.
ὥπλιστο μὲν τὸ στράτευμα μερῶν ἐξ ἑκατέρων,
καὶ πάντες ἦσαν πνέοντες μένος θυμοῦ καὶ μάχης,
πάντες σιδηροχίτωνες, χαλκάσπιδες, λογχῖται·
μελίας ἐπεφέροντο πάντες χαλκοβαρείας.
ἡ σάλπιγξ ἐνυάλιον καὶ μάχιμον ὑπήχει,
καὶ πόλεμος φθισίμβροτος ἔφριξε ταῖς ἐγχείαις,
καὶ θροῦς καὶ παρακελευσμὸς ἀμφοῖν τοῖν στρατευμάτοιν.
ὡς δ' εἰς ταυτὸ συνῄεσαν Βούλγαροι καὶ Ῥωμαῖοι,
συνέπεσον ὡς λέοντες, ὥσπερ ἀφρισταὶ κάπροι,
καὶ ξίφος πᾶν ἐμαίνετο, καὶ χεῖρες οὐκ ἠρέμουν,
παλάμαι δ' ἐπαλάσσοντο τοῖς τῶν πιπτόντων λύθροις, B
καὶ τῶν ἀσπίδων ὁ θλασμὸς καὶ τῶν δοράτων θραῦσις
τὸν πάταγον ἀνέπεμπεν βαρύθρουν ἀγριόθρουν.
καὶ βασιλεὺς τοὺς ἀμφ' αὐτὸν ὡς ἴρηξ ὠκυπέτης
παρεπορεύετο κινῶν κατὰ τῶν βαρυφρόνων.
τέλος Βουλγάρων ὁ στρατὸς ᾤχετο κλίνας νῶτα,
αἱ δὲ Ῥωμαίων φάλαγγες εἵποντο κατὰ νώτου,
κτεινοῦσαι τὸν ὑπίστατον, πίπτοντας συμπατοῦσαι,
διώκουσαι τὸν φύλαρχον, ἵππους νευροκοποῦσαι,
καὶ τὰς σκηνὰς ἁρπάζουσαι καὶ σκύλοις ἐντρυφῶσαι.

6001 ἐπήχει A, ἀπήχει M 6005 ὡς ἀφρισταί τε M 6008 θραυσμός M θλάσεις M 6009 ἀπέπεμπον AM 6016 ἁρπάσασαι σκύλοις ἐκεντρ. M

tur. rursus ergo pugnae ancipites atque caedes occipiebantur, et barbari animi ferociam barbarus ostentabat instar apri, qui hastae cuspidem sua intra viscera furens adigit. iam ab utraque parte milites ad praelium armari; omnes iram pugnamque spirare, omnes loricis ferreis, scutis aereis, hastis gravibus sese munire; tuba mavortium ac bellicum quiddam sonare; hastae densari ac inhorrescere; clamores tolli; cuncta in utroque exercitu apparari. cum ad manus ventum esset, leonum et spumantium aprorum more concurrebant: enses furebant; manus haud cessabant, sed cadentium cruore polluebantur; scuta cum hastis comminuebantur terribilemque strepitum excitabant. interim suos imperator obire tanquam celeriter volans accipiter, et adversus hostes irritare. tandem Bulgarorum copiis terga dantibus Romani fugientes persequi, postremum quemque caedere, cadentem pedibus proculcare, principem gentis indagare, nervos equorum incidere, castra hostium diripere, spoliis opimis potiri.

Οὕτως ὁ κράτωρ φρύαγμα παρέλυσε Βουλγάρων
καὶ τὴν ὀφρὺν κατέσπασε τὴν ὑπερεπηρμένην.
C οὕτως τοὺς κύνας ἤλασε τοὺς κηρεσιφορήτους
ἐκ μανδρευμάτων τῶν αὐτοῦ καὶ τῆς ἀγελαρχίας.
οὕτως οἰκτροὺς τοὺς σοβαρούς, οὕτω δειλοὺς τοὺς γαύρους
πόνοις συχνοῖς εἰργάσατο, δούλους ἀντ' ἐλευθέρων.
Ἐπεὶ δ' οὐ φείδεταί τινος Ἅιδης ὁ παντοφάγος,
συνέσχον καὶ Βασίλειον αἱ μύλαι τοῦ θανάτου,
καὶ τὸν Ῥωμαίων ἑδρασμὸν ἠλόησαν ὡς σῖτον,
πλὴν ἐν βαθεῖ καὶ λιπαρῷ καὶ μακροχρόνῳ γήρᾳ,
ἐν ἔτεσι πεντήκοντα κρατήσαντα Ῥωμαίων.
ἡ δὲ βασίλειος ἰσχὺς καὶ τὰ Ῥωμαίων σκῆπτρα
πρὸς τὸν αὐθόμαιμον αὐτοῦ τὸν Κωνσταντῖνον τρέχει.
ἀλλ' ἦν ἐπαληθεύουσα πάντως ἡ παροιμία·
ποδονιπτὴρ καὶ κύπελλον ἐκ τῶν αὐτῶν χωμάτων,
D ζωμήρυστρον καὶ σαρωτρὸν ἐκ τῆς αὐτῆς ξυλείας.
οἱ βίοι γὰρ τοῖν ἀδελφοῖν ἦσαν ἐκ διαμέτρου
ἀλλήλων παραλλάττοντες ἀπειρομέτροις μέτροις,
ὅσον ὁ μὲν Βασίλειος τὰς ἡδονὰς φαυλίσας
μελέτην τῶν πολεμικῶν ἐτίθετο τὸν βίον,
ἄνδρας ἀεὶ φυλοκρινῶν εὐίππους ὁπλοφόρους
καὶ τοὺς χαλκεοθώρακας καὶ πολεμοστολίστους,
ὁ Κωνσταντῖνος δ' ἔμπαλιν· οὐδὲ γὰρ φέρων βλέπειν
κνημίδων περισφύρια καὶ σιδηροῦς χιτῶνας,

6021 ταύρους M 6026 μακρῷ M βαθυχρόνῳ M v. 6027 om R 6029 τρέπει M 6032 ζωμήρυσις R 6037 πολυκρινῶν M 6038 χαλκοθωράκους τε M

Sic Bulgarorum fastum imperator coërcuit et supercilium illud elatum depressit; sic agitatos fato quodam canes suis a caulis et gregibus abegit; sic superbos miseros, sic feroces timidos, sic ex liberis servos per varias aerumnas effecit.

Sed quando nemini parcit Orcus, etiam Basilius ad mortis delatus est portas, quae fulcrum illud Romanorum instar frumenti triturarunt. accidit tamen hoc illi matura provectaque iam aetate, cum imperio quinquaginta totis annis praefuisset. post eum regia potestas ad fratrem ipsius Constantinum devenit. sed verum erat in hoc omnino verbum illud vulgo iactatum "ex eadem argilla pelluvium et poculum, ex eodem ligno vas coquinarium et scopae." nam horum fratrum vitae modis infinitis et ex diametro pugnabant. Basilius spretis voluptatibus omnem vitam in rerum bellicarum exercitatione consumebat, viros equestres, armatos, loricatos, ad bellum comparatos magni semper faciens: ex diverso Constantinus tibialium calcaria cum tunicis ferreis ne adspicere

οὐ δοῦπον ἁρματόκτυπον ἀκούειν κἂν ἐν ὕπνοις,
οὐδὲ τῆς σάλπιγγος βοὰς τῆς πολεμιστηρίας,
οὐ λαλαγὰς ἀρεϊκάς, οὐ κέλαδον κακόθρουν,
τρυφαῖς ἐσχόλαζεν ἀεὶ καὶ λιπαραῖς τραπέζαις, P 123
καὶ γυναιξὶν ἐπέχαιρεν ἀσέμνοις ὀρχηστρίσι,
φιλαύλοις φιλοπαίγμοσι φιλοκιθαριστρίαις,
καὶ ταῦτα παλαιόχρονος πέμπελος ὢν τριγέρων.
ψυχὴν δὲ δειλοκάρδιον καὶ τρομαλέαν ἔχων
ἀπὸ ψιλῆς διαβολῆς τοὺς πλείους ἀπετύφλου,
ὡς δῆθεν ὑπορύττοντας δόλους ἀποστασίας.
ἐπὶ δυσὶ τὸν βίον δὲ σαλεύων θυγατράσι,
καὶ πρός τινων ἐκδιδαχθεὶς ὡς μετ' αὐτὸν τὸ κράτος
εἰς Ῥωμανὸν φοιτήσειεν, ἕνα τῶν τῆς συγκλήτου,
ἐπίκλην Ἀργυρόπουλον, βιάζεται τὸν ἄνδρα
τὴν ἄλοχον καὶ γαμετὴν τὴν πρὶν ἀποβαλέσθαι
καὶ συζυγῆναι τῇ Ζωῇ τῇ πορφυροβλαστήτῳ. B
καὶ ταῦτα διαθέμενος μεθίσταται τοῦ βίου,
βραχὺ τῆς αὐτοκράτορος ἀρχῆς παραπολαύσας,
καὶ χρόνους δύο μόναρχος δειχθεὶς αὐσονοκράτωρ.
Καὶ Ῥωμανὸς ἐγκάθηται τοῖς βασιλείοις θρόνοις,
ἀνὴρ σοφός, θεοσεβής, ἐμμελετῶν τοῖς θείοις
καὶ βίβλοις χαίρων τὰ πολλὰ καὶ στάσεσι παννύχοις·
ὃς ἄγαν μεγαλοπρεπῶς τῇ θεοτόκῳ κόρῃ

6042 τὰς R πολεμιστηρίου M 6043 θόρυβον M 6046 καὶ φαύλοις M 6049 ἄνδρας M 6055 αὐτὴν M 6061 θεοφιλὴς M τὰ θεῖα M

quidem sustinebat, curruum strepitus ne per somnum quidem audire, bellicae tubae clangores, voces et tumultus Martios ferre non poterat, voluptatibus lautisque mensis perpetuo deditus, ac delectationem capiens ex consuetudine impudicarum mulierculārum, saltatricum, tibicinarum, ridicularum, citharistriarum, tametsi iam decrepitus senex foret. idem formidoloso corde praeditus nuda et levi plerumque calumnia perpellebatur ut complures oculis spoliaret tanquam fraudes defectionis occulte struentes. cum filias tantum duas haberet deque illis sollicitus esset, ac monitus a quibusdam foret imperio post ipsum quendam ordinis senatorii virum, cui nomen esset Romanus, cognomentum Argyropulus, potiturum, vi hominem adegit ut uxore prima repudiata Zoen filiam suam in purpura natam matrimonio sibi iungeret. atque his ita constitutis et ordinatis vitam cum morte commutavit, cum perpusillo tempore, solo nimirum biennio, rebus praefuisset.

Inde Romanus in solio regio collocatur, vir sapiens, religiosus, divinas res studiose pervestigans, libris plerumque se oblectans, et noctur-

ἀνεδομήσατο μονὴν ἣ Περίβλεπτος κλῆσις.
καὶ τοίνυν ἡ βασίλισσα νεότητι σφριγῶσα
καὶ σφαδασμοῖς σωματικοῖς περιθερμαινομένη,
καὶ βλέπουσα τὸν Ῥωμανὸν καθ' ἑαυτὸν βιοῦντα
C καὶ μηδὲ μιμνησκόμενον ὡς δέδεται γυναίῳ
καὶ συνοικοίη γυναικί, καὶ ταῦτα νεαζούσῃ,
φαύλαις τισὶ καὶ σοβαραῖς ἐννοίαις ἐσοβεῖτο.
ἦν δέ τις καλοπρόσωπος εὔοπτος νεανίας·
ὄνομα τούτῳ Μιχαήλ, γένος ἐκ Παφλαγόνων.
ἐκείνῳ δὴ τῷ Μιχαὴλ τῷ χαριτοβλεφάρῳ,
τῶν ἀνακτόρων ταῖς αὐλαῖς ἐμπεριστρεφομένῳ,
ἡ βασιλὶς ἐρωτικὸν ἐπιβαλοῦσα βλέμμα
καὶ τοῦ προσώπου τὰς αὐγὰς ἰδοῦσα καὶ τὸ κάλλος
(ἦν γὰρ τρυφεροπάρειος, εὐχρούστατος, χαρίεις,
κατάλευκος, ἐξέρυθρος, ἔρωτος στάζων δρόσους)
ἐρωτικῶς ἐμίγνυτο, καὶ συνεχῶς ἐτρύγα
ἐκ τῶν προσώπων Μιχαὴλ τὰ τῶν χαρίτων ῥόδα.
D καὶ δή ποτε τῷ Ῥωμανῷ τῷ βασιλεῖ τὴν σάρκα
ψυχαγωγοῦντι τοῖς λουτροῖς καὶ παραμυθουμένῳ
ἄνδρες τινὲς χαιρομισεῖς φονίως ἐμπεσόντες
ἀπάγχουσιν ὡς δράκοντες ἐμφύντες τῷ τραχήλῳ,
οὐκ οἶδα πῶς εἰς τὸ κακὸν ἢ πόθεν προαχθέντες,
εἴθ', ὥς φασι, καὶ τῆς Ζωῆς εἰς τοῦτο συμπραττούσης,
ἢ συνειδυίας μηδαμῶς (οὐδὲ γὰρ ἔχω λέγειν),

6070 μοχθηροῖς R   6083 χερομισεῖς MR, χαιρομισεῖς A
6086 συννευσάσης R

nis stationibus. virgini deiparae delubrum magnificentissimum exstruxit, quod Peribleptae sive spectatissimae templum nuncupant. caeterum imperatrix aetate vigens et tentationibus corporeis incalescens, ac Romanum interea videns suis intentum rebus vivere, qui mulieri se iunctum non recordaretur, et quidem iuveni, pravis et improbis quibusdam cogitationibus mire discruciabatur. erat autem quidam adolescens forma venusta et elegante, nomine Michaelus, patria Paphlago, in quem versantem in aula coniectis imperatrix oculis, animadversoque vultus splendore ac gratia (genas enim delicatulas et teneras habebat, colore praeditus optimo, venustus, cute candida, rubicundus, meros amoris rores stillans) non solum exardescebat, verum etiam cum eo consuetudinem habebat, et oculos suos frequente Michaeli contuitu pascere solebat. tandem aliquando Romanum imperatorem balneis se recreantem ac foventem adorti viri quidam facinorosi, draconum ritu collum eius constringentes, suffocarunt, incertum quo pacto et per quos ad hoc scelus impulsi, vel annuente, ceu vulgo perhibent, Zoe, vel prorsus ignara:

ἔτη δὲ πέντε ἥμισυ κρατήσαντα Ῥωμαίων.
τοιούτῳ τρόπῳ τῆς ἀρχῆς μεθίσταται καὶ βίου.
Τοῦ Ῥωμανοῦ δὲ τὴν ζωὴν τὴν κάτω λελοιπότος
ὁ Μιχαὴλ ἀρχηγετεῖ καὶ δράττεται τῶν σκήπτρων,
ὁ πρὸ βραχέος ἀφανής, ὁ ταπεινὸς τῷ γένει,
τοῦτον μισθὸν εὑράμενος τῶν μοιχιδίων λέκτρων.
ἦν δὲ καλὸς ὁ Μιχαὴλ οὐ μόνον τῷ προσώπῳ, P 124
ἀλλ' ἔλαμπε καὶ χάρισιν ἃς ἀρεταὶ γεννῶσι,
αἳ τῆς ψυχῆς στολίστριαι καὶ τοῦ νοὸς λαμπάδες.
συνίει γὰρ ὡς συνετὸς καὶ καθ' αὑτὸν ἐσκόπει
ἐξ οἵας ταπεινότητος ἔπτη πρὸς βασιλείαν,
ἐξ οἵας τῆς φαυλότητος εἰς οἷον ὕψος ἤρθη.
ἐντεῦθεν ἦν εὐέντευκτος, ἄτυφος, μετριόφρων,
καμπτόμενος εἰς ἔλεον, οἰκτείρων δυσπραγοῦντας,
ψυχαγωγῶν τοὺς ἐνδεεῖς, ὀλβίζων τοὺς ἀπόρους,
καὶ τοὺς ψυγέντας τῷ κακῷ τῷ τῆς ἀχρηματίας
ἀναζωῶν καὶ ζωπυρῶν καὶ συντηρῶν καὶ θάλπων,
καὶ χρυσορείθροις νάμασιν ἀρδεύων τοὺς διψῶντας.
οὐδεὶς αὐτὸν θεώμενος ἀπῄει δακρυχέων, B
οὐδεὶς δὲ λιταζόμενος ᾤχετο σχετλιάζων.
ἀλλὰ γὰρ ἐσπαράττετο νόσῳ δυσφορωτάτῃ,
ὡς ὁ Σαοὺλ τῷ πονηρῷ πνιγμῷ τοῦ δαιμονίου,
καὶ τὴν ζωὴν κατώδυνον εἶχε καὶ κινδυνώδη,
εἴτ' οὖν ὑλαίων ἐκ βρασμῶν θολούμενος καὶ πίπτων,

v. 6088 om R 6092 καὶ τ. M v. 6099 om R 6106 ἀπῄει — λιταζόμενος om M

nihil enim hic quod dicam habeo. sic ille vitam et imperium reliquit, annis eo quinque cum sex mensibus potitus.

Extincto Romano Michaelus imperare occepit, paulo ante obscurus ob generis humilitatem, mercedem hanc furtivae consuetudinis nactus. erat autem Michaelus non forma solum praestante, verum etiam virtutum donis fulgebat, quae animi sunt exornatrices ac mentis faces. nam uti vir prudens intelligebat ac secum ipse considerabat ex quam humili sorte maximam ad sublimitatem pervenisset. propterea facilis ad eum patebat aditus, hominem fastus expertem, modestum, ad misericordiam proclivem, miserantem calamitosos, egenos sublevantem, pauperes beantem, ab inopiae gelu laesos vicissim quasi calefacientem et foventem, sitientes aureo potu rigantem. nemo in conspectum eius admissus lacrimans abibat: nemo petens aliquid aegro discedebat animo. sed enim gravissimo quodam morbo laborabat, ut Saulus olim, a genio malo vexatus; quo fiebat ut vitam calamitosam et periculis obnoxiam ageret, vel cor-

εἴτε βιαίῳ κολαστῇ δαίμονι προσπαλαίων.
πολλάκις γάρ τοι κατὰ γῆς ἄφωνος ἐρριπτεῖτο,
ἀφρὸν ἐμῶν τοῦ στόματος, σίελον ἀποβλύζων,
τὰ χείλη μελαινόμενος, τὰς κόρας διαστρέφων,
φθογγὰς προπέμπων δυσηχεῖς ἀσήμους προβατώδεις,
κἂν μή τινες ἐντύχοιεν ἀρήγοντες τῷ πάθει,
τειχοκρουστῶν τὴν κεφαλὴν καθάπερ ἀλλοτρίαν.
C ἀπὸ τοιούτου πτώματος πολλάκις ἀνασφήλας
θερμότερος ἐγίνετο τῆς ἀρετῆς ἐργάτης,
καὶ πλέον ἐπεμέλετο τῆς ἔνδον εὐεξίας,
καὶ τὴν μονάστριαν ζωὴν μᾶλλον ὑπερεδίψα.
ἦσαν δ' αὐτῷ ταυτόαιμοι κἀκ τῶν αὐτῶν σπερμάτων
ἄνδρες φαυλότροποί τινες, κηφῆνες ἁρπακτῆρες,
ἄνθρωποι δυσανάγωγοι, κτηνώδεις, κακοήθεις,
καὶ τί γὰρ οἱ βουθρέμμονες, χοιρόβιοι, βουζύγαι,
ἄνδρες προβατοθρέμμονες, ἀπόζοντες τοῦ γράσου,
καὶ πρινοκάρπων φροντισταὶ καὶ τῶν δρυοβαλάνων;
τοιούτων οὖν τῶν ἀδελφῶν ὄντων τοῦ βασιλέως
κἀν τοῖς κακοῖς ἐπρώτευεν ὁ καὶ τῷ γένει πρῶτος,
D ἐκτετμημένος πρὸ μακροῦ τοὺς παιδουργοὺς κυλίνδρους,
ἄνθρωπος κακουργότροπος, σκαιός, ῥυπαρογνώμων,
ὃς σχὼν τὴν ἐπιμέλειαν τῶν γηροκομουμένων
καὶ τἄλλα πάντα τῆς ἀρχῆς ἦγεν ἄνω καὶ κάτω
καὶ τοῦ κρατοῦντος ἄντικρυς ὤπτο λεοντοκόμος.

6114 συέλες AR ἀπολύζων M 6116 δυστυχεῖς M 6117 ἀρήξοντες R 6120 ἐγένετο M 6123 αἱμάτων M 6124 φαυλότατοί M 6126 οἱ] οὗ; βουζύγοι M 6132 κακεργότατος A

poris succussionibus hominem perturbantibus et prosternentibus, vel gravi scelerum vindice genio cum ipso colluctante. quippe frequenter amissa voce humi collabebatur, ore spumam salivamque copiosam reiiciens, et labris nigricantibus, oculis distortis sonos quosdam horribiles obscuros ac brutos emittens. quodsi aliqui opem laboranti non ferrent, caput suum tanquam alienum parietibus allidebat. quoties malum nonnihil remittebat, longe acrius et ardentius virtuti studebat, internamque valetudinem curabat, solitariae vitae cupidissimus. habebat autem fratres viros improbos, fucos rapaces, intractabiles, belluinos, insolentes; qui apud porcos aetatem exegerant et bubulci opilionesque fuerant, hircum redolentes, glandium et aliorum silvestrium fructuum collectores. et horum princeps sceleribus erat is qui etiam aetate reliquos antecedebat, iamdudum castratus, vir moribus nequissimis, ferox, sordidus, praefectus iis aedibus in quibus senio confecti curabantur; qui sane imperii negotia sursum deorsum volutabat, et imperatorem ita tractabat ut bel-

οὗτος οὖν πείθει Μιχαὴλ εἰσποίητον γενέσθαι
υἱὸν τὸν ἀδελφόπαιδα Ζωῇ τῇ βασιλίσσῃ.
ἦν ταῦτα καὶ τοιαῦτα μέν, τὰ δ' ἐφεξῆς ὁποῖα;
ὁ βασιλεὺς τὸν Μιχαὴλ (οὕτω γὰρ ἐκαλεῖτο)
τῇ γαμετῇ παιδοθετεῖ, καὶ Καίσαρος στεφάνῳ
τὸν κτηνωδέστατον κοσμεῖ, τὸν ἄντικρυς χοιρόνουν.
αὐτὸς δὲ συμπνιγόμενος τῷ πάθει τῷ συμφύτῳ
καταστολὴν ἐνδύεται κρείττονα πορφυρίδος,
τοῦ πνεύματος τῷ μέλανι τοὺς πέπλους μεταβάψας, P 125
καὶ τῇ γαλήνῃ προσδραμὼν ἐκ πολυσάλου βίου,
ἐφ' ὅλοις ἔτεσιν ἑπτὰ τῆς βασιλείας ἄρξας.
Ἐντεῦθεν ἡ βασίλισσα φροντίζει τῶν τοῦ κράτους,
καὶ τὸν ἀνδραδελφόπαιδα τὸν Μιχαὴλ ἐκεῖνον
τοῖς τῶν ἀνάκτων οὐ καλῶς κατακοσμεῖ συμβόλοις,
ἄνθρωπον κακοδαίμονα, χοιρώδη, προβατόνουν,
καὶ φύσει μὲν εἰσφέροντα σκαιότητας συμφύτους,
τῆς δὲ νεότητος αὐτὸν εἰς πλέον ἐκτρεπούσης
ἀποπτυστῆρα χαλινοῦ πῶλον παραζηλοῦντα, B
καὶ πωλικὰ σκιρτήματα καὶ λακτισμοὺς ἀτάκτους
ἀντιφιλοτιμούμενον τῇ θηλασάσῃ θρέπτρα
μετὰ τὸ σπάσαι τῆς θηλῆς καὶ τῆς τροφῆς εἰς κόρον.
κἀνταῦθα μόνον ἡ Ζωή, τὸ τῆς πορφύρας ἔρνος,
ἠγνόησεν ἀγνόημα θλίψεις πολλὰς κεράσαι,
ὅτι τὸν ὄφιν ἔθαλπεν ἐγγάστριον τιθεῖσα

6138 ταῦτα καὶ τὰ τοιαῦτα AR 6143 κρείττονος M v. 6146 om R 6147 τὰ M 6150 κακομήχανον R χειρόνουν M 6151 συμφύλους A 6152 αὐτοῦ A 6156 τῆς τροφῆς καὶ τῆς θηλῆς R

lnas suas leonum curatores solent. hic etiam auctor fuit ut Michaelus quidam, imperatoris ex sorore nepos, ab imperatrice Zoa adoptaretur. igitur imperator hunc quidem adoptandum dat coniugi, et hominem plane brutum ac porco similem Caesaris corona cingit: ipse vero morbo consueto pressus indumentum purpura melius, vestitum scilicet nigrum ac spiritualem, pro turbulenta vita tranquillitatem amplexus, sumit, cum in imperio septem annos exegisset.

Secundum haec gubernationis curam in se transfert imperatrix, et mariti sui nepotem ex sorore Michaelum non recte signis imperatoriis exornat, hominem diabolicum, belluinum, a natura proclivem ad quaevis facinora, et ob iuventutis insolentiam pullo consimilem frenum respuenti, et insultus ac recalcitrationes petulantes ei pro nutricationis praemio reddenti quae ipsum velut uberibus suis aluerat, posteaquam scilicet mammam eius suxisset et ad satietatem ab ea pastus fuisset. atque hac quidem in parte nata in purpura Zoe commisit ex ignoratione

καὶ βασιλείας τὸν μαστὸν τῷ δράκοντι παρεῖχεν.
ἐπεὶ γὰρ ἐπελάβετο πραγμάτων τηλικούτων
ἄνθρωπος νέος, ἄβουλος, ἀγέρωχος, αὐθάδης,
ὡς οἶνος νεοπάτητος ὑβρίζων καὶ καχλάζων,
τῆς τύχης τὴν εὐμένειαν οὐκ ἴσχυσε βαστάσαι,
κἀντεῦθεν εἰς βαθύκρημνον ἐξεκυλίσθη χάος·
μόλιβδος γὰρ βαρύφορτος, φασίν, εὐημερία,
κἂν οὐκ ἐντύχῃ κραταιῷ τῷ φέροντι τὸ βάρος,
C κύμβαχον ῥίπτει κατὰ γῆς ἐκεῖνον καὶ συμπνίγει.
καὶ πρῶτα μὲν τοὺς τῆς ἀρχῆς προάρχους καὶ προβούλους
βαρβαρικῶς ἐκόλαζε τὰ παιδογόνα τέμνων,
ὥστε πολλοὺς ἀμείψαντας τὴν τῶν ἀρρένων φύσιν
ἡμιανθρώπους γίνεσθαι καὶ μὴ γνωστοὺς τῇ φύσει.
οὕτως εὐθὺς ἀπὸ γραμμῆς πρώτης κακὸς ἐφάνη·
τοὺς γὰρ πονηρογνώμονας καὶ κακεντρεχεστάτους
ἐπὶ μιᾶς, ὡς λέγουσιν, ἡμέρας γνώσεταί τις.
ἔπειτα προσλαβόμενος νηπιοβούλους παῖδας
καὶ πρωτοβούλοις χρώμενος νήπιος τοῖς νηπίοις,
καθάπερ πρὶν ὁ Ῥωβοὰμ ὁ Σολομῶντος γόνος,
τὰς βασιλίσσας ἐξωθεῖ Ζωὴν καὶ Θεοδώραν,
D καὶ νησιώτιδας αὐτὰς θέμενος ἀποκείρει.
ὅπερ δεινοὺς ἐξήγειρε φλοίσβους τῷ ταλαιπώρῳ,
ὡς ἄνεμος ἐπιπεσὼν θαλάσσῃ σκαφηπλόῳ

6160 μαζὸν M 6163 ἐμβρύζων καὶ κοχλάζων M 6166 βαθύφορτος R 6168 συντρίβει AM 6169 πρῶτα μὲν οὖν AR 6170 ἐκόλασε M 6171 ἀλλάξαντας M 6172 τὴν φύσιν A 6175 ἀπὸ A 6182 σκαφοπλόῳ R, σκαφοπλώτῳ A

quiddam quod aerumnarum ei variarum origo fuit; quae nimirum serpentem in sinu suo foverit et imperii mammam draconi praebuerit. etenim posteaquam tantarum rerum administrationem aggressus est homo iuvenis, expers consilii, ferox, contumax, musti recentis in morem fervens et ebulliens, fortunae propitiae benignitatem ferre non potuit, ideoque confusum ac profundum in praecipitium prolapsus est. nam prosperitas est, ut aiunt, consimile quiddam gravi plumbo; et si hominem robustum non nanciscatur, qui oneri ferendo par sit, pronum in terram praecipitat et proterit. primum igitur Michaelus imperii proceres et consiliarios principes barbaricum in morem genitalibus exsectis multavit, quo facto a prima quasi linea se improbum declaravit: quippe sceleratos homines et ad malitiam sollertes vel uno quis die, ceu dici consuevit, agnoverit. deinde iuvenibus puerilia consilia suggerentibus adiunctis sibi ac primorum in consiliariorum numerum relatis, perinde ac Roboamus olim Solomonis filius sese gerebat, Zoen et Theodoram reginas eiecit et rasas quandam in insulam relegavit. ea res gravissimas misero turbas dedit,

καὶ κάτωθεν ἀπὸ μοχλῶν αὐτὴν ἀναμοχλεύσας.
τότε παρῆν κατανοεῖν ἐξ ἐναργῶν πραγμάτων
ὁποῖον πλήθους εὔνοια περὶ τὸν εὐεργέτην,
καὶ πόσα σθένει κοίρανος ἄρχων στρατάρχης κράτωρ
πατρὸς στοργὴν καταπλουτῶν περὶ τοὺς ὑπὸ χεῖρα
καὶ παρ' αὐτῶν φιλούμενος καθάπερ ὑπὸ τέκνων.
ἐπεὶ γὰρ ἠνωτίσατο τὸ πλῆθος τὰ τοιαῦτα,
ὡς τὰς ἀνάσσας ὁ κρατῶν ὑπερορίους θείη,
ὡς τρίχας σφῶν ἀεκουσῶν ἀποθερίσοι βίᾳ, P 126
ὡς τὰς ἐσθῆτας τὰς αὐτῶν εἰς μέλαν μεταχρώσει,
θυμοῦ καχλάζει τῇ πυρᾷ, λίθους εὐθὺς ἁρπάζει,
ξύλα καὶ πᾶν τὸ προστυχόν, βώλους, κορύνας, ξίφη.
ὥπλιστο καὶ τὰ γύναια κερκίσιν ὥσπερ λόγχαις,
καὶ σὺν κραυγῇ καὶ λαλαγῇ πρὸς τὸν κρατοῦντα τρέχει,
τὰς βασιλίσσας ἐκζητοῦν ὅλαις χερσὶ καὶ γνώμαις,
καὶ βλασφημοῦν τὸν Μιχαὴλ βοαῖς ἀγριωθρόοις.
τότε δὴ τότε τρομερὰ λαγίνα καθωρᾶτο
δράκων ὁ πρὶν βλοσυρωπός, ὁ λέων χαμαιλέων.
τοῦ θράσους καθυφίησι καὶ τῆς ἀλαζονείας,
καὶ γοργοπλόοις σκάφεσιν ἄγει τὰς βασιλίσσας,
καὶ πάλιν ἀποδίδωσιν αὐταῖς τὴν κρατορίαν B
τὴν ἐκ προγόνων προσγενῆ, τὴν ἐκ τῶν ἐπιπάππων.
πλὴν ἀλλὰ πάλιν ἡ πυρὰ τῆς στάσεως ἀνῆπτο,
πάλιν ἀνερριπίζετο κατὰ τοῦ καταπτύστου.

6185 *ὁποῖα* M *ἀρχηγέτην* MR 6186 *πόσῳ* M *κρατάρχης* R, *στρατάρχων* M 6187 *καταπατῶν* R *ὑποχείρους* R 6190 *θύει* R 6191 *ἀποθερίσας* M 6193 *λαμβάνει* M 6198 *φωναῖς* AM 6199 *λαγωὸς* M

non aliter atque si ventus in mare incumbens totum ab imo commoveat. animadvertere tum erat ex certis rerum argumentis quanta res sit benevolentia plebis erga principem, et quantae sint eius vel regis vel magistratus vel bellici ducis vires, qui animo erga subditos paterno affectus est et vicissim ab eis tanquam liberis suis diligitur. posteaquam enim auditione populus ea quae gesta fuissent accepisset, nimirum reginas ab imperatore solum vertere iussas, invite rasas, nigris vestibus indutas, ingenti furore percitus mox lapides, ligna, quasvis res semet offerentes, glebas, clavas, gladios corripit, ipsis etiam mulierculis radios hastarum armorumque loco usurpantibus. deinde magno cum clamore ad imperatorem currunt, manibus et animis reginas ab eo repetentes, et ipsum Michaelum vocibus immanissimis conviciando proscindentes. ille vero prius draconi terribili et leoni similis, nunc instar leporis feminae vel chamaeleontis formidolosus conspici, de ferocia remittere, celeribus navigiis reginas adducere, gubernationem et imperium eius avitum patrium-

καὶ τοίνυν ἄφυκτον ἰδὼν ὁ κάκιστος τὴν βίαν,
καὶ πάντοθεν κυκλούμενος ὡς ἄρκτος ὑπ᾽ ἀρκύων,
πειρᾶται τάχα τὴν ζωὴν κλέψαι ποσὶ φυγάσι,
καὶ δραπετεύει λαγωός, εἴποι τις ἄν, εἰς πέτραν,
καὶ τράπεζαν τὴν μυστικὴν καταφυγὴν ποιεῖται.
ἀλλὰ τὸ πλῆθος ἐκκαυθὲν καθάπαξ εἰς μανίαν
αὐτὸ τὸ πῦρ, ὡς ἔοικεν, ὑπερνικᾷ τὸ βρέμον·
ἔνδον καὶ γὰρ τῶν ἱερῶν ἀδύτων εἰσδραμόντες
C *ἐκεῖθεν ἀφαρπάζουσι τὸν τάλανα βοῶντα*
σὺν στεναγμοῖς καρδιακοῖς, σὺν δάκρυσιν ἐνθέρμοις,
καὶ κόρας ἐξορύττουσιν αὐτοῦ ταῖς μαχαιρίσι.
καὶ σὺν αὐτῷ τὸν δυσσεβῆ πατράδελφον τυφλοῦσι,
ἄνθρωπον δύστροπον, σκαιόν, κάκιστον, παντορέκτην,
μῆνας οὐ πλέον τέσσαρας γευσάμενον τοῦ κράτους.
καὶ πάλιν αἱ βασίλισσαι τὸ στέφος ἀναδοῦνται,
καὶ πάλιν τὴν πατρόπαππον ἀρχὴν κατακληροῦνται.
τῆς ζάλης δὲ τῶν πειρασμῶν ἀπελασθείσης πόρρω,
ἔπνευσε ζέφυρος ἡδύς, ἐγέλασεν εὐδία.
Ἀλλ᾽ ἡ βασίλισσα Ζωὴ τὸ τῶν Ῥωμαίων κράτος
κράτορος ἀρρενόφρονος χρῄζειν διεγνωκυῖα,
καὶ παίδων δὲ διαδοχῆς καὶ τοκετοῦ διψῶσα
D *καὶ γλιχομένη τεκνουργὸς ἀκοῦσαι παιδομήτωρ*
(ὑπὸ δυοῖν γὰρ κοπετοῖν ὡς δένδρον ποτισθεῖσα

6208 *ἄρχος* M 6209 *κλέψαιτο τῇ φυγάδι* M 6210 *ἐν πέτρᾳ* A 6212 *πολλάκις* M v. 6220 om R 6221 *κράτος* M 6223 *γὰρ* AR *ἀπελαθείσης* A 6227 *τε* M 6229 *ἀπὸ* R *τοκετῶν* R, *κηπευτῶν* A

que restituere. nihilominus de integro fax seditionis accensa fuit adversus hominem abominandum. quapropter inevitabili vi perspecta, cum instar ursi a canibus cincti se undique circumdatum cerneret, vitam fuga conservare nititur, et quod vulgo dici consuevit, lepus ad rupem sese proripit, ad mensam mysticam perfugii loco tendens. verum populus saepenumero ad furorem usque accensus ignem ipsum vincere solet. nam cum intra ipsa adyta sacra cursu perrupissent, inde miserum avellunt, et clamanti gementi lacrimanti oculos novaculis eruunt, eadem poena etiam patruo ipsius irrogata, qui vir erat moribus improbis, nequam, sceleratus, omnium appetens. imperii gustum non ultra 4 menses percepit. secundum haec rursus imperatrices administrationem rerum in sese recipiunt, et traditum a maioribus imperium usurpant. quare procul expulsa vexationum tempestate, iam dulcis favonius spirabat, et serenitas quaedam suaviter arridebat.

Caeterum regina Zoe cum statuisset imperium Romanum virilis imperatoris opera indigere, simulque successores ex se natos consequi cu-

ἄχλοος ἐκινδύνευεν, ἄφιλος, αὖος μένειν),
ἄνδρα τινὰ χαρίεντα τοὔνομα Κωνσταντῖνον
Λεσβόθεν μεταπέμπεται σκάφεσι λαιφοπτέροις,
ὃν Μονομάχον ἔλεγον ἐκ πατρεπωνυμίας.
καὶ γὰρ καταδεδίκαστο ταύτην οἰκεῖν τὴν νῆσον
ὑπὸ τοῦ πρώτου Μιχαὴλ τοῦ βεβασιλευκότος,
κατ᾽ ἄλλους μὲν ὡς τὴν ἀρχὴν πειρώμενος ἁρπάζειν
(ἄνδιχα γὰρ ἐκράτησαν αἱ περὶ τούτου φῆμαι),
ὡς ἄλλοι δέ τινές φασιν, οἷς ἀψευδὴς ἡ γλῶσσα,
ὡς συμφθαρεὶς ἐρωτικῶς Ζωῇ τῇ βασιλίσσῃ.
τὴν Λέσβον οὖν καταχριθεὶς οἰκεῖν ὁ Κωνσταντῖνος,
καὶ κινδυνεύσας παρ᾽ οὐδὲν σβεσθῆναι καὶ τὰς κόρας, P 127
αἴφνης πεσόντος ἔμπαλιν τοῦ κύβου τοῦ τῆς τύχης
καὶ τῶν ὀστράκων τῶν αὐτῆς ἄλλως μεταρριφέντων
αὐτάναξ ἀναδείκνυται, δεσπότης ὁ πρὶν δοῦλος,
αὐταρχος ὁ κατάκριτος καὶ κράτωρ ὁ δεσμώτης,
καὶ τὴν βασίλισσαν Ζωὴν νυμφεύεται πρὸς γάμον.
οὕτως ἀστάθμητός ἐστι τῶν γηγενῶν ὁ βίος·
οὕτω πραγμάτων ὁ τροχὸς ἄνω καὶ κάτω τρέχων
κυλίνδει πάντα τὰ θνητὰ καὶ φύρδην μετατρέπει.
αἱ φῆμαι δὲ μορφάζουσι τοῦτον τὸν Μονομάχον
τῶν μὲν μαχίμων ἀδαῆ καὶ τῆς ὁπλοφορίας,
τὰ δ᾽ ἄλλα μεγαλοπρεπῆ, φιλόδωρον, ἀστεῖον,

6240 οὗτος AR 6243 μεταρριφθέντων M 6244 ἀποδείκνυται R 6248 τρέχει M 6249 δεινὰ M

peret (quippe tametsi cuiusdam arboris instar a duobus hortulanis rigata fuerat, tamen periculum erat ne absque germinibus et foliis arida maneret), elegantem quendam virum, cui Constantino nomen esset, Duellatori cognomentum paternum, e Lesbo celeribus navigiis arcessivit. nam relegatus in hanc insulam fuerat a Michaelo, qui non ita pridem regnaverat, propter imperii cupiditatem, quod ad se rapere conatus fuerat, uti nonnulli tradunt (diversi enim hac de re rumores emanarunt), affirmantibus aliis, quorum aliena putatur a mendaciis lingua, propter occultam cum imperatrice Zoe consuetudinem exulatum abire iussum in eam quam diximus insulam, cum parum abfuisset quin oculos etiam amitteret. nunc autem contrariam in partem lapsa fortunae tessera, et aliter conversis quasi testis illius, imperator et rerum dominus renuntiatus est, qui antea condicione servus erat et exilio multatus et in custodiam datus. neque multo post Zoen imperatricem matrimonio sibi iunxit. ita nimirum versatur in incerto vita mortalium: ita rerum humanarum rota sursum deorsumque currens omnia volutat, et confuse invertit. accepimus autem fama Duellatorem hunc rerum quidem militarium fuisse pror-

λαμπρόψυχον, φιλόκοσμον, ἐπιεικῆ τοὺς τρόπους,
B φιλοδωρίας θάλασσαν, λίμνην ποτιμωτάτην,
ἐξ ὧν ἀπήλαυσαν πολλοὶ χευμάτων καλλιχρούνων,
ἐξ ὧν ἀπήντλησαν πολλοὶ νάματα ζωοτρόφα·
τὰς φλέβας γὰρ ἁπανταχῇ διακρουνίσας ὤφθη,
χρυσοδίνης Πακτωλός, Νεῖλος ἀργυροχεύμων.
ἐπέγνων τούτου καὶ λαοὶ παλάμας φιλοδώρους,
ἐπέγνων τούτου καὶ ναοὶ τὰς φιλοκόσμους χεῖρας.
οἱ πένητες ἐξέπιον ἤντλησαν, ἀλλ' εἰς κόρον·
πᾶν τέμενος ἀπήλαυσεν ἀρδείας χρυσορείθρου.
οὕτω κοινὸς ἦν ποταμός, ἁπανταχοῦ λιμνάζων·
ἐκένου γὰρ τῶν δωρεῶν ἀφθονοχύτους χύσεις
ὡς εἰς ἀτρήτους ἀγωγοὺς τοὺς καταπονουμένους.
C καὶ Ξέρξης μὲν ὁ συβαρὸς ἐκεῖνος ὁ Περσάρχης
ὑπὸ καλὴν πλατάνιστον ἀνακλιθεὶς ἐν θέρει
κόσμιοις ἀψύχοις τὸ φυτὸν ἀντεφιλοτιμεῖτο·
τοῦ δὲ καὶ πέτραι καὶ φυτὰ καὶ νῆσοι καὶ λειμῶνες
χάρισιν ἐπιάνθησαν εὐδρόσοις ἀειρύτοις.
οὕτω μεγάλην τὴν ψυχήν, οὕτω πλουσίαν εἶχε.
κἂν γνῶναι θέλῃ τις αὐτοῦ τὰ τῆς λαμπροψυχίας,
ἡ λαμπροδόμητος μονὴ πιστώσεται τὸ πρᾶγμα,
ἣν ἐκ θεμέθλων ἤγειρεν, ἀπὸ ῥιζῶν ἐσχάτων
τῷ θείῳ χριστομάρτυρι τῷ τροπαιοφοροῦντι.
ἀλλὰ γὰρ οὕτω τοῖς καλοῖς θάλλων ὑπὲρ τὰς κέδρους,

6257 τὸ βλέμμα A 6262 χρυσορρύτου AR 6263 ἁπανταχῇ A 6264 ἐκείνου M 6266 καὶ] ὁ M 6267 καλὸν A 6269 λιμένες AR 6274 ἀπὸ βάθρων R τῶν πρώτων A 6276 καὶ M λάμπων M

sus imperitum, caeteroqui vero magnificum, liberalem, urbanum, magnanimum, moderationis et aequitatis studiosum, ac praesertim ita munificum ut esse liberalitatis quoddam quasi mare videretur, cuius fructu multis frui contingit, emittentis quasdam quasi venas et scaturientis in morem auriferi Pactoli Nilique argentiflui. quippe munificas ipsius manus expertae sunt nationes integrae, templa, pauperes. erat enim fluvius ubique semet effundens, et munera copiosissime distribuebat in aerumnosos tanquam in tubulos et canales haud perfossos. superbus quidem ille Xerxes, Persarum rex, cum aestivo tempore sub platano pulcherrima recubuisset, arborem ornamentis inanimis vicissim cohonestavit: at huius imperatoris beneficiis continuis scopuli arbores insulae prata rigata sunt. tam magnum animum tamque locupletem habebat. quodsi quis eius magnificentiae cupit argumentum habere, fidem illi faciet domus illa splendidissime constructa de fundamento in honorem victoriosi testis Christi Gregorii. sed enim qui adeo fulgebat bonis

οὕτω κομῶν ταῖς ἀρεταῖς ἀείφυλλος ὡς φοῖνιξ,
ἄγαν πονηρῶς τῆς σαρκὸς εἶχε τῆς χωματίνης, D
ποδάγρας ταῖς βαρύτησιν ἐσφίγγετο τοὺς πόδας
ὡς ποδοκάκαις ἰσχυραῖς, ὥσπερ ἀλυκτοπέδαις.
καὶ τοίνυν διημέρευεν ἐν μαλακοῖς δεμνίοις
παραμυθούμενος αὐτῷ τοὺς κατακόπους πόδας.
ἐντεῦθεν ἀνερράγησαν αὐτῷ πολυκυμίαι
καὶ συμφορῶν καὶ πειρασμῶν ἄνεμοι κυματίαι.
ἤκουσται πάντως ὁ δεινὸς ἐκεῖνος Μανιάκης,
ἀνὴρ γιγαντοπάλαμος, ὀξύχειρ, ἀνδροφόντης,
θρασύσπλαγχνος, εὐκάρδιος, πνέων ὀργῆς ἐκθύμου.
ἐκεῖνος τοίνυν ἠθροικὼς ἄνδρας ἀγχεσιμάχους,
κορυνοφόρους, αἰχμητάς, ἄνδρας γιγαντοσώμους,
εὐαύξητον ἀναδρομὴν φέροντας τῶν σωμάτων,
ὑπὲρ πλατάνων ὑδρηλῶν μῆκος ὠργυιωμένους,
ὡς νέφος ὑπὲρ κεφαλῆς ἔστη τοῦ βασιλέως P 128
παχύ, ζοφῶδες, θολερόν, μελάντερον καὶ πίσσης,
ὄμβρους ῥαγδαίους ἀπειλῶν, οὐχ ὑδατίους ὄμβρους,
ἀλλὰ ῥοὰς αἱματηράς, ἀλλὰ φονίους χύσεις.
κατέλαβε τὰ φρούρια, κατέλαβε τὰς πόλεις.
ἐπῄει βρέμων τῷ θυμῷ, φυσῶν ὑπὲρ Κενταύρους,
ὡς Καπανεὺς μεγαλαυχῶν, κομπάζων ὡς Ἀνταῖος.
καὶ τίς ἂν ἤλπισε φυγεῖν ἀπὸ κακοῦ τοσούτου;
ἀλλ᾽ ὁ περιφρουρούμενος ταῖς τοῦ θεοῦ παλάμαις
οὐ δειλιάσει γίγαντας, οὐ θῆρας ὑποτρέσει,

6282 αὐτοῦ M 6285 πάντα M 6286 γιγαντοπόλεμος M
6287 εὐκάρδιον ζέων ὁρμῆς M 6289 θωρακοφόρους M
6291 δρυϊνῶν M 6294 ὑδατίνους R 6297 ἀπήει A, ἐπτόει M
6300 δορυφορούμενος AR

supra cedros, et qui virtutibus florebat tanquam omnibus durans aetatibus phoenix, corpore admodum erat languido et affecto: nam podagra laborabat, constrictis quasi per compedes quosdam pedibus. quamobrem in lecto decumbere coactus aegros et discruciatos pedes curabat. hinc tot in ipsum tempestates et aerumnae sunt concitatae. notus est acerrimus ille Maniaces, giganteum in morem bellicosus, manu promptus, caedibus gaudens, audax, fortis, animoso cordis impetu fervidus. is igitur cum egregias militum fortissimorum copias coegisset, quasi nubes quaedam horrida caput imperatoris operuit, quae pluvias vehementes, non aquosas sed fluxus sanguinis minaretur. hinc castellis et oppidis captis ita fervens progrediebatur, Centauros insolentia superans, ut Capaneus magnifice se efferens, ut Antaeus cum fastu se ostentans. et quis eiusmodi se malum evitaturum sperasset? enimvero quisquis dei manibus custoditur, gigantes non formidabit, belluas non metuet, non fer-

οὐδὲ τρομάσει σίδηρον οὐδὲ καμίνου στόμα·
φέρει γὰρ σύμμαχον θεὸν ὑπὲρ παντάρβην λίθον,
B ὑπὲρ τὸν περὶ Τίγρητα θηροδιώκτην Μίδαν.
ἐντεῦθεν ἥλιος φαιδρὰς ἀνέτειλεν ἀκτῖνας,
ἔλυσε τὴν σκοτόμαιναν, ἀπήλασε τὸ νέφος.
ἔβλεψαν φῶς ἐλεύθερον ὁ βασιλεὺς αἱ πόλεις,
ἐγένετο πλευρότρωτον τὸ δυσμενὲς θηρίον,
καὶ πάντες ἤλυξαν αὐτοῦ τὰς ὠμοφάγους γνάθους.
καὶ πάλιν ὁ Τορνίκιος ἄλλο κακὸν ἀνέφυ,
ἄλλο θηρίον Δανιὴλ ὃ προκατεῖδε πάλαι,
πατοῦν τὰ πάντα καὶ λικμοῦν καὶ τοῖς ποσὶ συντρῖβον
καὶ τὰ καταλειπόμενα συνθλάττον τοῖς ὀδοῦσι.
ἀλλὰ καὶ τοῦτον τάχιον ἀνήρπασεν ἡ δίκη,
ἀφύκτοις βέλεσιν αὐτοῦ κατατοξευσαμένη
καὶ τὸ θηρίον πλήξασα πληγὰς περιστερνίους.
C καὶ τότε περιέλαβε τὸν κράτορα γαλήνη
ἀτάραχος, οὐκ ἔχουσα κατάλειμμα χειμῶνος.
ὡς δὲ κατήπειγον αὐτὸν αἱ παλαμναῖοι νόσοι
καὶ τὸν πηλὸν τοῦ σώματος ἡ φύσις ἐπεζήτει,
τὰ κατὰ γνώμην θέμενος μεθίσταται τοῦ βίου
ἔτεσι δυοκαίδεκα τὸ κράτος διιθύνας.
Ὡς δὲ κατέλιπε ζωὴν τὴν κάτω Κωνσταντῖνος,
πρὸς τὴν πορφυροβλάστητον εὐθέως Θεοδώραν,
τὴν τῆς Ζωῆς ταυτόσπορον, τὸ κράτος μεταβαίνει

6302 τρομήσει M 6307 ἔβλεψε R φῶς ἀνέσπερον M, γῆν ἀννέφελον A 6310 ἐξέφυ A 6313 συντρίβον AM 6314 ἀφήρπασεν M 6315 αὐτοὺς M 6316 πληγαῖς περιστερνίοις M vv. 6321—23 om R 6325 αὐτόσπορον M

rum, non os ardentis camini timebit. magis enim habet opitulatorem deum quam Pantarbes lapis vel ferarum ad Tigridem persecutor ille Midas. post hasce turbas laetos sol vicissim radios emisit et illunem illam noctem atque nubem dissipavit, ut iam et imperator et urbes lucem caliginis expertem cernerent. quippe immanis illa bellua caesa est, et universi crudeles ipsius maxillas evitarunt. rursus autem aliud malum enatum est, nimirum Tornicius, alia bestia, quam olim conspexit Danielus, omnia proculcantem, comminuentem, pedibus atterentem et reliquias dentibus confringentem. verum hunc quoque vindicta citius telis suis inevitabilibus confixum abripuit. quo facto tranquillitatem nactus est imperator solidam et omnis tempestatis expertem. tandem gravibus morbis confectus, natura debitum suum exigente, rebusque suis ex animi sui sententia constitutis atque ordinatis, vitam cum morte commutavit, imperio duodecim annis administrato.

Constantino mortuo ad Theodoram Zoes germanam sororem, quae

(ἡ γὰρ βασίλισσα Ζωὴ πάλαι προετεθνήκει),
ἣ τῷ τοῦ κράτους πρὸς μικρὸν ἐπαναβᾶσα δίφρῳ,
καὶ μῆνας δέκα τῆς ἀρχῆς σὺν δύο βασιλεύσασα,
καὶ τὴν ἀνάλυσιν αὐτῆς γνοῦσα τὴν ἐκ τοῦ σκήνους
(ἦν δ᾽, ὥς φασιν, ἀπείρατος σώματος ῥυπαρίας) D
ἄνδρα τινὰ μακρόβιον πέμπελον τρομαλέον
ἐπιβιβάζει διφρευτὴν ἅρματι τηλικούτῳ.
καὶ τούτῳ κλῆσις Μιχαήλ, ὃς κατὰ μὲν τὸν χρόνον
ἀμετροβίοις ἤριζε κορώναις μακρογήρως,
ὁποίους ἤδη φθάσαντας ἐπὶ δυσμὰς τοῦ βίου
ἐκ τῆς λατρείας ἑαυτοῦ πόλεμος ἀπολύει,
τὰ δ᾽ ἄλλα καὶ σεμνότροπος καὶ βέλτιστος ἐδόκει.
ἀλλὰ γὰρ οὐκ ἐξίσχυσε τὰς τῆς καρδίας βλάστας
εἰς φῶς προάγειν καὶ δηλοῦν τὸν κατὰ βάθους στάχυν·
καὶ γὰρ ἐσφετερίζοντο πᾶσαν τὴν δυναστείαν
οἱ Θεοδώρας πρόσπολοι τῆς πορφυροβλαστήτου,
καταφρονοῦντες Μιχαὴλ ἄντικρυς ὡς ἀνίκμου
κράμβης ἀφύλλου γηραιᾶς, ἤδη διερρευκυίας, P 129
ὅτι καὶ κατεδέδετο φρικώδεσιν ὁρκίοις
πάντων αὐτοῖς ἐξίστασθαι καὶ λόγων καὶ πραγμάτων.
ἦν οὖν αὐτὸς ὡσεὶ σκιά, καὶ λόγοις μόνοις κράτωρ,
τὰ δ᾽ ἄλλα πάντα ταῖς χερσὶν ἐκείνων διῳκεῖτο
οὓς παιδοκόμους Μιχαὴλ ἔλιπε Θεοδώρα
καὶ φύλακας καὶ φροντιστὰς καὶ τῆς ἀρχῆς πατέρας·

v. 6328 om R 6330 σωμάτων AR 6334 μακρογήροις A 6335 ἡλίου A 6338 ἐξίσχυε R 6343 γεηρᾶς M ἐρρυηκυίας A 6345 αὐτῶν AM 6346 μονοκράτωρ M 6348 λέλοιπε A

dudum obierat, imperium rediit. non diu rebus praefuit, duodecim videlicet mensibus; cumque se migraturam e mortali corpore deprehenderet, etiamnum virgo, ceu perhibetur, virum quendam aetate provecta senemque prorsus capularem in locum suum substituit. ei nomen erat Michaelo, prorsus decrepito, cum cornicibus annositate certanti, consecutoque rude donandam aetatem; qui tamen alioqui gravis et optimus esse videretur. sed enim cordis sui quasi germina producere in lucem et spicam in imo latentem extrudere non poterat: quippe famuli Theodorae potestatem universam usurpabant, contempto Michaelo veluti succi experte brassica, foliis nudata, iam putrescente. praeterea terribilibus sacramentis se obligaverat, pollicitus se cessurum ipsis quibusvis in rebus. quapropter umbra tenus et verbo tantum imperator erat: caetera per eos administrabantur quos diximus Theodoram Michaelo reliquisse tanquam pueri curatores, custodes, patres. bis enim pueri senes, ut

δὶς παῖδες γὰρ οἱ γέροντες κατὰ τὴν παροιμίαν.
ἐντεῦθεν οἱ προσαίνοντες καὶ προσιόντες τούτοις
καὶ πανταχῇ τοῦ νεύματος αὐτῶν ἐξηρτημένοι
ἠρύοντο λιμνάσματα τῶν εὐεργετημάτων.
ἄνθρωποι δὲ στρατηγικοί, πολέμων εὖ εἰδότες
καὶ ῥιζωμάτων εὐκλεῶν φύντες καὶ καλλικλάδων,
B οἷς εὐπατρίδαι πρόγονοι καὶ γένος ἐξ ἡρώων,
ὡς ἄγγος τι κεραμεοῦν ἄτιμον ἐρριπτοῦντο.
πιστοῦται τὸ λεγόμενον ὁ Κομνηνὸς ἐκεῖνος,
ᾧ κλῆσις Ἰσαάκιος, ὃς ἐπ' ἀριστουργίαις
ὀνόματος ἠξίωτο καὶ φήμης περιτράνου·
εἶχε γὰρ χεῖρας ἀγαθὰς περὶ πολέμων ἔργα,
καὶ τοὺς δακτύλους εὐφυῶς ἤσκητο πρὸς τὰς μάχας.
ὃς προσελθὼν τῷ Μιχαήλ, καὶ τοὺς καρποὺς τῶν πόνων
δαψιλεστέρους παρ' αὐτοῦ δρέψασθαι προσδοκήσας,
καὶ τῶν ἐλπίδων μὴ τυχὼν καὶ μὴ τρυγήσας ῥόδα,
ἀλλὰ καὶ μᾶλλον ὕβρεων εὑράμενος ἀκάνθας
C πρὸς τῶν κακίστων κηπευτῶν τοῦ τῆς ἀρχῆς λειμῶνος,
περιαλγὴς γενόμενος βλέπει πρὸς τυραννίδα,
καὶ προσεταιρισάμενος τὸν Δοῦκαν Κωνσταντῖνον
καὶ πλείους ἄλλους τῶν πολλῷ πλούτῳ περιβριθόντων
καὶ τῶν τοῦ γένους τὰς ἀρχὰς λαμπρὰς ηὐτυχηκότων,
καὶ συλλεξάμενος στρατὸν Ἀσίηθεν ὁπλίτην,
ἀντέπεισι τῷ βασιλεῖ τοῦ θρόνου κατασπάσων.

6352 πανταχοῦ M 6353 λιμνάσματα τῶν ἐνεργετημάτων M 6357 κεράμιον M 6363 τῶν καρπῶν τοὺς πόνους AR 6366 ὕβρεως A 6368 οὐκ ἐνεγκὼν τὴν ὕβριν R 6371 τὸν — εὐτυχηκότα M 6372 ἀσίαθεν R

est in proverbio. hinc usu veniebat ut quicunque palpos istis obtrudebant, frequenter adibant, in omnibus eorum nutui parebant, beneficiis multiplicibus afficerentur. e diverso viri militares, rerum bellicarum periti, familiis illustribus prognati, nobilibus et heroicis orti parentibus, tanquam vas aliquod fictile nullius pretii reiiciebantur. eius rei certum praebet argumentum Isaacius ille Comnenus, qui ex praeclarissimis facinoribus nomen atque famam celeberrimam consecutus erat, vir manu promptus et bellicis in rebus exercitatus. is Michaelo convento, cum fructus laborum uberes se percepturum existimasset, spe sua frustratus, ac non tantum non decerptis rosis, verum etiam a pessimis illis imperii gubernatoribus spinis iniuriarum punctus, immenso dolore percitus ad tyrannidem spectare coepit. cumque Constantinum Ducam et multos alios opulentissimos ac nobilissimos homines societate sibi devinxisset ac militum copias ex Asia collegisset, recta imperatorem invasit, solio

ἤκουσε ταῦτα Μιχαὴλ ὁ τρομερὸς ὁ γέρων,
καὶ κρίνας μᾶλλον ἑαυτὸν ἄξιον ἀφανείας
ὡς ἤδη τυμβογέροντα καὶ κατασεσηπότα,
ἕτοιμος ἦν ἐξίστασθαι τῷ Κομνηνῷ τοῦ κράτους.
ἀλλ' οἱ τὸ σκάφος τῆς ἀρχῆς ἰθύνειν κληρωθέντες,
μὴ σώζειν τοῦτο θέλοντες ἀλλὰ καὶ καταδύειν
καὶ κλύζειν τὸν ταλάντατον κύμασι βαρυβρόμοις,
εἰς μάχην καὶ μὴ θέλοντα τὸν γέροντα κινοῦσι D
καὶ τὸν μικροῦ τυμβόχωστον εἰς ἀντιπαρατάξεις.
[ἕτεροι δ' αὖθις λέγουσιν ὡς οἱ Ῥωμαίων κρείττους,
ἀρχιθυτῶν οἱ προύχοντες, λογάδες τῆς συγκλήτου,
αὐτὸν μετεκαλέσαντο παρέξοντες τὸ στέφος.
ἦν γὰρ ἀνὴρ στρατηγικὸς καὶ κυβερνᾶν ἰσχύων
τὴν ἱερὰν καὶ σωστικὴν τῆς βασιλείας σκάφην,
ἀνὴρ ἀγχίνους, δεξιὸς πρὸς ἔργα καὶ πρὸς μάχας,
καὶ μηδενὸς λειπόμενος τῶν πρώην βασιλέων.
εἴσεισιν οὖν ὁ Κομνηνὸς τὴν βασιλίδα πόλιν.]
ἐντεῦθεν μάχη σύμφυλος, καὶ δεξιαὶ Ῥωμαίων
κατὰ Ῥωμαίων τὰς αἰχμὰς θήγουσαι καὶ τὰς λόγχας
καὶ καταπαλασσόμεναι φόνοις τοῖς ὁμογνίοις·
καὶ δρέπανον ἐπέτετο διχάζον ὁμοφύλους
καὶ κατ' ἀλλήλων συγκινοῦν ὥσπερ ἐν σκοτομήνῃ
καὶ παῖδας ταυτοπάτορας ἀλλήλοις ἀγριαῖνον.

6374 ταῦθ' ὁ AM 6376 μᾶλλον καὶ σεσηπότα M 6379 τοῦτον M 6382 τὸν] πρὸ M vv. 6383—6390 add R 6394 ἐφέρετο M 6395 σκότει βέλη R

eum deiecturus. eius rei fama trepidus ille senex Michaelus ad se perlata, statutoque potius esse ut obscurus ageret in aetate tumulo vicina, paratus erat imperio cedere idque Comneno permittere. verum ii quos diximus, administratores imperii, non solum non cupientes publicae rei saluti consulere, sed potius eam longe afflictissimam gravissimis fluctibus demergere ac obruere cogitantes, repugnantem ac tantum non plane sepultum ad bellum gerendum et opponendam hosti aciem incitabant. [alii autem dicunt Romanorum optimates, pontificum praesules, principes senatus, advocasse eum, cui coronam tribuerent: erat enim vir ducendo exercitui aptus et qui gubernare valeret sacram illam et salutarem imperii navim, vir praesenti consilio, dexter ad opera et pugnas, nemini secundus regum antiquorum. intrat igitur Comnenus urbem regalem.] hinc intestino exorto dissidio manus et hastas Romani cum Romanis conseruerunt sanguineque cognato polluerunt, divisi et commoti adversus se in vicem, veluti per noctem lunae expertem, fratribus in

γίνεται γοῦν ὑπέρτερος ὁ Κομνηνὸς τῇ μάχῃ,
καὶ Μιχαὴλ καθίσταται τοῦ κράτους καὶ μὴ θέλων,
ἐνιαυτοῦ περίμετρον ἑνὸς σκηπτροκρατήσας.
P 130 καὶ πόλιν τὴν πρωτόπολιν φθάσας ἀπτέρῳ τάχει,
καὶ στέφος περιθέμενος κρατόρων αὐτανάκτων
ἐφήπτετο τῶν τῆς ἀρχῆς πραγμάτων αὐθεκάστως,
καὶ πᾶσι προσεφέρετο κατὰ τὸ μεγαλεῖον,
καὶ τοῖς ἀγχοῦ καὶ τοῖς μακρὰν καὶ τοῖς ἐν ἐξουσίαις.
καὶ τὴν ἁλμοποτίστριαν, τὴν φαύλην κολακείαν,
καὶ τοὺς αὐτῆς ναυτιασμοὺς ἀπὸ ψυχῆς ἐστύγει.
κἀντεῦθεν φορτικώτερος τοῖς πλείοσιν ἐδόκει,
καὶ πλείω τοῦ καθήκοντος φέρων ἀγερωχίαν.
πλὴν ἀπολαύσας τῆς ἀρχῆς οὐκ ἐν μακροῖς ἡλίοις,
ἀλλὰ τὸ δὴ λεγόμενον ὡς ἄγρωστις ἀνθήσας,
καὶ μετ᾽ ὀλίγον μαρανθεὶς ὑπὸ φθινάδων νόσων, —
ἐπὶ δυσὶ γὰρ ἔτεσι τοῦ κράτους ἀπολαύσας
B τὸν Δοῦκαν μὲν κατακοσμεῖ τοῦ κράτους τοῖς συμβόλοις
ὡς ὑπανοίξαντα πολλὰς αὐτῷ χρηματοθήκας
καὶ συναντιλαβόμενον τῆς πρώην τυραννίδος,
αὐτὸς δὲ τὸ τραχύβιον τοῦ κατὰ θεὸν βίου
ἑλόμενος ἀμφέθετο χιτῶνας μελαγχρόους,
καὶ δαπανήσας ἑαυτὸν ἔργοις μακροκαμάτοις
πολυζηλώτῳ τέρματι τὸν βίον καταλύει·
διὸ καὶ εὕρηκε ζωὴν ἥνπερ καὶ ἐπεπόθει.

6397 οὖν M vv. 6398—99 om R ἀφίσταται? 6400 αὐτὸς δὲ M 6405 ἀλκοποτίστριαν M καὶ AR 6410 δὲ φθεγγόμενον M v. 6412 om R 6416 κατὰ θεὸν τοῦ R 6417 μελαγχρώτους M 6419 πολυζήλῳ τῷ A v. 6420 om R

fratres exacerbatis. tandem Comnenus praelio superior evasit et Michaelus invitus amisit imperium, quod annum unum obtinuerat.

Itaque Comnenus celeriter occupata urbe principe ac imperatoria corona sumpta rem publicam arbitratu suo administrare coepit, seque pro maiestate erga quosvis, propinquos, remotos, cum potestate rebus praefectos, gerere, toto pectore adulationibus infestus. eam ob rem gravior aliquanto nonnullis et ferocior quam par esset videbatur. ubi non longo tempore, nimirum biennio, potitus imperio fuisset, ac uti proverbio dicitur, instar graminis floruisset, pauloque post ex diris morbis emarcuisset, Ducam quendam insignibus exornat imperii, qui suos ei thesauros aperuisset ac invadendae tyrannidis conatum adiuvisset: ipse vero vitam asperam et deo placentem amplexus vestitum nigrum induit, et variis diuturnisque laboribus exhaustus sane quam laudabili fine vitam in terris suam clausit. itaque vitam quam optarat invenit.

Ὁ Δοῦκας δὲ παραλαβὼν τοῦ κράτους τὰς ἡνίας
τὸ τέτρωρον τὸ χρύσεον ἴθυνεν ἀγχωμάλως,
καὶ χρώμενος βηματισμοῖς σχολαίοις βραδυπόροις,
μήτ' αὖθις ἅπαν ἐνδιδοὺς καὶ παραβόλως θέων, C
ἀλλὰ καὶ θράσους τὸν βρασμὸν ὥσπερ ἀνασειράζων
καὶ φεύγων τὸ κατὰ κρημνῶν ἐλαύνειν ἀπροόπτως
καὶ τοὺς τῶν ἁμαξοτροχιῶν κινδύνους ὑπεκκλίνων.
ἐν ἑπταρίθμοις δὲ παισὶ τὸν οἶκον ὑπερείσας
ὥσπερ ἐν κίοσιν ἑπτὰ παγίως ἀραρόσι,
καὶ μέλλων ἀπανίστασθαι τοῦ βίου καὶ τῶν βίου,
κλόνον ἀπειρομέριμνον εἶχε κατὰ καρδίας
καὶ κλύδωσιν ἐφέρετο φροντίδων ἐπαλλήλων.
ἔστεργε τὴν βασίλισσαν, ἤθελε ταύτην μένειν
τῶν παίδων τε φροντίστριαν καὶ τῆς ἀρχῆς μερῖτιν,
ὑπώπτευε τὸ τρυφερὸν πάλιν τῆς ἡλικίας·
τοῖς γὰρ βρασμοῖς καὶ σφαδασμοῖς τοῖς τῆς σαρκὸς ἐσφρίγα. D
ὑπώπτευε μὴ δεύτερον πρὸς λέχος ἀνακλίνῃ,
μὴ πάλιν μήτηρ γένηται παίδων ἀλλοβλαστήτων,
κἀντεῦθεν οἱ μὲν ἐξ αὐτοῦ φυέντες μαρανθεῖεν,
πρὸς δὲ τοὺς ἑτεροθαλεῖς τὸ κράτος μεταβαίῃ.
τοιαύταις κυματούμενος τῶν λογισμῶν ταῖς ζάλαις
μετάγειν τὴν βασίλισσαν ἐκεῖθεν ἐπειρᾶτο
καὶ τοῖς παισὶ καταλιπεῖν ἐλεύθερον τὸ κράτος,
ἄλλους αὐτοῖς διοικητὰς θέμενος ὡς νηπίοις.

6422 ἤγγικεν ἀγχιμόλως M 6423 ἱματισμοῖς σχολίοις M 6426 κρημνὸν AR 6428 θρόνον ἐπερείσας M vv. 6435—36 om R 6438 μὴ] καὶ M 6440 μεταβαίνῃ M

Post eum Ducas accepto imperio tanta id aequabilitate moderatus est, ut neque necessarium in rebus gerendis impetum prorsus inhiberet, sed gradatim ac pedetentim progrederetur, neque praeceps rueret, sed audacem iracundiam catena quasi quadam constringeret, necopinatis praecipitiis et periculis evitatis. cum domum suam septem liberis ceu columnis fulciisset, iamque vitam et res humanas relicturus esset, infinitis et continuis curis animum discruciabatur. amabat imperatricem, et volebat quidem illam manere liberum suorum curatricem regnique participem: sed vicissim delicatam et teneram eius aetatem suspectam habebat, futurumque metuebat ut illa secundas ad nuptias transiret (nec enim flammarum et tentationum carnis expers erat) ac post obitum suum ex alio liberos gigneret; unde forsan consequeretur ut ex se nati velut evanescerent, imperio ad illos alteros transeunte. huiusmodi cogitationum fluctibus agitatus imperatricem ab hoc instituto revocare conabatur et liberum suis imperium relinquere, tutoribus eis et curatoribus aliis tan-

ἀλλὰ τὸ μέλλον ἔοικε πάντων ὑπερισχύειν,
κατακαυχᾶσθαι λογισμῶν, ὑπερνικᾶν καρδίας.
καὶ τοίνυν ἡ βασίλισσα τούτων ἐπαισθομένη
καὶ πᾶν τὸ διαβούλιον μαθοῦσα τοῦ συλλέκτρου
P 131 *ὅρκοις αὐτὴν φρικώδεσιν οἷα δεσμοῖς συσσφίγγει*
μηκέτι παστοπήγια στῆσαι δευτέρου γάμου,
ἄλλους μηκέτι γνώσεσθαι θαλάμους γαμηλίους,
ἀλλὰ τοῖς τέκνοις τοῖς αὐτοῦ τὸ κράτος συντηρῆσαι.
Ὁ μὲν οὖν Δοῦκας τοῖς θεσμοῖς τοῖς φυσικοῖς ὑπήχθη
καὶ τὸ θνητὸν καὶ γηγενὲς ἀπεφορτίσθη βάρος
ἐν ἐπταρίθμοις ἔτεσι Ῥωμαίων βασιλεύσας·
ἡ δ' Εὐδοκία σύμπλοος ἐγίνετο τοῖς τέκνοις
ναυβάτις χρηματίζουσα τοῦ καλλιπρώρου σκάφους.
ἀλλ' αἴφνης ἀγριάνασαι σαρκὸς αἱ καταιγίδες
ἐξήγειραν δυστάραχον ἄνεμον κυματίαν,
ἐπήγαγον ναυτιασμοὺς ἐμέτους σκοτοδίνας,
B *ἠπείλησαν τοὺς πλέοντας θέσθαι κυματοκλύστους·*
πέλαγος γὰρ δυσχείμερον ὑπήνοιγε τὸ στόμα.
τί δὲ καὶ ποῖον τὸ συμβάν; ἄγε μοι, λόγε, φθέγγου,
μὴ παρὰ μέλος τὴν νευρὰν τὴν μουσικὴν ψαλάττων.
Ἦν Ῥωμανός τις στράταρχος, ἐπίκλην Διογένης,
ἐπίχαρις, εὐπρόσωπος, τὸ γένος Καππαδόκης,
εὖ ἔχων κάλλους σώματος, εὖ δὲ καὶ βραχιόνων,
εἶδος πλουτῶν ἐράσμιον, ἄξιον τυραννίδος.
οὗτος ἰδὼν τὰ πράγματα καὶ τὴν ἰσχὺν Ῥωμαίων

6446 *καὶ θυμῶν* R 6453 *δεσμοῖς* AM v. 6455 om R
6458 *ἀγριαίνουσαι* M 6460 *σκοτοδίνους* MR

quam impuberibus constitutis. sed enim quod futurum est, quavis re potius et valentius esse ac mortalium ratiocinationes et corda vincere videtur. quippe cum haec imperatrix odoraretur et totum mariti consilium animadvertisset, se ipsa terribilibus sacramentis quasi quibusdam vinculis adstrinxit et obligavit, pollicita nunquam se ad alteras nuptias progressuram, sed liberis communibus imperium conservaturam.

Secundum haec Ducas in fata concessit, et terrenam mortalemque molem deposuit, imperio septem annis administrato. successit ei coniux Eudocia cum liberis, in qua statim ab illius obitu saevientes carnis libidines procellam quasi quandam excitarunt. quid autem rei acciderit, indicare vera narratione libet.

Erat dux quidam copiarum, Romanus, cognomento Diogenes, natione Cappadox, vultu venusto, pulchro corpore, lacertis robustis, forma corporis amplissima pulcherrimaque ac regno digna. hic cum rem

ἐπὶ γυναίῳ κείμενα, καὶ ταῦτα φυσιῶντι,
ἐπὶ παισί τε τρυφεροῖς καὶ νηπιοδυνάμοις.
ὡς δράκων ἐπεσύριζε στρουθίοις ἀπτερώτοις,
καταπιεῖν μεγαλαυχῶν στόμασιν ὀστοφάγοις
αὐτὴν τὴν στρουθομήτορα μετὰ τῶν ὀρταλίχων, C
νήπιος, οὐδ' ἐγίνωσκεν ὡς λύγος ἰξοφόρος
εἰς γῆν ῥιπτεῖ τὸν ἀετὸν τὸν ἀεροβατοῦντα
καὶ στάλικες ἀγρεύουσι λινόπλοκοι τὰς ἄρκτους.
περινοστήσας τοιγαροῦν πόλεις περιθρακίας
ἤθροισε σμῆνος στρατιᾶς, ἐφώρμησεν, ἀντῆρεν,
ἐνύβριζε τοῖς κηπευταῖς καὶ τοῖς ἀμπελοκόμοις,
διαρπαγὴν ἐτίθετο τὰ τῶν γαιομαχούντων.
ὀλίγον τι τὸ μεταξύ, καὶ βοῦς ὁ μυκητίας,
ὁ βοῦς ὁ μεγαλόστερνος ἑάλω κυναρίοις.
ἤχθη κολασθησόμενος, τόλμης ὑφέξων δίκας.
εἶδεν αὐτὸν ἡ βασιλίς, τὸ κάλλος κατεπλάγη,
καρδίαν ἐρωτότρωτον ἔσχεν ἀπὸ τῆς θέας,
καὶ παρ' οὐδὲν τὸ τόλμημα τοῦ Ῥωμανοῦ θεμένη D
κἀκείνους ἀθετήσασα τοὺς φρικαλέους ὅρκους
ἐρωτικῶς συμπλέκεται, μίγνυται τῷ δεσμώτῃ,
ἀντὶ φρουρᾶς ἀνοίγνυσι θαλάμους νυμφιδίους,
ἀντὶ κλοιῶν χαρίζεται πέπλους καταμαργάρους,
καὶ λέχος τὸ βασίλειον ἀντὶ χαμαιστρωσίας,
καὶ κράτορα καθίστησι θανάτου ῥυσαμένη

6472 ἐπεσύριξε MR 6475 ὀξοφόρος A 6476 αἰθροβατοῦντα AR 6478 θρακίους M 6479 μελισσῶν M 6486 εἶχεν A βίας M

publicam administrari cerneret a muliercula fuco pingente faciem suam et teneris et imbellibus pueris, draconis in morem sibilo contra passerculos implumes edito matrem una cum pullis devoraturum se minabatur, ignorans homo stolidus sagitta etiam aquilam aëra permeantem in terram deiici, et furculis per lineas plagas connexis ursos capi. cum ergo Thraciae vicinas urbes obisset, quodam velut apum examine collecto progredi coepit et seditionem concitare, hortorum vinearumque cultores laedere, praedae subiicere, quotquot armati semet opponerent. non multum intercessit temporis, cum bos ille mugiens et ingentis pectoris a canibus capitur et ad luendas facinoris poenas abducitur. ad eius conspecti pulchritudinem imperatrix obstupuit, amore capta est, perpetratum a Romano facinus pro nihilo duxit, sacramentis illis horrendis plane spretis in amplexus captivi ruit, pro carcere sponsalem ei thalamum aperit, pro numellis vestes unionibus ornatas largitur, pro toro ex agrestibus frondibus humi parato lectum regium praebet, imperatorem denique renun-

τὸν Ἅιδου κινδυνεύοντα περιπεσεῖσθαι γνάθοις.
τοιαῦτά σου τὰ παίγνια, παῖκτα τροχὲ τοῦ βίου.
Ὡς δὲ παρῆλθε Ῥωμανὸς εἰς τηλικοῦτον ὄγκον,
ἀπὸ βαλβῖδος ἔδειξεν, ἀπὸ πρωτοδρομίας,
οἵας ἀρρενωπότητος θέρμην ἐν στέρνοις εἶχεν.
οὐ γὰρ τρυφαῖς ἐπέχανε ταῖς σωματικωτέραις,
P 132 οὐδὲ θελχθεὶς τῷ χρυσαυγεῖ περιπορφύρῳ φάρει
σκώληκος ἔζη βιοτὴν ἀθλίου γαιοφάγου,
σκότιος, ἐγκρυπτόμενος θαλάμοις βασιλείοις,
καὶ φεύγων οἷον τοὺς ἐχθροὺς καὶ μάχας ἀλυσκάζων,
καὶ τοῖς κακοῖς καὶ φαυλουργοῖς οὐκ ἐπισείων σπάθην·
ἀλλὰ θυμὸν ἀναλαβὼν κατὰ τῶν ἐκ τῆς Ἄγαρ
καὶ τὴν τοῦ ζήλου κατ᾽ αὐτῶν σπασάμενος ῥομφαίαν,
καὶ γῆν τοῖς τούτων πτώμασιν ὡς δράγμασι καλύψας,
καὶ τοῖς ῥεῖσιν αἵμασι θαλάσσας σχεδιάσας,
ἔδειξεν οἵαν Αὔσονες τρέφουσιν εὐανδρίαν,
ὁποίους τοὺς βραχίονας ἔχουσιν ἐν πολέμοις.
B κἂν μὴ τοῦ φθόνου τὸ δεινὸν ἀπεῖρξε τὸν γενναῖον,
ἂν μὴ κακίας ἔχιδνα κατέφαγε τὸν ἄνδρα,
οὐδ᾽ ἂν πυρφόρος ἔφυγε τὴν μάχαιραν τῆς δίκης.
ἀλλ᾽ ἡ κακίας ἄκανθα καὶ τὸ τοῦ φθόνου πλῆκτρον
κατεμωλώπισαν αὐτὸν ὑπὲρ σκορπίων κέντρα,
καὶ κόρας ἐξεκέντησαν αὐτοῦ τὰς τῶν ὀμμάτων.
ἦν μὲν γὰρ φύσει Ῥωμανὸς αὐθέκαστος, αὐθάδης,

6495 σοι M 6500 πυραυγεῖ M 6507 δράμασι M 6512 ἀλλ᾽ ἡ R 6515 σκορπίου κέντρον M

tiat eum qui iamiam Orco tradendus fuerat. hi tui sunt, o vitae rota, lusus.

At Romanus ubi tantum ad fastigium rerum praeter spem venisset, ab ipso limine primoque cursu ostendit quam virilis animi foret. non enim corporis voluptatibus inhiabat, non aurea purpureaque veste delectatus, instar miselli vermis e terra pastum quaerentis, vivebat obscurus, regiis in cubiculis abditus, hostes fugiens, praelia detrectans, adversus improbos et nefaria designantes gladium non vibrans. excitato adversus Agarenos animo, vindice gladio in eos stricto, terra cadaveribus ipsorum veluti manipulis constrata, undis eorum sanguine tinctis, quae Romanorum fortitudo ac virtus foret et quos lacertos in praeliis haberent ostendit. quodsi strenuum magnanimumque virum invidiae malum non impediisset nec improbitatis vipera momordisset, ne calonum quidem quispiam gladium eius ultorem evasisset. sed enim malitiae spina et invidiae stimulus eum punxerunt acrius quam quisquam scorpius, ipsis etiam oculis erutis. erat enim alias Romanus a natura fe-

ὑπέροφρυς, φιλότυφος, φίλαυτος, αὐτογνώμων·
τότε δὲ πλέον φυσηθεὶς ἀπὸ τῆς ἁλουργίδος
καὶ μείζω τῦφον προσλαβὼν ἅτε Ῥωμαίων ἄναξ,
καὶ μὴν καὶ προσκτησάμενος γνώμην ἀστατουμένην
καὶ τρόπον ἀλλοπρόσαλλον, καὶ πάντας ὑποπτεύων
καὶ πάντας ὑφορώμενος, οἰκείους, οὐκ οἰκείους,
ὡς ἐπιβούλους, ὡς αὐτοῦ πτέρναν ἐπιτηροῦντας, C
βαρὺς ἐδόκει καὶ πικρὸς οὐ τοῖς ἐν τέλει μόνον
ἀλλ' ἤδη καὶ τῇ γαμετῇ καὶ τοῖς τοῦ Δούκα τέκνοις.
ἐντεῦθεν λόγοι ψίθυροι καὶ συσκευαὶ καὶ δόλοι,
ἐντεῦθεν μῖσος ἔμφυλον καὶ θήρατρα καὶ πάγαι.
καὶ τοῖς ἐχθροῖς ἐσκέπτοντο τὸν κράτορα προδοῦναι
ἄπονον ἀπραγμάτευτον θήραν ἑτοιμοτάτην.
ἐκίρνα δὲ τὸ κέρασμα τοῦτο τῆς προδοσίας
ὁ Καῖσαρ ὁ ταυτόσπορος τοῦ Δούκα Κωνσταντῖνος·
τούτου γὰρ παῖς Ἀνδρόνικος ἦν τότε στρατιάρχης.
κοινοῦται γοῦν τοῖς στρατηγοῖς καὶ τῷ παιδὶ τὸ σκέμμα,
καὶ δίκτυον ἐπλέκετο κινδύνου τῷ δειλαίῳ,
καὶ στόλισμα μελάμπεπλον ὑφαίνετο θανάτου.
εἶχε μὲν οὖν τὸν Ῥωμανὸν περαία Βυζαντίου D
θηροκτονεῖν ὁρμώμενον καὶ κατατρέχειν λύκων
ἐπιπηδώντων ἱεραῖς προβατοφρούροις μάνδραις.
πτηνὴ δὲ πέλειά ποθεν ἐπιπτερυξαμένη

6519 ὑπὸ A   v. 6523 om M   6526 ἀλλά γε M   6529 ἐσκέπτετο R   6532 αὐτόσπορος M   6536 στολισμὸν M   6538 λύκους M   6539 ἐπιπηδῶντας M   6540 πελειὰς M   ποτε A

rox, contumax, superciliosus, fastuosus, amans sui, iudicii proprii tenax; et hoc tempore magis etiam purpurae causa inflatus erat, quodque imperator Romanorum esset, animos maiores sumpserat. praeterea quaedam accesserat mentis inconstantia, mores variabiles, erga quosvis tam familiares quam alienos et extraneos diffidentia suspicax, quasi omnes ipsi insidiarentur. has ob causas gravis et acerbus esse videbatur non optimatibus modo sed etiam coniugi Ducaeque liberis. hinc secuti clandestini susurri, molitiones, doli, suorum odia, casses, laquei meditantium quo pacto citra laborem omnem et periculum imperatorem hostibus proderent. eius proditionis poculum Caesar Constantini Ducae frater, cuius filius Andronicus id temporis exercituum dux erat, miscebat. igitur cum filio ceterisque copiarum ducibus consilium suum communicat, quo periculosum rete misero nectebatur et vestis letifera texebatur. iam Diogenes in adversum Byzantio litus traiecerat, totis viribus invasurus et mactaturus lupos in sacrarum et Christianarum ovium caulas prosilientes ac grassantes, cum columba quaedam alicunde advolans pla-

ἐφίζησε τοῖς γόνασιν ἐν πετασμοῖς ἀψόφοις,
οὐχ οἷα πρὶν τῆς κιβωτοῦ προσπτᾶσα τῷ στεγάστρῳ
καὶ λύσιν ἀπαγγέλλουσα καταφορᾶς ὑδάτων,
καὶ δένδρου φύλλον φέρουσα, καὶ παραμυθουμένη
Νῶε τὸν κιβωτόκρυπτον, τὸν δεύτερον γενάρχην,
ἀλλ' οἰωνὸς ἀπαίσιος, ἀλλὰ κακῶν σημάντωρ,
δυσάγγελος φοιβάστρια, κακόμαντις προφῆτις.
ὁ μὲν οὖν κράτωρ τὸ πτηνὸν πέμπει τῇ βασιλίδι,
εὐάγγελον προσήμαντρον ὑποτοπήσας τοῦτο.
P 133 ὧν γάρ τις γλίχεται τυχεῖν, ἐκεῖνα καὶ δοξάζει·
καὶ ταῦτα πᾶσι κατὰ νοῦν, ὅσα καὶ κατὰ γνώμην.
ἀλλ' ἄρα δυσποτμότερον οὐδέν ἐστιν ἀνθρώπου
ἔχοντος τοὺς ἐχθραίνοντας οἰκείους ταυτοστέγους.
ἂν ἔνδον ἔχῃς τοὺς ἐχθρούς, ἂν ἐφεστίους τρέφῃς,
οὐ ῥύσονται κινδύνων σε τὰ Βαβυλῶνος τείχη,
οὐ πύργοι Σεμιράμιδος, οὐ πυραμίδων πάχος.
ἂν τὴν προδότριαν ψυχὴν σύνοικον δυστυχήσῃς,
ἂν συνοικοίῃς μετ' αὐτῆς ἐν ἀρραγεῖ φρουρίῳ,
ἁλώσιμον τὸ φρούριον, ἀφύλακτος ἡ πόλις.
Ἀλλὰ διηγητέον μοι τὰ περὶ Διογένους.
B βαρὺς μὲν ἑκατέρωθεν πόλεμος ἀνερράγη
μέσον Ῥωμαίων καὶ Περσῶν, ἄγριος θροῦς ἀνέβη.
μέγας ἐφώπλιζε θυμὸς ἄμφω τὰς στραταρχίας,

6541 πετρασμοῖς M 6542 οἷον R, ὥσπερ M 6548 δεινὸν M 6549 ὑποτοπάσας R 6551 πάσχει R, μάσσῃ A 6553 αὐτοστέγους R 6557 δύσφρονον R 6558 αὐτῶν M 6559 εὐάλωτος R 6561 πόλεμος τότε σοβαρὸς ἑκατέρωθεν ἐρράγη M 6563 μέλας R

cido alarum motu ad ipsius genua sese demisit, non qualis ad arcae tectum quondam convolans finem appetiisse diluvii nuntiabat et allato oleae ramo abditum in arca Noam, alterum humani generis auctorem, solabatur, sed augurium prorsus infaustum, malorum indicatrix, nuntia sinistra, vates adversi casus infelix. eam alitem imperator ratus augurium laetum esse ad imperatricem mittit. nam quae sibi evenire quisque desiderat, iis se potiturum opinatur; adeoque cuncti mente concipiunt ea quae voluntate appetunt. sed enim eo nihil est aerumnosius homine qui hostes domesticos et eiusdem tecti particeps habet. si domi adversarios alas, non te periculis eripere muri Babylonii queant, non Semiramidis turres, non pyramidum crassities. si proditor animus magno cum malo tuo tecum vivat, etiamsi cum illo degas in castello quopiam inexpugnabili, nihilo tamen minus et munimentum illud occupabitur et urbs quantumvis instructa defendi non poterit.

Nunc Diogenis casus narratione conplectamur. grave ac ingens praelium utrinque movebatur, nimirum inter Romanos et Persas: duces

καὶ πάντῃ περιέτρεχεν ἀνδροδιώκτης Ἄρης,
τοῖς αἵμασι κατάβαπτος, φονολουτῶν τὰς χεῖρας,
ὅλας θαλάσσας ἐκροφεῖν γλιχόμενος αἱμάτων.
ὁ βασιλεὺς δ' ἐπέτετο πλευροκοπῶν, διώκων
καὶ δορατείοις νύγμασι χέων ἐχθρῶν χολάδας,
στρουθιοφόντης, εἴποι τις, ἱέραξ ὠκυπέτης,
στρουθοῖς ἁπαλοπτέρυξιν ἐπιρροιζῶν τὰ πτίλα.
πρηστὴρ ἐδόκει τοῖς ἐχθροῖς, ἔμπυρος καταβάτης,
ὑψόθεν ἀποδισκευθείς, ἀπορραγεὶς ἐκ νέφους.
ἐγένοντο κατάλουτοι λύθροις αὐτῷ παλάμαι,
φονοσταγὴς ἡ δεξιά, φονόφυρτος ἡ σπάθη. C
ἐξέρυθρον ἱμάτιον ἐφόρεσεν ἐκ φόνων,
ὡς εἴ τις λέων ἐντυχὼν δειλοκαρδίῳ ζώῳ
ῥήξει πλευρὰν τοῖς ὄνυξι καὶ λάψει τῶν ἐγκάτων
καὶ δείξει ἐγκατάβαπτα τοῖς αἵμασι τὰ χείλη.
ὑπὲρ αὐτὸν Βριάρεων ἔδειξεν ἑκατόγχειρ,
ὑπὲρ αὐτὸν Ἐγκέλαδον, ὑπὲρ Τυφῶνος θράσος,
φόνιος, ὀμβριμόεργος, ἀκάμας ὡς ἀδάμας.
Ἦν ταῦτα, καὶ προσέβλεψεν ἡ νίκη τοὺς Ῥωμαίους,
καὶ χαροπὸν ἐγέλασε, σὺν χρόνῳ τούτους γνοῦσα.
ἀλλὰ γὰρ ἡ τριβάρβαρος ἐκείνη βασκανία

6464 πάντα M 6565 κατάλουτος M 6566 βουλόμενος M 6567 ἐπέπτετο M 6568 δόρατος τοῖς M αὐτῶν χάλαζαν M 6573 αὐτοῦ AR 6577 πλευρὰ R λαύσει R, θλάσει M, χρήσει R 6578 δείξειεν κατάβαπτα AM 6579 οὐδεὶς αὐτῶν M 6580 σειρὰν ἐγκελάδου M 6582 τοῖς Ῥωμαίοις AR 6583 τοῦτο M

utrinque magna ira concitati proruebant; Mars hominum pernicies circumcursitabat undique, cruore respersus et in eo manus abluens, cum quidem integra sanguinis maria cuperet exsorbere. in hoc rerum statu hostes imperator invadebat, latera caedens, persequens, hastarum ictibus eorum viscera passim effundens: dixisset aliquis velocem accipitrem et vitae avicularum infestum pullos teneris alis praeditos magno cum alarum strepitu involare. nimirum ardentis presteris in morem, ex aëre nubeque delapsi, in hostes videbatur irruere. manus sanguine tinctas habebat; dextra et gladius caedes stillabant; vestes cruore caesorum respersas et rubentes gestabat, perinde ac si leo quispiam timidum nactus animal eius latera discerpat unguibus et sanguinem promanantem hauriat indeque cruentata labra ostentet. non centimanus ille Briareus huiusmodi facinora designavit, Sirenum cantus superantia et Typhonis audaciam. nimirum caedes imperator caedibus cumulabat, fortia facta patrabat, indefessus adamantis in morem erat.

Dum haec ita gererentur, ad Romanos victoria post tempus haud exiguum pugnatae iam pugnae spectabat, eisque laeto et hilari vultu arridebat, cum ecce barbarissimus ille livor et scelerata improbitas et

καὶ τῆς κακίας τὸ στυγνὸν καὶ τὸ τοῦ φθόνου νέφο,
D τοιαύτην λαμπροστόλιστον ἠμαύρωσεν ἡμέραν.
ὡς γὰρ ὁ Καῖσαρ τοῦ δρασμοῦ καὶ τῆς φυγῆς κατῆρξεν,
ᾤχοντο πάντες ἐκποδών, τὸν κράτορα λιπόντες.
καὶ βασιλεὺς ὡς κολοιὸς ἦν ἀπεψιλωμένος,
καὶ τῇδε περιέβλεπε κἀκεῖ περιεσκόπει,
καὶ μόνον ἔβλεπεν αὑτὸν ἐν βρόχοις δυσεκβάτοις.
ἐντεῦθεν ἐπεπήδησαν πρωτόαρχοι βαρβάρων,
συντρέχοντες προτρέχοντες, ἐρίζοντες ἀλλήλοις
τίς ἂν συλλάβοι Ῥωμανὸν ζῶντα. καὶ τελευταῖον
ζωγρεῖται φεῦ ὁ βασιλεὺς βαρβαρικαῖς παλάμαις,
ὁ λέων θήρα γίνεται πανθήρων λυσσητήρων,
ταῖς νυκτερίσιν ἀετὸς κρατεῖται χρυσοπτέρυξ.
P 134 τὸ μετὰ ταῦτα τί καὶ πῶς καὶ μέχρι τοῦ προῆλθεν;
ὁ βάρβαρος ὁ φύλαρχος ἐκεῖνος ὁ ζωγρήσας
τὴν βαρβαρόθυμον ψυχὴν ἀέλπτως ἡμεροῦται,
βλέπει φιλανθρωπότερον περὶ τὸν βασιλέα·
οἰκτείρει γὰρ καὶ βάρβαρος ἄνακτα δυσπραγοῦντα.
ἐλέγχει τοὺς ταυτογενεῖς τῷ βασιλεῖ προδότας
Ῥωμαίους ὁ τριβάρβαρος, ἀλλόφυλος συμφύλους·
γίνεται προμηθέστερος αὐτῷ καὶ τῶν οἰκείων,
καὶ κηδεμονικώτερος αὐτῶν τῶν ὁμογνίων.
σπένδεται, καταλλάττεται, σύμμαχον νέμει χεῖρα,

6590 τῇδε καὶ περίβλεπτος M 6593 προστρέχοντες M 6598 τοῦ] ποῦ M 6602 δὲ M 6603 γὰρ αὐτογενεῖς M 6606 αὐτός M

nubes quasi quaedam invidiae diem tam splendidum deturpat et obscurat. nam ubi Caesar primus initium fugae fecisset, universi relicto imperatore semet in pedes coniiciebant. hoc modo imperator denudato graculo consimilis factus hac illac circumspectabat, seque solum intra laqueos inextricabiles delatum videbat. secundum haec praecipui barbarorum proceres in eum ferociter irruunt, una currentes, alter alterum antevertentes, inter se decertantes quisnam ex omnibus Diogenem vivum suam in potestatem redigeret. ad extremum (heu) barbarorum in manus imperator venit; leo furentium pantherarum praeda fit; auratas alas habens aquila capitur a noctuis. quid deinceps evenit? quo pacto res gesta? quem exitum habuit? barbarus ille gentis princeps, qui Diogenem vivum ceperat, praeter omnium spem animum insolentem ac barbarum cum miti commutat, et imperatorem perhumaniter intuetur. quippe hominis etiam barbari mens erga regem adversis iactatum casibus commiseratione tangitur. itaque vir ceteroqui terbarbarus cognatos imperatoris et Romanos, extraneus cives et gentiles proditionis coarguit; maiorem eius curandi fovendique causa sollicitudinem suscipit quam ipsimet familiares et propinqui; foedus cum eo ferit, gratiam mutuam conciliat,

ἀνακτησόμενον αὐτῷ πέμπει τὴν κρατορίαν.
ἤλυξεν οὖν ὁ Ῥωμανὸς ὡς θὴρ ἐκ γαλεάγρας, B
ὡς ἐκ βροχίδων ἀετός, ὡς ἔλλοψ ἀπ' ἀγκίστρου,
καὶ πάλιν ἦν ἐπίσιμος ἀρθῆναι πρὸς τὸ κράτος.
ἀλλὰ συνέχεεν αὐτῷ καὶ τὰς ἐλπίδας φθόνος·
γράμματα γὰρ κατάπτερα πάντῃ περιεφοίτων
πάσας ἀποτειχίζοντα τῷ Ῥωμανῷ τὰς πόλεις.
ἐντεῦθεν ὁ ταλαίπωρος ἔρημος περιῄει,
ἄφιλος, ἀβοήθητος, ἄλλος Βελλεροφόντης,
τοῦ κράτους ἀποσφαιρισθεὶς ὥσπερ ἀπὸ Πηγάσου,
ἔτεσι μόνοις ἐν τρισὶ τοῦ κράτους ἀπολαύσας.
Ἀλλ' οὐδὲ πάλιν ἡ πυρὰ τοῦ φθόνου κατεσβέσθη·
ὁ γάρ τοι Δοῦκας Μιχαὴλ ὁ παῖς τοῦ Κωνσταντίνου
πρὸς τὴν ἀκμὴν ἐπαναβὰς ἤδη τῶν νεανίσκων C
καὶ χνοῦν ἐπαγγελλόμενος ἴουλον τοῖς κροτάφοις,
τῷ Καίσαρι χρησάμενος τῷ θείῳ συνερίθῳ
καὶ τοῖς ὑπερισχύουσι καὶ τοῖς ἐν στραταρχίαις,
ἐγκαθιζάνει μὲν εὐθὺς τοῖς θρόνοις τοῖς πατρῴοις,
καὶ τὴν τεκοῦσαν στένουσαν πολλὰ καὶ γοωμένην
τῶν περιβόλων τῆς ἀρχῆς ἄκουσαν ἀπελαύνει
καὶ τίθησι μονάστριαν, καὶ κείρει τοὺς πλοκάμους
οὓς χάριτες ἐμόσχευόν ποτε μυραλοιφίαις,
καὶ σκοτεινόπεπλον τὴν πρὶν χρυσόπεπλον δεικνύει.

6609 *γοῦν* M 6611 *ἐπίδοξος?* 6615 *περιέστη* M 6617 *ἀποσφετερισθεὶς* M v. 6618 om R 6622 *ἐπαγγειλάμενος* M 6623 *συναρίθμῳ* M 6624 *στραταρχίᾳ* R 6630 *λαμπρόπεπλον* M

manus auxiliares porrigit, cum suis ad recuperandum imperium ablegat. hoc pacto Romanus belluae alicuius in morem e carceribus ut e laqueis aquila evasit, ut acipenser hamo semet expedivit, rursus imperii fastigio se potiturum sperans. verum has quoque spes irritas ei fecit invidia. nam literae celerrimis nuntiis ad quasvis regiones erant missae, quibus denuntiabatur ut Romanus universis urbibus excluderetur. hinc factum ut miser ille desertus ac solus obvagaretur, ab amicis destitutus, egens opis et auxilii, novus quasi quidam Bellerophontes, sic nimirum imperio deiectus et excussus ut ille Pegaso, cum eo tribus tantum annis frui contigisset.

Verum ne sic quidem invidiae flamma potuit extingui. nam Michaelus Ducas, Constantini filius, qui iam adolevisset ac primam barbae lanuginem in malis ostentaret, opera patrui Caesaris usus, itemque reliquorum procerum et ducum militarium, paterno se in solio collocavit, et matrem gravissime plorantem suasque vices deflentem et reluctantem augustis aedibus expulit, vitaeque solitariae tonsis capillis, quos antea Charites ipsae unguentis delibutos irrigarant, et aureo vestitu cum nigro

μαθὼν δὲ καὶ τὸν Ῥωμανὸν πάλιν βασιλειῶντα,
καὶ πάλιν ἧς ἐκπέπτωκεν ἀρχῆς ὀρεκτιῶντα,
D *καὶ μάχιμον ἐγείροντα κεντρίον ὡς σκορπίον*
πέμπει τοὺς πολεμήσοντας καὶ τοὺς συλληψομένους.
καὶ πάλιν φεῦ ὁ δυστυχὴς θηράτροις περιπίπτει,
ζωγρεῖται καὶ τῶν ὀφθαλμῶν τοὺς κύκλους ἀσβολοῦται,
ἐν λυπρογαίῳ καὶ σκληρῷ ῥιπτεῖται νησιδίῳ.
Ἀπαλλαγεὶς δὲ Μιχαὴλ τῶν παρεστώτων φόβων,
ἀχείμαστόν τε τῆς ἀρχῆς παραλαβὼν τὸ σκάφος,
θορύβους μὲν ἀρεϊκοὺς καὶ θωρακοφορίας
καὶ θροῦν τὸν ἐνυάλιον καὶ μόχθους καὶ κινδύνους
οὐδ' ὄναρ ἐφαντάζετο, σχολάζων δὲ ταῖς βίβλοις
νύκτας ἀΰπνους ἴαυεν, ἄλλος ἦν Δημοσθένης
P 135 *ἢ Δίδυμος χαλκέντερος, Ἀλεξανδρεὺς τὸ γένος,*
ὃν οὕτως ἐπωνόμασαν ὡς ἐν τῷ χαίρειν λόγοις
ἀπόσιτον γενόμενον ἡμέρας ἐπὶ πλείους.
ἐντεῦθεν ἀνερράγησαν ἐπίρροιαι βαρβάρων,
καὶ πάλιν ἐφυσήθησαν λαίλαπες πανταχόθεν,
καὶ φλοίσβους ἀνωρύοντο καὶ παφλασμοὺς ἐποίουν·
οὐ γὰρ παρῆν ὁ ναύαρχος ὁ ταύτας ἀλεξήσων,
καὶ γῆθεν ἀνεφύησαν βλαστήσεις ἀχερδώδεις.
ὁ γὰρ τῆς χώρας γεωργὸς ἔζη κοχλίου βίον,

v. 6634 om R 6637 *ῥίπτεται* M 6639 *κράτος* M 6650 *ναύαρχος ταύτας ἀπαλεξήσων* AR

commutato addixit. praeterea comperto Romanum de integro regnum affectare, deque imperii, quo semel excidisset, recuperatione cogitare, ac pugnacem illum stimulum in morem scorpii rursus erigere, misit qui bellum ei facerent hominemque comprehenderent. hoc modo miserrimus iterum in laqueos incidit, vivus capitur, oculis spoliatur, in sterilem ac duram insulam deportatur.

Ceterum Michaelus terroribus et periculis liberatus praesentibus, imperioque iam tranquillo potitus, bellicos tumultus, armorum gestationes, classica militaria, labores, pericula, ne per somnum quidem imaginabatur aut tractabat, sed libris incumbens totas noctes insomnes exigebat. alius scilicet Demosthenes quidam erat, aliusve Didymus Alexandrinus, cognomento Chalcenterus, sic aheneis ab intestinis nuncupatus, propterea quod mirificam e literarum studiis voluptatem capiens in multos dies cibis caruerit. eam ob rem accidit ut barbari passim irruerent, ac undique rursum procellae se commoverent gravesque turbas et strepitus excitarent. nec enim praefectus aliquis navium ad manum erat, qui in hisce tempestatibus suorum saluti consuleret easque compesceret. itidem e terra germina quaedam herbaeque malae proveniebant, quod cultor agri testudinis vitam ageret, raro in publicum prodiret, mox se

ὀλίγα προερχόμενος καὶ πάλιν ὑποφεύγων B
καὶ πάλιν ἐλυτρούμενος τοῖς δόμοις ὡς ὀστράκοις,
ἢ μᾶλλον ὡς βυθότροφος πίννα χωματοφάγος,
δεόμενος τοῦ νύξοντος εἰς βασιλείους πράξεις
καὶ χρῄζων ὑπομνήσοντος ὅτι Ῥωμαίων ἄρχει.
ἐντεῦθεν πάλιν εἵρπυσαν δράκοντες χασματίαι,
καὶ πᾶν Ῥωμαίων ὅριον ἐῤῥόφουν ὡς νοσσίον.
ἦν οὖν βαρὺς σχετλιασμὸς κατὰ τοῦ βασιλέως,
καὶ πάντες ἐπαθαίνοντο βλέποντες τὰ Ῥωμαίων
οὐκ ἐπὶ γόνυ κείμενα μόνον οὐδ' ἐπὶ στόμα,
ἀλλ' ἤδη διαῤῥεύσαντα καὶ καταμαρανθέντα.
εἷς δέ τις μεγαλογενὴς καὶ τῶν ἐκ πρώτης ῥίζης,
γεραίτερος μακρόβιος, Πύλιος ἄλλος Νέστωρ
(Βοτανειάτην ἔλεγον ἐκεῖνον Νικηφόρον), C
ἐμπειροπόλεμος ἀνήρ, καταβελὴς τὰς σάρκας
ἅτε πολλαῖς ἐνηθληκὼς μάχαις ἐξέτι βρέφους
καὶ γεγονὼς ἀρεϊκῶν μεστὸς Ὀλυμπιάδων,
χεῖρα προσεταιρίζεται μυρίαν συμμαχίδα,
καταλαμβάνει Νίκαιαν, πέμπει πρὸς τὸν κρατοῦντα
γράμμα παραινετήριον δῆθεν, αὐτὸν συμπεῖθον
ἀναιμωτὶ τῷ γέροντι τῶν σκήπτρων ὑπεκστῆναι,
αὐτὸν δ' ὡς ἀπειρόμαχον ζῆν ἐν ἀπραγμοσύνῃ.
καὶ τί πολλὰ καὶ περιττά; φθάνει τὴν βασιλίδα,

6653 προσερχόμενος M 6659 ἐζόφουν R v. 6665 om M 6667 καταμελὴς AM 6670 χεῖραν M κυρίαν M 6672 προσαινετήριον M 6675 Βυζαντίδα AR

vicissim ex hominum conspectu subduceret, domi tanquam intra testas occultatus lateret, prorsus uti pinna degens in fundo, hominis egens opera pungendo ad negotiorum imperii procurationem exstimulantis, et in memoriam ei revocantis quod Romanis cum potestate praeesset. hinc rursum dracones hiantes prodiere, qui fines Romanorum ceu volucris pullum deglutiebant. erant ergo querelae graves de imperatore, cunctis cum dolore videntibus res Romanas non tantum in genua vel ipsum in os collapsas, verum etiam plane diffluentes ac marcescentes. tandem magno quidam principeque loco natus, iam provecta aetate, Nestori Pylio aequalis, cui nomen erat Nicephorus Botaniates, vir bellicis in rebus experientissimus, toto passim corpore cicatrices ferens, uti qui a puero multis in praeliis fortiter cum hoste pugnasset, iamque Mavortias olympiades complures attigisset, hic ergo tandem manum sibi quandam opitulatricem adiungens Nicaeam occupat, et literis ad imperatorem perscriptis hortatur ut volens imperio sibi cederet absque sanguinis effusione, ac vitam ipse bellorum praeliorumque rudis quietam et a negotiis immunem ageret. quid multis rem commemorem? Byzantinam urbem Botaniates occupat, et purpura quidem ipse auro intertexta et distincta

καὶ πορφυρίδι μὲν αὐτὸς κοσμεῖται χρυσοπάστῳ,
ὁ πρὶν δὲ κράτωρ Μιχαὴλ γίνεται μελαμφόρος,
ἔτεσιν ἓξ γευσάμενος τοῦ βασιλείου κράτους.
D ἀλλὰ γὰρ ἐκλαθόμενος αὐτοῦ τε καὶ τοῦ γήρως
ὁ γέρων ὁ παλαιγενὴς οὗτος ὁ Νικηφόρος
τῇ γαμετῇ τοῦ Μιχαὴλ ζεύγνυται νόμῳ γάμου,
καὶ ταῦτα γέρων τρυφερᾷ, πέμπελος νεαζούσῃ·
αὐτὸν δὲ βαρυνόμενον καὶ δυσανασχετοῦντα
τῆς Ἐφεσίων πόλεως ποιμένα καθιστάνει.
καμάτων δ' ἀπεχόμενος τῶν κατὰ τοὺς πολέμους
ἐκάθητο χρυσοφορῶν, κοσμούμενος ἀμφίοις
ἀκτῖνας ἀπαυγάζουσι πυρράζοντος χρυσίου,
λουτροῖς καὶ πότοις καὶ τρυφαῖς εὐδαίμων γῆρας βόσκων,
χρυσόπτερος, ἂν εἴποι τις, κύκνος ἀγαλματίας,
P 136 ὁπότε δύνειν ἔμελλε καὶ κρύπτεσθαι τῷ τάφῳ,
ἀρχόμενος ἡδύνεσθαι κεὐφραίνεσθαι τῷ βίῳ,
τριγέρων ἁπαλόβιος, σπάταλος, τρυφητίας.
καὶ τὰ μὲν πράγματα χερσὶν ἐπίστευεν ἀνθρώπων
βαρβαριζόντων τὴν φωνὴν μηδ' ὀρθορρημονούντων,
κρατῆρα πανημέριον ἱστάντων καὶ πινόντων,
οἷς ἦν τὸ γένος τρίδουλον, καὶ πάπποι καὶ πατέρες
τριβάρβαροι, καὶ τὴν ψυχὴν βάρβαροι καὶ τὴν γνώμην,
καὶ σκυθογλώσσους λαλιὰς δυσφράστως λαλαγοῦντες,

v. 6678 om R 6679 γήρους AM 6685 ἀποσχόμενος M, ἀφιστάμενος R v. 6690 om M 6695 κράτορα et ἐσθόντων M 6698 δυσφράστους AR

exornatur, Michaelus autem, non ita pridem imperator, in monasterium detrusus vestitu nigro induitur, cum ei sex annis imperio regio frui contigisset. sed enim Botaniates ille multo senio gravis, non sui tantum verum etiam provectae aetatis oblitus, antecessoris Michaeli coniugem legitimo sibi matrimonio copulat, senex mulierem teneram et delicatam, capularis et funeri destinatus vegetam atque iuvenem. cumque sortem suam aegre molesteque ferret ac deploraret Michaelus, Ephesinae urbis pastor ab imperatore constitutus est. secundum haec Nicephorus omissis laboribus bellicis auro gravis sedebat, ornatus vestimentis quae aureos quasi quosdam rutilantesque radios de se spargebant, felicem beatamque senectam lavacris et conviviis et voluptatibus fovens. non abs re quis dixerit eum fuisse consimilem cygno alis aureis exornato et affabre pictum referenti, qui iam moriturus et obruendus sepulcro hilaritati sese dat, vitae studio tenetur. quippe senecio delicatae vitae semet addicebat, luxui deditus ac plane voluptarius. interim publicorum negotiorum procurationem committebat hominibus linguas barbaras usurpantibus, recte loqui nescientibus, totos dies in crapula et ebrietate conterentibus; quorum et familiae et parentes et avi maxime serviles erant,

ὡς εἴ τις μεγαλόφορτον πιστεύσειε φορτίδα
ἀνεπιστήμοσι σκαιοῖς ἀχρείοις κυβερνήταις.
αὐτὸς δ' ἐπιτερπούμενος χρυσεοστίλβους πέπλους B
καὶ βύσσινα χρυσοϋφῆ μαργαροφόρα φάρη,
καὶ βάμματι πορφυρανθεῖ λάμποντα καὶ χρυσίῳ,
καὶ χρώμενος ἐξ ἀμοιβῆς ἀμφίοις ἐπαλλήλοις,
ἐφ' ὑψηλῶν ἐκάθητο θρόνων ἀργυροήλων,
κοσμῶν τοῖς ἀξιώμασι πάντας τοὺς προσιόντας,
χαλκεῖς, δρυτόμους, σκαφευτάς, ἐμπόρους, γαιομάχους,
κρηπιδοπώλας, σχοινουργούς, κναφεῖς, ἀμπελεργάτας,
καὶ χυδαιῶν τὰ τίμια, καὶ τὰ λαμπρὰ ῥυπαίνων,
καὶ τηλικαύτην εὔκλειαν κατάγων εἰς βαναύσους,
ἣν ἔπαθλον ἐδίδοσαν οἱ κράτορες οἱ πρώην
ἀνδραγαθίας καὶ χειρῶν κατορθουσῶν μεγάλα, C
καὶ ταῦτα τοῖς ἐξ αἵματος καὶ γένους λαμπροσπόρου.
τοιούτοις ἔργοις ἔχαιρε, τοιούτοις ἐπηγρύπνει.
κἂν μή τινες αἰτήσαιεν ἀξιωμάτων ὕψη,
δεινοπαθῶν ἐφαίνετο καὶ κρίνων ζημιοῦσθαι.
τὰ δ' ἄλλα πάντα πάρεργα καὶ τὸ μηδὲν ἡγεῖτο,
κἂν τὰ Ῥωμαίων ὅρια στενοῖντο τοῖς βαρβάροις,

6701 ἐπιτερπόμενος χρυσεοστίλπνοις πέπλοις M 6702 βυσσίνῳ χρυσοϋφεῖ μαργαροφόρῳ φάρει M 6703 λάμποντι M 6705 ἀργυρούλων R 6707 δ' εὐστόμους R 6708 κρηπιδοπώλους AM 6710 εὔνοιαν M 6717 ἡγεῖται M 6718 στενόντων τῶν βαρβάρων M

tam animo quam iudicio barbarissimi, linguis Scythicis, intellectu pronuntiatuque difficilibus garrientes. quibus sane rem publicam administrandam credens non aliter agebat ac si quis ingentem navim onerariam gubernatoribus imperitis, ineptis, nullius usui committat. ipse vero, ceu dictum modo, delectationem capiens ex fulgentibus auro vestibus deque bysso confectis et propter unionum copiam gravibus ac purpureo colore tinctis palliis, quibus per vices aliis atque aliis utebatur, sublimibus et argenteis in soliis considebat, quosvis accedentes praefecturis et officiis publicis ornans, nimirum excusores, materiarios, fossores, mercatores, agricolas, crepidarios, funarios, fullones, vinitores, vulgo prostituens et foede polluens res veneratione dignas et splendidas, eamque benevolentiam erga sordidos opifices declarans quam superiorum aetatum imperatores impertiri solebant quasi praemium fortitudinis et rerum praeclare gestarum, non quibusvis sed claro tantum sanguine prognatis. huiusmodi ergo rebus occupabatur planeque intentus erat. quodsi nulli ventitarent qui dignitates amplissimas peterent, cum indicatione magni doloris damnum quasi quoddam facere se putabat. cetera velut accessoria proque nihilo ducebat, sive fines imperii Romani a barbaris artiores redderen-

κἂν ἑλεπόλεσι πολλαὶ πόλεις κριοκοποῖντο.
οὕτως ἐν ἔτεσι τρισὶ τοῦ κράτους ἀπολαύσας
βίον λοιπὸν μεθίσταται τοῦ βασιλείου κράτους.
Ἀλλὰ λοιπὸν εἰς σιωπῆς ὅρμον ὁ λόγος στήτω·
πελάγους γὰρ Ἀτλαντικοῦ χύσις ἀνέρρωγέ μοι,
D *ἀριστουργήματα λαμπρὰ γενναίων βασιλέων,*
ἀνδρῶν ἡρώων εὐγενῶν ἀλκίμων μεγαθύμων,
ὧν οὐδὲ γλώσσῃ δυνατὸν τοὺς βίους διαπλεῦσαι
ἤδη λοιπὸν ἐκκύπτουσι τρισαριστεῖς σκηπτοῦχοι
Κομνηνιάδαι κράτορες μεγαλουργοὶ γεννάδαι,
θαλάσσας πελαγίζοντες τῶν τροπαιουχημάτων,
ἃς οὐδ' αὐτὸς ἂν Ἡρακλῆς ὁ καρτερὸς περάσοι.
καὶ τοίνυν ἀναψώμεθα κάλων πρυμνίτην ὧδε,
τοῦ πλοῦ τὴν κώπην σχάσαντες καὶ στείλαντες τὰ λαίφη·
οὐ γὰρ περάσιμά φασι τὰ τῶν Γαδείρων πέρα.

6719 *κρεοκοπούντων* M vv. 6720—21 om R 6723 *ἀντλατικὴ* M 6727 *ἐγκύπτουσι* M, *ἐκπίπτουσι* R 6728 *γεννάδες* M 6729 *θαλάσσαις* A 6730 *ἂν*] *ὁ* M *περάσῃ* M 6731 *πρoμνήτην* M, *πρoμνίτην* AR 6733 notum proverbium hoc ex Pindaro desumptum. utitur etiam Basilius in epistola ad Postumianum: *τὸ δὲ πρόσθε Γαδείρων μὴ περατὸν εἶναι ἀνθρώποις.* et Basilacas in monodia de morte fratris: *μέχρι καὶ εἰς ὠκεανὸν ἑσπέριον ἐξέτεινας τὸν ἀπόδημον· τὸ δὲ πέραν Γαδείρων οὐ περατόν.* Meursius. post v. 6733 AR:

Δέχνυσο τοῖον δῶρον ἀφ' ἡμετέροιο πόνοιο,
ὀλβιόδωρε ἄνασσα, κυδίστη, ἀριστοτόκεια,
νυὲ χαριτοπρόσωπε μεγασθενέων βασιλήων
ἣν πλέον ἀπαστράπτουσαν ἐϋβλεφάροιο σελήνης
εἰς γάμον ὄλβιον ἤρατο νυμφιδίοις ἐπὶ λέκτροις
πορφυρόπαις γόνος Αὐσονάνακτος καρτεροθύμου,
Ἀνδρόνικος μεγάθυμος, ἐϋμμελίης πολεμιστής,
ᾧ γέρα πρῶτα σεβαστοκρατορίης νεῖμ' ὁ φυτεύσας.
εἰς τοίνυν λυκάβαντας ἀπειρεσίους ἐλάσειας.

deinde R:

ἀλλ' ὦ Μανασσῆ θελξικάρδιον στόμα,
Ὀρφεὺς νεαρὲ τοῦ παλαιοῦ βελτίων,

tur, sive bellicis machinis urbes oppugnatae diriperentur. hoc modo tribus annis imperio potitus vitam cum regno reliquit.

Enimvero deinceps oratio nostra in silentii portum sese conferat. nam mare quasi quoddam mihi praeclarorum facinorum rerumque fortiter gestarum a generosis imperatoribus aperitur, a viris inquam heroicis, generis nobilitate praestantibus, strenuis, magnanimis; quorum semitas ne linguae quidem quasi navigio permeare licet. quippe secundum haec spectandos sese praebent imperatores fortissimi Comneniadae, qui traicere veluti quaedam integra victoriarum et tropaeorum maria, quae vix acer ille Hercules emetiri potuisset. quapropter hic sane rudentem, remis inhibitis velisque collectis, alligemus. nam quae ultra Gades sita sunt, uti proverbio dici consuevit, transfretando non fas est adire.

τὴν γλυκερὰν ψάλαξον αὖθις κιθάραν,
καὶ σὴν πρόσοψιν ὑπόδειξον τοῖς φίλοις,
καὶ προσλαλήσεις τοῖς μαθηταῖς ὡς πάλιν.

postremo codex quidam Labbeanus:

βίβλος πέφυκα πρὸς λόγους γηροτρόφος,
γηρῶσα τῷ νῷ καὶ νεάζουσα πάλιν,
τῶν γραμμάτων καίνισμα ἐκ πολλαχόθεν.
τοίνυν πρὸ ἔνδον εἰσφέρω τῶν ἐγκάτων
βίους ἀνάκτων τῆς νέας Ῥωμαΐδος,
Ῥώμης παλαιτάτης τε καὶ τριπεμπέλου
πολλῶν τε πάντων τῶν βεβασιλευκότων
Πέρσαις τε Χαλδαίοις τε καὶ Ἀσσυρίοις·
πόνημα καὶ γὰρ πανσόφου Κωνσταντίνου
πέλω Μανασσῆ τοῦ γραμματικωτάτου.

INDEX GRAMMATICUS.

χον dici qui postea ὕπαρχος, ut necesse sit alium esse ἔπαρχον ἀπὸ τοῦ ὑπάρχου. sed et apud Xiphilinum in Severo, p. 421, in codice Palatino praefectus praetorio ὕπαρχος dicitur, qui versu praecedente ἔπαρχος. quod et in aliis scriptoribus observare est. Codinus de Offic. c. 2 p. 18: ὁ ἔπαρχος: in uno autem ex Regiis ὕπαρχος legitur. Michael Glycas p. 317 c: γίνεται ταῦτα, καὶ ἀναφορὰ διὰ τοῦ ὑπάρχου τῷ λαῷ ἀναγινώσκεται. et mox ἔπαρχον appellat, et p. seq. ὕπαρχον. praefectus praetorio ἔπαρχος dicitur Novella Iustiniani 50, in Basilicis autem ὕπαρχος. Xiphilinus in Severo: ἐπαρχικὴ ἐξουσία, praefectura praetorii: in codice Palatino ὑπαρχική, teste Sylburgio. praefectus urbi CP ἔπαρχος dicitur Novella 77 c. 1, in manuscripto vero ὕπαρχος. et Novella 70 ὑπαρχότητος nomine continetur praefectura praetorii et utriusque Romae. denique praefecti urbi ὕπαρχοι dicuntur in Nov. 79. ibi (τῶν τε ἐνδοξοτάτων ὑπάρχων τῆς πρεσβυτέρας Ῥώμης) legendum τῆς ἑκατέρας Ῥ. sic legit Iulianus Antecessor, sic vetus Novellarum interpres. item Zosimus praefectum urbi τῆς πόλεως ὕπαρχον vocat l. 2, 4 et 6. et praefectum praetorio ὕπαρχον τῆς αὐλῆς l. 2 p. 674. Theodoretus Cyrensis ὕπαρχον simpliciter, ut videtur, l. 4 in Danielem c. 6. de variis Theophanis locis hoc dicam tantum, ibi variare codices manu exaratos, et modo ἔπαρχος modo ὕπαρχος scribi. frequentius tamen, ut videtur, praefectus praetorio ἔπαρχος dicitur quam ὕπαρχος. Theophylactus Simocatta hist. Mauric. l. 8 c. 9: τὴν ἡγεμονίαν τῶν φόρων τῆς ἑῴας πρό τινος καιροῦ ὑπὸ τοῦ αὐτοκράτορος ἀπειλήφει. hunc locum in mendo cubare nondum animadversum. sic igitur restituendum puto: καὶ τὴν ἡγεμονίαν τῆς ἑῴας (expunctis duabus vocibus) πρό τ. *praefecturam Orientis ab imperatore paulo ante acceperat.* quem praefectum praetorio Romani appellant. Philostorgius hist. Eccles. 3 28: ἀποστέλλει Δομετιανὸν ἔπαρχον τῶν καλουμένων πραιτωρίων ὁ Κωνστάντιος. Codinus de Offic. c. 2 p. 42 c: δορυφόρων ἔπαρχος καὶ πραιτωρίων. Fabr.

ἑταιρειάρχης 5562: praepositus belli sociis et foederatis. Glossarium Petri Seguierii Franciae cancellarii: ἑταιριάρχης ἀξίωμα. Leo Grammaticus: ὃς μετὰ ταῦτα γέγονεν ἑταιριάρχης. erat autem ἑταιρεία duplex, ἡ μεγάλη et ἡ μικρά, eisque praepositus ὁ μέγας ἑταιριάρχης vel ὁ μικρὸς dicebatur. Scylitzes: σταλέντος Ῥωμανοῦ πρωτοπροέδρου καὶ μεγάλου ἑταιριάρχου. Cantacuzen. 1 55. Codinus de Offic. c. 2 p. 39: μέγας ἑταιριάρχης, et p. 41: καὶ δὴ μετ' αὐτὸν ἑταιριάρχης μέγας. vertunt: *magnus confoederatorum dux*, et *post eum magnus confoederatorum dux.* debuerant ubique *foederatorum:* nam confoederatus barbare dicitur, pro foederatus, ut iam monuit Vossius de vitiis sermonis c. 19 et in Indice vocum barbararum. sive ὁ τῆς μεγάλης ἑταιρείας et ὁ τῆς μικρᾶς. auctor anonymus περὶ καταστάσεως ἀπλίκτου: κατὰ δὲ βόρειον μέρος ὁ τῆς μεγάλης ἑταιρείας, ut apud Glycam p. 321 ὁ κανικλείου et ὁ σακελλίου apud Cantacuzenum 3

INDEX HISTORICUS.